







EUTHYMII ZIGABENI
COMMENTARIUS
IN
QUATUOR EVANGELIA.

TEXTUM GRAECUM NUNQUAM ANTEA EDITUM
AD FIDEM DUORUM CODICUM MEMBRANACEORUM
BIBLIOTHECARUM SS. SYNODI MOSQUENSIS
AUCTORIS AETATE SCRIPTORUM
DILIGENTER RECENSUIT
ET
REPETITA VERSIONE LATINA IOANNIS HENTENII
SUISQUE ADIECTIS ANIMADVERSIONIBUS

EDIDIT

CHRISTIANUS FRIDER. MATTHAEI
COLLEGIORUM IMPERALIUM ROSSICORUM ASSESSOR ET ACADEMIAE
VITEMBERGENSIS GRAECARUM LITTERARUM PROFESSOR.


EDITIO DENUO EMISSA.

TOMUS III.

Evangelium Ioannis, Animadversiones Hentenii, Editoris, Index.

BEROLINI ET LONDINI
PROSTAT APUD A. ASHER ET SOC.
MDCCCXLV.

ΤΟ
ΚΑΤΑ ΙΩΑΝΝΗΝ
ΕΥΑΓΓΕΛΙΟΝ.



CAPITA
EVANGELII IOANNIS.



Inter-



ΤΟΥ
ΚΑΤΑ ΙΩΑΝΝΗΝ
ΕΥΑΓΓΕΛΙΟΥ
ΤΑ ΚΕΦΑΛΑΙΑ.

Interpretatio Euangelii Iohannis.

Quis certe fuerit Iohannes[1] euangelista a prioribus euangelistis didicimus, puta quod frater Iacobi, filius Zebedaei, a vico Bethsaida regionis Galilaeae, arte piscator. Neque autem prius, neque postea litteras didicit, sed penitus idiota erat:[2] attamen talem eum nouimus, qualem esse decebat illum, qui a Christo edoctus esset. Siquidem quum in coena super pectus domini recubuisset, talem hausit scientiam, qualem alius nemo sortitus est. Et vere de coelo tonuit, et de penetralibus exclamauit: non tanquam alte vociferans, sed quasi de rebus altis clamans: et linguam cum spiritu mouens.

Hic igitur quum in tria aliorum euangelia, quae sibi a quibusdam fidelibus allata erant, incidisset: vidissetque hos tres in eo maxime sermone versatos, qui de saluatoris erat humanitate, caeterum dogmata, quae de diuinitate eius erant, praetermisisse, ipsa quidem euangelia admiratus est ac laudauit, et vera eos dixisse ac fide digna testatus est. Ipse autem motus a Christo ad praesens opus accessit, et quaedam narrat, quae etiam ab aliis scripta erant, ne videatur euangelium suum ab alio-

[1]) ὁ εὐαγγελιστὴς ἰωάννης. A.
[2]) Act. 4, 13.

Ἑρμηνεία τοῦ κατὰ ἰωάννην εὐαγγελίου.

Τίς μὲν ἦν ἰωάννης ὁ [1]) εὐαγγελιστὴς, ἐμάθομεν ἀπὸ τῶν προλαβόντων εὐαγγελιστῶν, ὅτι ἀδελφὸς ἰακώβου, υἱὸς ζεβεδαίου, κώμης βηθσαιδὰ, χώρας γαλιλαίας, τὴν τέχνην ἁλιεύς. οὔτε δὲ πρότερον, οὔτε μὴν ὕστερον [2]) γράμματα μεμάθηκεν, ἀλλὰ παντελῶς ἰδιώτης ἦν. πλὴν ὁ τοιοῦτος ἴδωμεν, ὁποῖος γέγονε μαθητευθεὶς τῷ χριστῷ; ἀναπεσὼν γὰρ ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος τῆς σοφίας εἵλκυσε γνῶσιν, οἵαν οὐδεὶς ἕτερος ἐκληρώσατο. καὶ ὄντως ἐβρόντησεν ἐξ οὐρανοῦ, καὶ ἀνέκραγεν ἐκ τῶν ταμείων τοῦ πνεύματος, οὐχ ὡς μέγα βοῶν, ἀλλ' ὡς περὶ μεγάλων βοῶν, καὶ κινῶν τὴν γλῶτταν μετὰ τοῦ πνεύματος.

Οὗτος οὖν ἐντυχὼν τοῖς τῶν ἄλλων εὐαγγελίοις, προσενεχθεῖσιν αὐτῷ παρά τινων πιστῶν, καὶ ἰδὼν, ὅτι καὶ οἱ τρεῖς τῷ περὶ τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος ἐνδιέτριψαν μάλιστα λόγῳ, καὶ λοιπὸν ἔμελλον ἀποσιωπηθῆναι τὰ περὶ τῆς θεότητος αὐτοῦ δόγματα· ἐκεῖνα μὲν τὰ εὐαγγέλια καὶ ἐθαύμασε, καὶ ἐπήνεσε, καὶ πολλὴν αὐτοῖς ἀλήθειαν καὶ ἀξιοπιστίαν προσεμαρτύρησεν· αὐτὸς δὲ, τοῦ χριστοῦ κινήσαντος αὐτὸν, ἦλθεν ἐπὶ τὸ παρὸν σύγγραμμα, καὶ διηγεῖται μὲν καί τινα τῶν τοῖς ἄλλοις ἱστορηθέντων, ἵνα μὴ ἀπερρηγμένον δοκῇ τῶν εὐαγγελίων ἐκείνων τὸ

aliorum euangeliis separasse: praecipua tamen illi cura fuit, quae ab aliis relicta erant, addere, ac de diuina saluatoris gratia plura ponere, sicut necessarium esse ob insurgentes haereses iudicauit.

Alii siquidem ob auditorum imbecillitatem illa praetermiserant, nondum confirmata praedicatione: hic autem crescente iam fide, ac fidelibus intellectu capacioribus, de hac definiuit, additis etiam quibusdam capitibus, quae antea silentio fuerant praeterita.

Praesens autem euangelium multis annis post capta Ierosolyma conscripsit.

Cap. I. v. 1. *In principio erat verbum.*

Nomen ἀρχὴ plura significat: hic autem proprie significat idem quod Semper. Huic vero ἀρχῇ coniuncta dictio ἦν Erat, ipsum omnino reddidit incognitum. Quo enim reduces mente tua illud Erat, quod ante omnia et vbique praecurrens, non sinit cogitationem tuam inuenire terminum. Et in creaturis quidem, Erat, praeteritum tempus manifestat. In triade vero increata, haec etiam significat dictio Semper. Et in intellectuali sane ac sensibili creatura, de nullo suscipi potest, vt dictum sit, semper erat: siquidem omnia postmodum facta sunt: sed id soli beatae trinitati aptatur: nam sola ipsa infecta est siue increata.

Similiter quoque nomen λόγος Verbum, multa significat. Nunc autem proprie significat Dei filium. Dicitur namque verbum, prout dicit Gregorius Theologus, quod ad patrem ita se habeat, sicut verbum ad mentem: non tantum ob generationem quae omni affectu caret humano: verum etiam propter connexionem et manifestationem.

Omnia

ἑαυτοῦ εὐαγγέλιον· μάλιστα δὲ φροντίζει τῶν παραλελειμμένων ἐκείνοις, καὶ πλέον τῶν ἄλλων τῆς θεολογικῆς τοῦ σωτῆρος διδασκαλίας, ὡς ἀναγκαιοτάτης, διὰ τὰς μελλούσας αἱρέσεις.

Ἐκεῖνοι μὲν γὰρ ταύτην παρῆκαν, διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν, οὔπω τοῦ κηρύγματος ῥιζωθέντος· οὗτος δὲ, τῆς πίστεως αὐξηθείσης ἤδη, καὶ τῶν πιστῶν συνετωτέρων γενομένων, ἐνέταξεν αὐτὴν, προσθεὶς καὶ ἕτερα κεφάλαια παρασιωπηθέντα τοῖς πρὸ αὐτοῦ.

Συνεγράψατο δὲ τὸ παρὸν εὐαγγέλιον μετὰ τὴν ἅλωσιν Ἱεροσολύμων, πολλοῖς ὕστερον ἔτεσιν.

Cap. I. v. 1. Ἐν ἀρχῇ ἦν ὁ λόγος.

Τὸ της ἀρχῆς ὄνομα, πολυσήμαντόν ἐστιν· ἰδιοτρόπως δὲ νῦν σημαίνει, τὸ ἀεί. ταύτῃ δὲ τῇ ἀρχῇ συζευχθὲν τὸ ἦν, ἀνεννόητον αὐτὴν παντελῶς ἐποίησεν. ὅπου γὰρ ἀναγάγῃς σου τὸν νοῦν, προαπαντᾷ τὸ ἦν, καὶ πανταχοῦ προτρέχον, οὐκ ἐᾷ σου τὴν ἔννοιαν εὑρεῖν τινὰ στάσιν. καὶ ἐπὶ μὲν τῶν κτιστῶν τὸ ἦν, τὸν παρεληλυθότα χρόνον δηλοῖ· ἐπὶ δὲ τῆς ἀκτίστου τριάδος, τὸ ἀεὶ καὶ τοῦτο σημαίνει. καὶ ἐπὶ μὲν τῆς νοητῆς καὶ τῆς αἰσθητῆς κτίσεως, ἐπ' οὐδενὸς ἐνδέχεται ῥηθῆναι, τὸ ἐν ἀρχῇ ἦν. πάντα γὰρ ὕστερον ἐγένοντο· ἐπὶ μόνης δὲ τῆς μακαρίας τριάδος ἁρμόζει τοῦτο. μόνη γάρ ἐστιν ἀγένητος,[3]) εἴτουν, ἄκτιστος.

Ὁμοίως δὲ καὶ τὸ ὄνομα τοῦ λόγου, πολυσήμαντόν ἐστιν· ἰδιοτρόπως δὲ νῦν σημαίνει, τὸν υἱὸν τοῦ θεοῦ. λέγεται γὰρ λόγος, ὡς ὁ θεολόγος λέγει γρηγόριος, ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα, ὡς πρὸς νοῦν[4]) λόγος· οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς, καὶ τὸ ἐξαγ-

3) ἀγέννητος. A.
4) νοῦν ὁ λόγος. A. Vide Gregor. Naz. p. 218. med.

Omnia inquit, quae audiui a patre meo, nota feci vobis.

Poterit quoque dicere quispiam, quod etiam sit quasi definitio ad suum definitum: nam et hoc significat dictio λόγος: Qui enim vidit filium, inquit, vidit et patrem, hoc est, intellexit, vt sit ipse filius tanquam breuis ac facilis finitio naturae patris. Omne enim quod genitum est, eius, qui genuit, tacens verbum est.

Quum autem dixerit euangelista, In principio erat verbum, demonstrauit quod semper erat: nec erat tempus aliquod aut seculum, quo ipsum non erat: ipse enim effector est temporum ac seculorum.

Quare autem non dixit, In principio erat Filius? Ne qua irrepat suspicio carnalis aut temporalis generationis. Ob id siquidem quum ipsum nominasset verbum, atque hinc omni tempore, omnique affectu generationem ipsius supernaturalem carere docuisset, abiectis quoque caeteris indecentibus circa eam suspicionibus, postmodum in sequentibus ipsum etiam libere filium dicit. Volens quoque ostendere non modo ipsum semper fuisse siue aeternum, sed etiam inseparabilem ac coaeternum patri, ait.

Vers. 1. *Et verbum erat apud Deum.* Non dixit, quod erat in loco: non enim in loco continetur, qui circumscribi non potest: neque quod in Deo, ne statim in primordiis, personarum confusionem quis imaginetur, sed quod apud Deum siue apud patrem, vt et quod proprium est personarum appareat, quodque inseparabiles sint pater et filius: et omnino manifestum est, quod etiam spiritus sanctus: siquidem in principio erat trinitas, simulque erat trinitas.

Vers. 1.

ἐξαγγελτικόν. πάντα γάρ, φησιν, ὅσα ἤκουσα[a]) παρὰ τοῦ πατρὸς, ἀνήγγειλα ὑμῖν. a) Io. 15. 15.

Τάχα δ' ἂν εἴποι τις, ὅτι καὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον, ἐπειδὴ καὶ τοῦτο λέγεται λόγος. ὁ γάρ[b]) νενοηκώς, φησι, τὸν υἱόν· τοῦτο γάρ b) Io. 14. 9. ἐστι τὸ ἑωρακώς· νενόηκε τὸν πατέρα. καὶ σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ πατρὸς φύσεως, ὁ υἱός. γέννημα γὰρ ἅπαν, τοῦ γεγεννηκότος σιωπῶν λόγος.

Εἰπὼν δὲ ὁ εὐαγγελιστὴς, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, ἔδειξεν, ὅτι ἀεὶ[5]) ἦν, καὶ οὐκ ἦν τις χρόνος ἢ αἰὼν, ὅτε οὐκ ἦν οὗτος. αὐτὸς γάρ ἐστι ποιητὴς καὶ τῶν χρόνων, καὶ τῶν αἰώνων.

Διατί δὲ οὐκ εἶπεν, ὅτι ἐν ἀρχῇ ἦν ὁ υἱός; ἵνα μὴ ὑπόληψις παρεμπέσῃ[6]) χρονικῆς τε καὶ ἐμπαθοῦς γεννήσεως. Διὰ τοῦτο γὰρ λόγον αὐτὸν ὀνομάσας, καὶ διδάξας ἐντεῦθεν τὸ ἄχρονόν τε καὶ ἀπαθὲς τῆς ὑπερφυοῦς γεννήσεως αὐτοῦ, καὶ προανελὼν τὰς ἀπρεπεῖς περὶ αὐτῆς ὑπολήψεις, λοιπὸν προϊὼν καὶ υἱὸν αὐτὸν ἀνυποστόλως καλεῖ. βουλόμενος δὲ δεῖξαι, αὐτὸν μὴ μόνον ἀεὶ ὄντα, ἤγουν, ἀΐδιον, ἀλλὰ καὶ ἀχώριστον τοῦ πατρὸς καὶ συναΐδιον, φησί.

Verſ. 1. Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. Οὐκ εἶπεν, ὅτι ἦν ἐν τόπῳ· οὐ περιέχεται γὰρ τόπῳ ὁ ἀπερίγραπτος· οὐδὲ ὅτι ἐν τῷ θεῷ, ἵνα μὴ ἐκ προοιμίων εὐθὺς σύγχυσις τῶν προσώπων ἐπινοηθείη· ἀλλ' ὅτι πρὸς τὸν θεὸν, ἤγουν, παρὰ τῷ πατρὶ, ἵνα τε παραστήσῃ τὸ ἰδιάζον τῶν ὑποστάσεων, καὶ ὅτι ἀχώριστοι πατὴρ καὶ υἱός· δῆλον δὲ πάντως, ὅτι καὶ πνεῦμα τὸ ἅγιον. ἐν ἀρχῇ γάρ[7]) ἦν ἡ τριὰς, καὶ ὁμοῦ ἦν ἡ τριάς.

5) ἐν ἀρχῇ, pro ἀεί. A.
6) παραπέσῃ. A.
7) γὰρ, omittit. A.

Vers. 1. *Et Deus erat verbum.* Quum verbi nomine vsus fuisset ad docendum in superna generatione intemporalitatem, affectuumque carentiam, curat deinceps ac tollit damnum quod ad hoc nomen subrepit: puta ne quis blasphemet, putans tale verbum esse quale nostrum est, siue internum, siue id quod proferimus: neque enim tale est, sed substantiale, eiusdem cum patre naturae ac dignitatis.

Vers. 2. *Hoc — Deum.* Quum dixisset quod semper erat, quodque a patre inseparabile, et quod Deus erat: breui mirandoque modo, theologiam quam de hoc exposuit, in summam redigit: compendium diuinae de eo cognitionis nobis praebens.

Dicentibus autem, quod omnis filius patre posterior est, respondebimus, Quum dicitis, Omnis filius, iam id quod quaeritur dissoluistis. Siquidem Dei filius non est talis, qualis est Omnis filius, sed vere supernaturalis.

Praeterea contentiose asserentibus eum qui ab aliquo est, necesse omnino esse vt sit posterior eo a quo est, respondendum est, quod etsi hoc dicant, solis tamen radius quum ab ipso sit, non est eo posterior: nunquam enim sol sine radio apparuit. Quod si in sensilibus ita est, quidnam dicere quispiam poterit de his quae maiora sunt, quam vt dici possint? Ex quo autem Deum ipsum esse praedicauit, dat etiam ei diuinitatis insigne: dico sane creandi potentiam: dii enim, inquit, qui coelum et terram non fecerunt, pereant. Id autem, ne putetur patre minor esse.

Vers. 3.

a) Loco horum quatuor vocabulorum spacium vacuum est in Cod. A. Ante ὁ ἡμέτερος autem, legitur [illegible]. Et οἷος quidem recepi.

Verſ. 1. Καὶ θεὸς ἦν ὁ λόγος. Χρησάμενος τῷ ὀνόματι τοῦ λόγου πρὸς διδασκαλίαν τοῦ ἀχρόνου καὶ ἀπαθοῦς τῆς ὑπερφυοῦς γεννήσεως, λοιπὸν θεραπεύει τὴν ὑφέρπουσαν τῷ ὀνόματι βλάβην, ἵνα μὴ βλασφημήσῃ τις, [οἰόμενος,[8]) ὅτι λόγος ἐςὶν,] οἷος ὁ ἡμέτερος, ἐνδιάθετος ἢ προφορικός. οὐ γάρ ἐςι τοιοῦτος, ἀλλ᾽ ἐνυπόςατος, τῆς αὐτῆς τῷ πατρὶ φύσεως καὶ ἀξίας.

Verſ. 2. Οὗτος — θεόν. Εἰπὼν, ὅτι ἀεὶ ἦν καὶ ὅτι ἀχώριςος τοῦ πατρὸς ἦν, καὶ ὅτι θεὸς ἦν, ἀνεκεφαλαιώσατο συντόμως ὁμοῦ καὶ θαυμασίως, ἣν ἐξέθετο περὶ τούτου θεολογίαν,[9]) σύνοψιν ἡμῖν θεολογίας περὶ τοῦ υἱοῦ παρασχόμενος.

Πρὸς δὲ τοὺς λέγοντας, ὅτι πᾶς υἱὸς ὑςερός ἐςι τοῦ πατρὸς, ἐροῦμεν: ὅτι πᾶς υἱὸς εἰπόντες, λελύκατε τὸ ζητούμενον. ὁ γὰρ υἱὸς τοῦ θεȣ͂, οὐκ ἔςι τοιȣ͂τος, οἷος πᾶς υἱὸς, ἀλλ᾽ ὄντως ὑπερφυής.

Ἔτι δὲ πρὸς τοὺς φιλονεικοῦντας, ὅτι τὸ ἔκ τινος ἀνάγκη πάντως εἶναι ὕςερον τοῦ ἐξ οὗ ἐςιν, ἀπολογητέον· ὅτι καὶ μὴν τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτοῦ[1]) ὂν, οὐκ ἔςιν ὕςερον αὐτοῦ. ȣ̓δέποτε γὰρ ἥλιος ἐφάνη χωρὶς ἀπαυγάσματος. εἰ δ᾽ ἐπὶ τῶν αἰσθητῶν τοῦτο, τί ἂν τις εἴποι περὶ τῶν ὑπὲρ[2]) λόγον; ἐπεὶ δὲ θεὸν αὐτὸν ἀνεκήρυξε,[3]) δίδωσιν αὐτῷ καὶ τὸ γνώρισμα τῆς θεότητος, λέγω δὴ, τὸ δημιουργικόν· θεοὶ,[c]) γάρ φησιν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· ἵνα μὴ νομισθείη τοῦ πατρὸς ἐλάττων. c) Ier. 10, 11.

Verſ. 3.

9) θεολογία, cum ſpacio vacuo duarum literarum. A.
1) ἦν, pro ὄν. A.
2) τὸν, addit. B.
3) ἐκήρυξε. A.

Verſ. 3. *Omnia — factum eſt.* Quum omnia per ipſum facta dixiſſet: ne putaretur id de ſenſilibus tantum dixiſſe, ſubdidit: Et ſine ipſo factum eſt nihil quod factum eſt, hoc eſt, nihil eorum quae facta ſunt ſiue ſenſibile ſit, ſiue intelligibile. Excluditur autem ſpiritus ſanctus: neque enim factus eſt, vt inter alia comprehendatur, ſed infectus aut increatus, ſicut et filius et pater. Sola namque diuina trinitas infecta ſiue increata eſt.

Quum autem demonſtrauerit filium creatorem omnis viſibilis atque inuiſibilis creaturae, non exclusit patrem a creandi dignitate, ſed docuit tantum filium eſſe creatorem ſicut et patrem: id enim tribus commune eſt, quum ſit diuinitatis inſigne, vt praedictum eſt.

Ideo quoque in diuina ſcriptura creandi potentia quandoque de patre dicitur, quandoque de filio, interdum vero de ſpiritu ſancto, tanquam videlicet patre volente, filio autem operante, ſpiritu ſancto vero cooperante. Dicit ſiquidem capite etiam ſeptimo, Pater meus ad hoc vſque temporis operatur, et ego operor.

Quidam vero deliri partem illam, Per ipſum, filii minorationem intellexerunt, dicentes id non creationis, ſed ſubminiſtrationis eſſe ſignificatiuum. Nec viderunt quod id de patre quoque vſurpatur. Ait enim Apoſtolus, Fidelis Deus per quem vocati eſtis in ſocietatem filii eius. Ne quis autem incredulus ſit, ambigens quomodo haec et ſimilia per ipſum facta ſint, dicit.

Verſ. 4.

4) ἀψέννητον. A.
5) ἀγέννητος. A.
6) Corrigendum ἐραστῆς.
7) Incluſa omittit. A.
8) λῆροι, de hominibus nugacibus ipſis. Ita Plato. p. 251. Diog. Laërt. p. 99.

Vers. 3. Πάντα — γέγονεν. Εἰρηκὼς, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, ἵνα μὴ δόξῃ περὶ μόνων λέγειν τῶν αἰσθητῶν, ἐπήγαγεν, ὅτι καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε, τουτέστιν, οὐδὲν τῶν γενομένων, κἂν αἰσθητὸν εἴη, κἂν νοητόν. ὑπεξῄρηται δὲ τὸ πνεῦμα τὸ ἅγιον. τοῦτο γὰρ οὐ γέγονεν, ἵνα καὶ συμπαραληφθείη, ἀλλ' ἀγένητόν [4]) ἐστιν, ἤτουν, ἄκτιστον, ὥσπερ καὶ ὁ υἱὸς καὶ ὁ πατήρ. μόνη γὰρ ἡ θεία τριὰς [5]) ἀγένητος, ἤγουν, ἄκτιστος.

Ἀποδείξας δὲ τὸν υἱὸν δημιουργὸν πάσης [6]) ὁρατικῆς καὶ ἀοράτου κτίσεως, οὐκ ἐξέβαλε τὸν πατέρα τοῦ δημιουργικοῦ ἀξιώματος, ἀλλὰ μόνον ἐδίδαξεν, ὅτι καὶ ὁ υἱὸς δημιουργός ἐστιν, ὥσπερ ὁ πατήρ. κοινὸν γὰρ τοῦτο τῶν τριῶν, ἐπεὶ τοῦτο γνώρισμά ἐστι θεότητος, ὡς προείρηται.

Διὸ καὶ παρὰ τῇ θείᾳ γραφῇ, ποτὲ μὲν τὸ δημιουργικὸν ἐπὶ [τοῦ πατρὸς [7]) λέγεται· ποτὲ δέ, ἐπὶ τοῦ υἱοῦ· ποτὲ δέ, ἐπὶ] τοῦ ἁγίου πνεύματος· οἷα τοῦ μὲν πατρὸς εὐδοκοῦντος, τοῦ δὲ υἱοῦ ἐνεργοῦντος, τοῦ δὲ ἁγίου πνεύματος συνεργοῦντος. Φησὶ γὰρ καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ, ὅτι ὁ [d]) πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. d) Io. 5, 17.

Τινὲς δὲ λῆροι, [8]) τὸ δι' αὐτοῦ, πρὸς ἐλάττωσιν τοῦ υἱοῦ νενοήκασιν, οὐ δημιουργίας, ἀλλ' ὑπουργίας [9]) ἐμφαντικὸν τοῦτο φήσαντες εἶναι. οὐκ ᾔδεισαν δὲ, ὅτι καὶ ἐπὶ τοῦ πατρὸς ἀδιαφόρως τοῦτο τάττεται. Φησὶ γὰρ ὁ ἀπόστολος, πιστὸς [e]) ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. e) 1 Cor. 1, 9. ἵνα δὲ μηδεὶς ἀπιστήσῃ, πῶς τοσαῦτα καὶ τοιαῦτα δι' αὐτοῦ ἐγένετο, φησίν.

Vers. 4.

9) Breuiter de hac re monui in mea N. Testamenti editione ad Corinth. p. 213. nota 1. Distribuebant autem illi praepositiones ita. Ἐκ, Patri: διὰ, Filio: ἐν, Spiritui Sancto tribuebant.

Verſ. 4. *In ipſo vita erat.* Qua non ſolum haec produxit, verum etiam conſeruat, vt in eſſe permaneant. Nam quod de patre dictum eſt, de ipſo quoque dici poteſt: In ipſo viuimus, mouemur et ſumus. Quum autem audieris quod in ipſo vita erat, ne compoſitum eum ſuſpiceris, ſed vitae fontem: nam protinus etiam totum ipſum vitam nominat, dicens, Et vita erat lux hominum. Alibi quoque dicit ipſe Chriſtus, Ego ſum vita.

Qui autem ſpiritui ſancto reſiſtunt, eiusque naturam diminuunt, poſt id quod dicitur, Sine ipſo factum eſt nihil, diſtinctionem ſtatuunt: deinde quod ſequitur ſimul legunt, Quod factum eſt, in ipſo vita erat: vt ſpiritum ſanctum factum eſſe demonſtrent: nam de ipſo loqui dicunt huiusmodi verbum.

Facile autem refelluntur. Primum quia pars illa, Quod factum eſt, indisiuncte poſita, omne quod factum eſt indicat. Deinde quia etiam vita dicitur eſſe lux: ſubdit enim quod vita erat lux hominum: poſt paululum autem de Iohanne loquens ait: Hic venit in teſtimonium, vt teſtimonium perhiberet de luce. Manifeſtum eſt autem, quod Iohannes non de ſpiritu ſancto, ſed de filio tulit teſtimonium, ſicut in ſequentibus inueniemus.

Verſ. 4. *Et — hominum.* Etiam ipſe filius erat lux hominum, vtpote mentem ipſorum illuminans, et ab errore deducens ad veritatem. Quod autem ipſum filium lucem nominauit, ipſe quoque filius alibi dicit, Ego ſum lux mundi.

Dicitur

[1]) Suo iure ita diſtinxerunt Pneumatomachi. Etenim Origenes, Haereticorum omnium parens, ita non ſolum diſtinxerat, ſed ita adeo in *ſuis* repererat Codicibus. Vide hominis veſani nugas, Si placet, Tom. IV. p. 20. D. 26. E. 36. B. 64. B. 69. A. 77. B. et 72. A. E. vbi Codices iſtos appellat, et ex iisdem ſcilicet, verſ. 4. laudat: ἐν αὐτῷ ζωὴ ἘΣΤΙ.

Verſ. 4. Ἐν αὐτῷ ζωὴ ἦν. Δι᾽ ἧς οὐ μόνον αὐτὰ παρήγαγεν, ἀλλὰ καὶ συντηρεῖ εἰς τὸ διαμένειν. ὅπερ γὰρ περὶ τοῦ πατρὸς εἴρηται, τοῦτο καὶ περὶ τούτου ῥηθήσεται, ὅτι ἐν f) αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. ὅταν δὲ ἀκούσῃς, ὅτι ἐν αὐτῷ ζωὴ ἦν, μὴ σύνθετον αὐτὸν ὑπολάβῃς, ἀλλὰ πηγὴν ζωῆς. αὐτίκα γὰρ καὶ ὅλον αὐτὸν ζωὴν ὀνομάζει, λέγων· καὶ g) ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ ἀλλαχοῦ δέ φησι φανερῶς αὐτὸς ὁ χριστός· ἐγώ h) εἰμι ἡ ζωή.

f) Act. 17, 28. g) Io. 1, 4. h) Io. 14, 6.

Οἱ πνευματομάχοι [1]) δὲ μετὰ τὸ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, στίζουσι τελείαν· εἶτα τὸ ἑξῆς οὕτως ἀναγινώσκουσιν, ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν· ἵνα γενητὸν [2]) δείξωσι τὸ πνεῦμα τὸ ἅγιον. περὶ τούτου γάρ φασι λέγειν τὸ τοιοῦτον ῥητόν.

Ἐλέγχονται δὲ ταχέως, πρῶτον μὲν, ὅτι τὸ ὃ γέγονεν, ἀπολύτως κείμενον, πᾶν, ὃ γέγονε, δηλοῖ· ἔπειτα δὲ, ὅτι ἡ ζωὴ αὕτη καὶ φῶς εὑρίσκεται. ἐπάγει γὰρ, ὅτι καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· εἶτα μετὰ μικρὸν περὶ τοῦ Ἰωάννου λέγων, φησίν· οὗτος i) ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. δῆλον δὲ, ὅτι ὁ Ἰωάννης οὐ περὶ τοῦ ἁγίου πνεύματος, ἀλλὰ περὶ τοῦ υἱοῦ μεμαρτύρηκεν, ὡς προϊόντες εὑρήσομεν.

i) Io. 1, 7.

Verſ. 4. Καὶ — ἀνθρώπων. Καὶ αὐτὸς ὁ υἱὸς ἦν τὸ φῶς τῶν ἀνθρώπων, ὡς φωτίζων τὸν νοῦν αὐτῶν, καὶ ὁδηγῶν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν. ὅτι δὲ αὐτὸν τὸν υἱὸν ὠνόμασε καὶ φῶς, αὐτὸς ὁ υἱὸς ἀλλαχοῦ φησίν· ἐγώ k) εἰμι τὸ φῶς τοῦ

k) Io. 8, 12.

[2]) Quilibet, vt arbitror, iſtorum veterum Pneumatomachorum ſtultitiam miratur: nos autem recentiorum Hyiopneumatomachorum inſanias admiramur, et chartis, vt vocant, oecumenicis (*allgemeinen*) vulgamus et laudamus.

Dicitur itaque et lux et vita: vita quidem tanquam viuificans ac continens vniuersa: lux vero, quasi illuminans, et exhilarans mentem hominum, qui ipsum recipiunt.

Quidam autem vitam ac lucem dicunt euangelicam praedicationem, quam hominibus adduxit, vtpote causam vitae spiritualis ac cognitionis lucis.

Vers. 5. *Et lux — comprehenderunt.* Lucem quidem vocat praedicationem, propter dictam causam, et propter veritatem: tenebras verò errorem, propter falsitatem. Dicit ergo, Praedicatio in errore lucet, et error eam non comprehendit.

Gregorius autem Theologus dictum verbum aliter intelligit, sermone quem facit in sancta lumina. Verum potest et hanc et illam recipere interpretationem.

Quum ergo hactenus euangelista de filii diuinitate asseruerit, consequenter hinc euangelium aggreditur.

Vers. 6. *Fuit — Iohannes.* Lucas autem scripsit, Factum est verbum Dei super Iohannem Zachariae filium in deserto.

Vers. 7. *Hic — luce.* Lux intelligitur hoc in loco Christus propter causam prius redditam, Perhibuit autem Iohannes testimonium de diuinitate ipsius, sicut in sequentibus patebit. Quum autem Christus huius testimonio non egeret, subiungitur etiam causa testimonii. Addit enim:

Vers. 7. *Vt — illum.* Quemadmodum enim carne vestitus est, ne nuda diuinitate apposita omnes

3) καὶ, abest. A.
4) αὐτῷ. abest. A.
5) ἐπιδείξασθαι. A.

τοῦ κόσμου. ὥστε ὁ αὐτὸς λέγεται καὶ ζωὴ, καὶ φῶς. ζωὴ μὲν, ὡς ζωογονῶν καὶ συνέχων τὰ πάντα· φῶς δὲ, ὡς καταλάμπων καὶ φαιδρύνων τὸ ἡγεμονικὸν τῶν ἀνθρώπων, τῶν δεχομένων αὐτόν.

Τινὲς δὲ καὶ [3]) ζωὴν καὶ φῶς εἶπον, τὸ κήρυγμα τοῦ εὐαγγελίου, ὃ ἐπήγαγε τοῖς ἀνθρώποις, ὡς αἴτιον καὶ ζωῆς πνευματικῆς καὶ φωτὸς γνώσεως.

Vers. 5. Καὶ τὸ φῶς — κατέλαβε. Φῶς μὲν ἐνταῦθα καλεῖ, τὸ κήρυγμα, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ διὰ τὴν ἀλήθειαν· σκοτίαν δὲ, τὴν πλάνην, διὰ τὸ ψεῦδος. λέγει γοῦν, ὅτι τὸ κήρυγμα ἐν τῇ πλάνῃ λάμπει, καὶ ἡ πλάνη οὐ περιεγένετο αὐτοῦ.[4])

Ὁ δὲ θεολόγος γρηγόριος ἑτέρως τὸ ῥητὸν ἐξελάβετο, ἐν τῷ εἰς τὰ ἅγια φῶτα λόγῳ, δυνάμενον καὶ ταύτην κἀκείνην ἐπιδέξασθαι [5]) τὴν ἐξήγησιν.

Μέχρι δὲ τούτου διαλεχθεὶς ὁ εὐαγγελιστὴς περὶ τῆς τοῦ υἱοῦ θεότητος, ἐντεῦθεν λοιπὸν ἄρχεται τοῦ εὐαγγελίου.

Vers. 6. Ἐγένετο — ἰωάννης. Ὁ δὲ λουκᾶς ἔγραψεν· ἐγένετο [1]) ῥῆμα θεοῦ ἐπὶ ἰωάννην τὸν τοῦ ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ.

1) Luc. 3, 2.

Vers. 7. Οὗτος — φωτός. Φῶς νῦν ὁ χριστὸς νοεῖται, κατὰ τὴν προαποδεδομένην αἰτίαν. ἐμαρτύρησε δὲ ὁ ἰωάννης περὶ τῆς θεότητος αὐτοῦ, ὡς προϊόντες εὑρήσομεν. ἐπεὶ δὲ οὐκ ἐδεῖτο τῆς τούτου μαρτυρίας ὁ χριστὸς, τέθειται καὶ ἡ αἰτία τῆς μαρτυρίας. ἐπήγαγε γάρ.

Vers. 7. Ἵνα — αὐτοῦ. Ὥσπερ γὰρ σάρκα περιεβάλετο, ἵνα μὴ γυμνῇ τῇ θεότητι

omnes perderet: ita quoque testimonio vsus est, vt Iudaei cognati Iohannis vocem audientes, per eam crederent facilius in eum de quo testificabatur: Omnia siquidem ad hominum salutem disposuit.

Iohannes itaque testimonium perhibuit, vt omnes crederent, non omnes tamen crediderunt: Fides enim non est coacta sed voluntaria.

Vers. 8. *Non — luce.* Adhuc missionis causam declarat. Neque enim venit vt luceret: non erat siquidem ipse lux, sed vt testimonium perhiberet de luce. Simul quoque ne putaret quispiam eum qui testimonium ferebat, maiorem ac fide digniorem eo de quo ferebatur testimonium, vt plerumque solet accidere. Verum quia recens erat Iohannis testimonium, ne similis quaedam oriretur suspicio et de eo de quo ferebatur testimonium, ait.

Vers. 9. *Erat — mundum.* Semper erat, iuxta supra positum reconditiorem intellectum; siquidem tanquam Deus semper erat: tanquam homo vero esse incepit.

Verum si omnem hominem venientem in mundum illuminat, quomodo tot relicti sunt non illuminati? Sane quod ad ipsum attinet, omnes illuminat: qui autem non illuminati manent, a propria hoc patiuntur voluntate: Nam lucis beneficium, quod ad solem attinet, super omnes simpliciter diffunditur. Quod si qui luce frui nolunt, ipsi sibi causa sunt quod non illuminentur.

Veram quoque lucem dixit, tanquam incomparabilem ac super omnes, et quae proprie lux est.

† Dicitur

6) Interpres *apposita.* Προσβάλλειν τινι, est apparere alicui, appropinquare ad aliquem. Malim ergo, *conspectus.*

προσβαλὼν [6]) ἀπολέσῃ πάντας· οὕτω καὶ μάρτυρι ἐχρήσατο, ἵνα τῆς συγγενοῦς ἀκούοντες οἱ τότε φωνῆς, εὐκολώτερον πιςεύσωσι δὶ αὐτῆς εἰς τὸν μαρτυρέμενον. πάντα γὰρ πρὸς σωτηρίαν τῶν ἀνθρώπων ὠκονομεῖτο.

Ἰωάννης μὲν οὖν ἐμαρτύρησεν, ἵνα πάντες πιςεύσωσιν. ἐ πάντες δὲ ἐπίςευσαν. οὐκ ἐκ βίας γὰρ ἡ πίςις, ἀλλ᾽ ἐκ προαιρέσεως.

Verſ. 8. Οὐκ — φωτός. Ἔτι σαφηνίζει τὴν αἰτίαν τῆς ἀποςολῆς, ὅτι ἦλθεν, οὐχ ἵνα φωτίσῃ· οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς· ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἅμα δὲ καὶ, ἵνα μὴ νομίσῃ τις, ὅτι ὁ μαρτυρῶν μείζων καὶ ἀξιοπιςότερος ἦν τοῦ μαρτυρουμένε, ὡς ἐπὶ πολλῶν εἴωθε συμβαίνειν. ἐπεὶ δὲ πρόσφατος ἦν ἡ τοῦ ἰωάννου, μαρτυρία, ἵνα μὴ τοιαύτη τὶς ὑπόνοιά καὶ περὶ τοῦ μαρτυρεμένου παρεμπέσοι, [7]) φησίν.

Verſ. 9. Ἦν — κόσμον. Ἦν ἀεὶ, κατὰ τὴν ἐκτεθεῖσαν ἀνωτέρω θεολογίαν. ὡς μὲν οὖν θεὸς, ἦν ἀεί· ὡς δὲ ἄνθρωπος, ἤρξατο τοῦ εἶναι.

Εἰ δὲ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, πῶς τοσοῦτοι μεμενήκασιν ἀφώτιςοι; τὸ μὲν εἰς αὐτὸν ἧκον, πάντας φωτίζει· οἱ δὲ μένοντες ἀφώτιςοι, παρὰ τὴν ἑαυτῶν προαίρεσιν τοῦτο πάσχουσιν. ἡ μὲν γὰρ τοῦ φωτὸς χάρις, ἡλίου δίκην ἐπὶ πάντας ἁπλῶς ἐκκέχυται· οἱ δὲ μὴ θέλοντες ἀπολαῦσαι τῆς χάριτος, αὐτοὶ τοῦ μὴ [8]) φωτισθῆναι αἴτιοι.

Ἀληθινὸν δὲ εἶπεν αὐτὸ, ὡς ἀσύγκριτον, καὶ ὑπὲρ πᾶν φῶς, καὶ κυρίως φῶς.

B 2 [Τὸ

7) παραπέσοι. A.
8) μὴ, omittit. A.

† Dicitur quoque vera imago, et vera sapientia, et vera vita: non ad calumniam aliarum sanctarum imaginum: neque sapientiae quae a scripturis diuinis est, neque vitae praesentis, vt ne dicam futurae: sed talis figura sermonis, id quod incomparabile est, per amplitudinem manifestat.

† Siue venientem in verum mundum virtutum.

Vers. 10. *In mundo erat.* Non tanquam loco circumscriptus, sed tanquam omnia replens. Quum autem dixisset, In mundo erat, ne quis suspicaretur mundo contemporale esse, quod accidit Paulo Samosatensi, addidit:

Vers. 10. *Et — factus est.* Manifestum est autem quod factor ante id, quod factum est, fuerit.

Vers. 10. *Et — cognouit.* Mundum hunc dicit eos[9], qui mundana sapiunt, qui mundo affixi sunt, qui a sensibilibus rebus abduci nequeunt, nec quicquam supra haec intelligere possunt. Qui enim tales non sunt, ipsum priusquam etiam in carne aduenisset, cognouerunt. Et hinc est quod ad Apostolos vigesimo quarto iuxta Matthaeum capite dixit Christus. Multi prophetae et iusti desiderauerunt videre quae videtis, et non viderunt: et audire quae auditis, et non audierunt. Quodsi ipsum non cognouissent, non desiderassent videre, vt dictum est, vel audire. Itaque cognouerunt quidem eum, eiusque in carne mysterium, verum id supernaturaliter: desiderauerunt autem et sensibiliter videre ipsum mirabilia operantem, et audire ipsum docentem: et simpliciter in humana specie.

Intel-

9) Haec vterque Codex in margine habet.

[Τὸ [9]) Φῶς τὸ ἀληθινόν· Καὶ εἰκὼν δὲ ἀληθινὴ λέγεται, καὶ ἀληθινὴ σοφία, καὶ ζωὴ ἀληθινὴ, καὶ τὰ τοιαῦτα· οὐκ ἐπὶ διαβολῇ τῶν ἄλλων ἁγίων εἰκόνων, οὐδὲ τῆς ἀπὸ τῶν θείων γραφῶν σοφίας, ἢ τῆς ἐνταῦθα ζωῆς, ἵνα ἐάσω τὴν μέλλουσαν· ἀλλὰ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου, τὸ καθ' ὑπεροχὴν ἀσύγκριτον ὑποφαίνει.]

[Εἰς [1]) τὸν κόσμον· Ἢ καὶ ἄλλως· ἐρχόμενον εἰς τὸν ἀληθῆ κόσμον τῶν ἀρετῶν.]

Vers. 10. Ἐν τῷ κόσμῳ ἦν. Οὐχ ὡς τόπῳ περιγραφόμενος, ἀλλ' ὡς πάντα πληρῶν, εἰπὼν δὲ, ὅτι ἐν τῷ κόσμῳ ἦν, ἵνα μὴ ὑπολάβοι τις, ὅτι σύγχρονος ἦν τοῦ κόσμου, ὃ πέπονθε παῦλος ὁ σαμοσατεὺς, προσέθηκε·

Vers. 10. Καὶ — ἐγένετο. Πρόδηλον γὰρ, ὅτι ὁ ποιητὴς πρὸ τοῦ ποιήματος ἦν.

Vers. 10. Καὶ — ἔγνω. Κόσμον ἐνταῦθα λέγει, τοὺς τὰ κοσμικὰ φρονοῦντας, τοὺς τῷ κόσμῳ προσηλωμένους, τοὺς τοῖς αἰσθητοῖς πράγμασι προστετηκότας, καὶ μηδὲν ὑπὲρ ταῦτα νοῆσαι δυναμένους. οἱ γὰρ μὴ τοιοῦτοι ἔγνωσαν αὐτὸν, καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας. διὸ καὶ ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον, εἶπε πρὸς τοὺς ἀποστόλους ὁ χριστὸς, ὅτι [m]) πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. εἰ γὰρ μὴ ἔγνωσαν αὐτὸν, οὐκ ἂν ἐπεθύμησαν ἰδεῖν, ὡς εἴρηται, καὶ ἀκοῦσαι. ὥστε ἔγνωσαν μὲν αὐτὸν, καὶ τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μυστήριον, πλὴν ὑπερφυῶς· ἐπεθύμησαν δὲ καὶ αἰσθητῶς ἰδεῖν αὐτὸν θαυματουργοῦντα, καὶ ἀκοῦσαι αὐτοῦ διδάσκοντος, καὶ ἁπλῶς ἐν ἀνθρώπου εἴδει.

m) Matt. 13, 17.

B 3 Νοεῖται

[1]) Etiam haec in margine.

Intelligitur quoque quod indignatus euangelista super eorum coecitate qui ipsum ignorauerunt, dicit, Et mundus per ipsum factus est, et mundus eum non cognouit: hoc est, qui facti sunt, factorem non cognouerunt.

Verſ. 11. *In — receperunt.* Adhuc verbum amplius manifeſtat. Nam ſua, mundus eſt, nempe factura ipſius. Sui quoque ſunt homines, vtpote etiam opera ipſius, et tanquam ad ipſius imaginem formati. Venit igitur in eos, ſiue ad eos tanquam homo: ſiquidem tanquam Deus, in mundo erat.

Declaratur autem et alio modo: quod ex quo Chriſtus a Iudaeis ſecundum carnem natus eſt, ſua ſunt, horum conuerſationes: Sui vero, ipſi ſunt, tanquam ipſius cognati, eiusdemque gentis. Nam et ipſe dixit, Non ſum miſſus niſi ad oues perditas domus Iſrael. In ſua igitur venit, non ob propriam neceſſitatem: Deus enim nullius eget, ſed propter ſuorum ſalutem. Sui autem eum non receperunt, quum veniſſet vt eis beneficia praeſtaret, ſed more inſanientium ſaluatorem tanquam inimicum abiecerunt.

Verſ. 12. *Quotquot — eius.* Quotquot receperunt eum ſuſcipiendo doctrinam ipſius: dedit eis poteſtatem filios Dei fieri: non ſtatim fecit eos Dei filios, ne per ignauiam perdant gratiam: ſed dedit ipſis poteſtatem fieri quo diligentiores reddantur.

Quid ergo, nonne omnes poteſtatem habent, vt filii Dei fiant? Non omnes ſed hi tantum quibus datum eſt: ſolum autem datum eſt credentibus in ipſum. Ideo quoque manifeſtans quibus dederit, ſubdit, Credentibus in nomen eius, hoc eſt, in

Νοεῖται δὲ καὶ, ὅτι δυσανασχετῶν ὁ εὐαγγελιςὴς ἐπὶ τῇ πωρώσει τῶν ἀγνοησάντων αὐτὸν, φησὶ, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, τουτέςι, τὸν ποιητὴν οὐκ ἔγνωσαν τὰ ποιήματα.

Verſ. 11. Εἰς — παρέλαβον. Ἔτι σαφηνίζει τὸν λόγον. ἴδια μὲν γὰρ αὐτοῦ, ὁ κόσμος, ὡς ποίημα [z]) αὐτοῦ· ἴδιοι δὲ οἱ ἄνθρωποι, ὡς καὶ αὐτοὶ ποιήματα, καὶ ὡς κατ' εἰκόνα αὐτοῦ γενόμενοι. ἦλθεν οὖν εἰς αὐτοὺς, ὡς ἄνθρωπος. ὡς γὰρ θεὸς, ἐν τῷ κόσμῳ ἦν.

Ἑρμηνεύεται δὲ καὶ καθ' ἕτερον τρόπον, ὅτι ἐπεὶ ἐξ ἰȣδαίων ὁ χριςὸς ἐβλάςησε κατὰ σάρκα, ἴδια μὲν αὐτοῦ, αἱ διατριβαὶ τούτων· ἴδιοι δὲ αὐτοὶ, ὡς συγγενεῖς αὐτοῦ καὶ ὁμόφυλοι. διὸ καὶ ἔλεγεν, οὐκ ἀπεςάλην,[a]) εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. εἰς τὰ ἴδια μὲν οὖν ἦλθεν, οὐχ ἕνεκεν ἰδίας χρείας· ἀνενδεὴς γὰρ ὁ θεός· ἀλλ' ἕνεκεν τῆς τῶν ἰδίων σωτηρίας. οἱ ἴδιοι δὲ αὐτὸν οὐ παρεδέξαντο, ἀφικόμενον ἐπ' εὐεργεσίᾳ τούτων· ἀλλὰ φρενοβλαβῶς τὸν σωτῆρα, ὡς ἐχθρὸν, ἀπώσαντο. a) Matt. 15, 24.

Verſ. 12. Ὅσοι — αὐτοῦ. Ὅσοι δὲ παρεδέξαντο αὐτὸν, διὰ τοῦ παραδέξαθαι τὴν διδασκαλίαν αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξȣσίαν τέκνα θεȣ̃ γενέθαι. οὐκ εὐθὺς δὲ ἐποίησεν αὐτοὺς τέκνα θεȣ̃, ἵνα μὴ ῥαθυμήσαντες ἀπολέσωσι τὴν χάριν, ἀλλ' ἔδωκεν αὐτοῖς ἐξȣσίαν γενέθαι, ἵνα σπȣδάσαντες γένωνται.

Τί οὖν, ȣ̓ πάντες ἔχουσιν ἐξȣσίαν τέκνα θεȣ̃ γενέθαι; ȣ̓ πάντες, εἰ μὴ οἷς αὕτη δέδοται. δέδοται δὲ, μόνοις τοῖς πιςεύουσιν εἰς αὐτόν. διὸ καὶ σαφηνίζων, τίσιν ἔδωκεν, ἐπήγαγεν, ὅτι τοῖς πιςεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, τουτέςιν, εἰς αὐτόν-

z) ποιήματα. B.

in ipsum. Itaque ipsius quidem est dare potestatem: illorum vero, vti ea.

Aliud est autem per baptismum aliquem a Deo adoptari, et aliud per euangelicorum praeceptorum obseruantiam filium Dei fieri: nam illud principium est, hoc autem finis: et illud sane Dei donum est, hoc vero studii facinus egregium.

Vers. 13. *Qui — nati sunt.* Attenuat quidem humanam generationem tanquam naturalem, eam vero quae ex Deo est, extollit tanquam supernaturalem, vt cognita deiectione primae, et exaltatione secundae, intellecta quoque beneficii magnitudine: digne gratias agamus, et laboremus ne ipsum nostra ignauia perdamus.

Quum autem dixisset, Non ex sanguinibus, subiecit manifestius, Neque ex voluntate carnis. Deinde hoc etiam amplius interpretatur addens, Neque ex voluntate viri. Sanguis enim et caro vir est. Voluntatem vero, intelligit nunc coitus concupiscentiam.

† † Semen nimirum diuinum intrauit ac sibi confortauit carnem, mente rationali praeditam, non vt seminans, sed vt creans, nec ita, vt paullatim aliquid adderetur, atque ita forma perficeretur, sed statim in principio tota forma extitit perfecta, creuit tamen ad modum embrionum. Nam et vetus Adam statim forma effictus est perfecta.

Vers. 14. *Et — factum est.* † Non poterat aliter Dei erga nos dilectio ita manifestari, sicut facta carnis mentione: et quod propter nos vsque

3) τῆς συνουσίας videtur legisse Hentenius.

4) Haec vterque in margine. Hentenius prorsus non agnoscit. Forte etiam haec, vt difficilia, in interpretatione praetermisit.

τόν. ὥςε αὐτοῦ μὲν ἐςι, τὸ δωρεῖσθαι τὴν εἰρημένην ἐξουσίαν· αὐτῶν δὲ, τὸ χρήσασθαι ταύτῃ.

Ἕτερον δὲ, τὸ διὰ βαπτίσματος υἱοθετηθῆναί τινα θεῷ, καὶ ἕτερον, τὸ διὰ φυλακῆς τῶν εὐαγγελικῶν ἐντολῶν τέκνον θεοῦ γενέσθαι. τὸ μὲν γὰρ ἀρχή· τὸ δὲ τέλος. καὶ τὸ μὲν δῶρον θεοῦ· τὸ δὲ κατόρθωμα σπουδῆς.

Vers. 13. Οἳ — ἐγεννήθησαν. Εὐτελίζει μὲν τὴν ἐξ ἀνθρώπων γέννησιν, ὡς φυσικήν· μεγαλύνει δὲ τὴν ἐκ θεοῦ, ὡς ὑπερφυῆ, ἵνα τό, τε ταπεινὸν τῆς πρώτης, καὶ τὸ ὑψηλὸν τῆς δευτέρας καταμαθόντες, καὶ τὸ μέγεθος τῆς εὐεργεσίας ἐπιγνόντες, ἀξίως εὐχαριςῶμεν καὶ ἀγωνιζώμεθα, μὴ ἀπολέσαι ταύτην ἐκ ῥαθυμίας.

Εἰπὼν δὲ, ὅτι οὐκ ἐξ αἱμάτων, ἐπήγαγε φανερώτερον, ὅτι οὐδὲ ἐκ θελήματος σαρκός. εἶτα καὶ τοῦτο τελεώτερον ἐφηρμήνευσε, προθεὶς, ὅτι οὐδὲ ἐκ θελήματος ἀνδρός. αἷμα γὰρ καὶ σὰρξ, ὁ ἀνήρ· θέλημα δὲ νῦν νόει, τὴν ἐπιθυμίαν, τὴν[3] συνουσίαν.

[Οἱονεὶ[4]) θεῖος σπόρος, εἰσελθὼν καὶ συμπήξας ἑαυτῷ σάρκα[5]) ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς, οὐ ταῖς κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου τοῦ σχήματος, ἀλλ' ὑφὲν τελειωθέντος ἀπ' ἀρχῆς, εἶτ' αὔξοντος νόμῳ τῶν ἐμβρύων. καὶ γὰρ καὶ ὁ παλαιὸς ἀδὰμ τέλειος τὸ σχῆμα καταρχὰς ἐπλάσθη.]

Vers. 14. Καὶ — ἐγένετο. [Οὐκ[6]) ἄλλως οἷόν τε ἦν τὴν τοῦ θεοῦ δηλωθῆναι περὶ ἡμᾶς ἀγάπην, ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα, καὶ ὅτι

5) ἐμψυχωμένην. A.
6) Codex vterque in margine.

vſque ad id quod peius eſt ſeſe deiecerit: caro ſiquidem longe vilior eſt anima.

Vbi dixiſſet homines ex Deo natos eſſe, ait filium etiam Dei factum eſſe hominem. Nam hoc indicat quod ait, Verbum caro factum eſt: vt qui illud admirabatur, magis etiam hoc miretur, vtpote excellentiori modo magis admirandum, quia et hoc illius cauſa eſt. Ad hoc ſiquidem Dei filius homo factus eſt, vt homines filii Dei fierent.

Quum vero audieris, Verbum caro factum eſt, ne transmutationem diuinae eſſentiae intelligas. Ipſa etenim immutabilis eſt ac impatibilis. Sed quod verbum permanens quod erat, factum eſt quod non erat: ſiue manens Deus, factus eſt homo per carnis aſſumtionem, animatus videlicet.

Tribus autem modis id quod iam eſt, fieri dicitur: Vno quidem modo natura eius quod eſt, in id quod fit transmutatur: iuxta quem modum lac efficitur caſeus: et lutum efficitur teſta. Altero vero quando manente eius quod erat ſubſtantia immutata, aliud per accidens efficitur: iuxta quem modum aes efficitur ſtatua: et homo efficitur iuſtus vel iniuſtus, aliaque ſimilia. Tertio vero modo, quando ſalua ac immutata vnius ſubſtantia, alia quoque additur ſubſtantia: et hoc modo miles efficitur armatus. Primo ergo modo non eſt verbum factum caro: non enim natura mutata eſt, neque ſecundo: non enim per accidens caro facta eſt, ſed ipſa quoque ſubſtantia. Reſtat igitur vt quod dictum eſt, tertio modo intelligatur. Nam more militis, carne veſtitus bellum noſtrum deuicit.

Dixit autem Factum eſt, vt blaſphemiam tolleret nugantium ac dicentium, quod caro imaginatum

7) μέχρι καὶ τοῦ. B.
8) ὁ, abeſt. A.
9) θαυμάζει. A.

ὅτι δι' ἡμᾶς κατέβη μέχρι[7]) τοῦ χείρονος. σὰρξ γὰρ ψυχῆς εὐτελέστερον.]

Εἰρηκὼς, ὅτι οἱ ἄνθρωποι ἐκ θεοῦ ἐγεννήθησαν, φησὶν, ὅτι καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἄνθρωπος ἐγένετο· τοῦτο γὰρ δηλοῖ τὸ, καὶ ὁ λόγος σὰρξ ἐγένετο· ἀπὸ μέρους τὸ πᾶν· ἵνα ὁ[8]) θαυμάζων ἐκεῖνο,[9]) θαυμάζῃ τοῦτο πλέον, ὡς ὑπερβαλόντως θαυμασιώτερον· ἐπεὶ καὶ τοῦτο αἴτιον ἐκείνου. καὶ γὰρ ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος ἐγένετο, ἵνα οἱ ἄνθρωποι υἱοὶ τοῦ θεοῦ γένωνται.

Ὅταν δὲ ἀκούσῃς, ὅτι ὁ λόγος σὰρξ ἐγένετο, μὴ μεταβολὴν τῆς θείας οὐσίας ἐννοήσῃς· ἀναλλοίωτος γὰρ αὕτη καὶ ἀπαθής· ἀλλ' ὅτι ὁ λόγος ὢν, ὃ ἦν, γέγονε καὶ ὃ οὐκ ἦν, ἤτοι, μένων θεὸς, γέγονε καὶ ἄνθρωπος κατὰ πρόσληψιν σαρκὸς, ἐψυχωμένης δηλονότι ψυχῇ λογικῇ καὶ νοερᾷ.

Κατὰ τρεῖς δὲ τρόπους τὸ ὂν γίνεται. καθ' ἕνα μὲν, ὅταν ἡ τοῦ ὄντος φύσις εἰς τὴν τοῦ γενομένου μεταβληθῇ, καθ' ὃν τὸ γάλα γίνεται τυρὸς, καὶ ὁ πηλὸς, ὄστρακον· καθ' ἕτερον δὲ, ὅταν τῆς οὔσης οὐσίας σωζομένης ἀμεταβλήτου προσγένηταί τι κατὰ συμβεβηκὸς, καθ' ὃν ὁ χαλκὸς γίνεται ἀνδριὰς, καὶ ὁ ἄνθρωπος δίκαιος ἢ ἄδικος, καὶ τὰ τοιαῦτα· κατὰ τὸν τρίτον δὲ, ὅταν τῆς οὔσης[1]) οὐσίας σωζομένης ἀμεταβλήτου, καὶ ἄλλη οὐσία προσληφθῇ; καθ' ὃν ὁ στρατηγὸς γίνεται ὡπλισμένος. ἀλλ' οὔτε κατὰ τὸν πρῶτον τρόπον ὁ λόγος σὰρξ ἐγένετο· οὐ γὰρ ἡ φύσις μετεβλήθη· οὔτε κατὰ τὸν δεύτερον· οὐ γὰρ ἡ προσγενομένη σὰρξ συμβεβηκὸς, ἀλλ' οὐσία καὶ αὐτή· λοιπὸν οὖν κατὰ τὸν τρίτον τρόπον χρὴ νοεῖν τὸ ῥητόν. δίκην γὰρ στρατηγοῦ τὴν σάρκα περιθέμενος, τὸν πολέμιον τῆς ἡμετέρας φύσεως κατεπολέμησε.

Ἐγένετο δὲ εἶπεν, ἀναιρῶν τὴν βλασφημίαν τῶν ληρούντων, ὅτι σὰρξ ἐφαντάσθη. χρησάμενος γὰρ

[1]) οὔσης, abest. A.

natum est verbum. Vsus enim hoc verbo, Factum est, confirmauit quod vere et non phantastice incarnatum est. Verum ne diuinae substantiae mutationem intelligas, dicit.

Vers. 14. *Et habitauit in nobis.* Habitauit in nostra carne, in ea quae nobis propinqua est, in ea quae a nobis assumta est. Quod si aliud est is qui habitat, et aliud habitatio: verbum secundum substantiam et naturam aliud mansit a carne. Nam secundum coniunctionem et vnionem, vnum est verbum suscipiens, caroque suscepta, seruatis etiam post vnionem, immutatis atque inconfusis duabus ineffabiliter naturis.

Vers. 14. *Et — eius.* Gloriam verbi, virtutem diuinitatis, quae per carnem tanquam per velum illuxit. Quae autem erat illa? Certe nunquam antea visa variaque miracula: perlucida ac supernaturalis transformatio: et tempore passionis solis praeter naturam obscuratio, formidabilis veli scissio, horribilis terrae motus, petrarum scissiones, monumentorum apertiones, mortuorum suscitationes: quodque omnium caput est, mirabilior quam dici aut cogitari potest domini resurrectio, et post hanc quaecunque gloriosa Apostoli deinceps conspexerunt.

Vers. 14. *Gloriam — patre.* Gloriam, non qualis est sanctorum beatorum vel angelorum, sed gloriam vere vnigeniti. Nam hic dictio ὡς Tanquam, idem significat quod Vere.

Vnigeniti autem a patre, siue natura filii Dei. Vnigenitum enim a matre nominari, declarat hunc natura

a) δὲ, abest. A.

γὰρ τῇ λέξει, τῇ ἐγένετο, ἐβεβαίωσεν, ὅτι καὶ τὰ ἀλήθειαν, καὶ ὁ κατὰ φαντασίαν ἐνηνθρώπησεν. ἵνα[2]) δὲ μὴ μεταβολήν τινα τῆς θείας οὐσίας ἐννοήσῃς φησί.

Verſ. 14. Καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ἐσκήνωσεν ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐν τῇ συγγενεῖ ἡμῶν, ἐν τῇ ἐξ ἡμῶν προσληφθείσῃ. εἰ γὰρ ἕτερον τὸ σκηνοῦν, καὶ ἕτερον ἡ σκηνὴ, ἕτερος ἔμεινεν ὁ λόγος παρὰ τὴν σάρκα, κατὰ τὴν οὐσίαν καὶ φύσιν· κατὰ γὰρ τὴν συνάφειαν καὶ ἕνωσιν ἕν ἐστιν ὁ προσλαβὼν λόγος, καὶ ἡ προσληφθεῖσα σὰρξ, σωζομένων καὶ[3]) μετὰ τὴν ἕνωσιν ἀτρέπτων καὶ ἀσυγχύτων τῶν δύο φύσεων ἀποῤῥήτως.

Verſ. 14. Καὶ — αὐτοῦ. Τὴν δόξαν τοῦ λόγου, τὴν δύναμιν τῆς θεότητος, διὰ τῆς σαρκὸς λάμψασαν, ὡς διὰ παραπετάσματος. τίς δὲ ἦν αὕτη; τὰ ἄπειρα καὶ ποικίλα θαύματα, ἡ ὑπέρλαμπρος καὶ ὑπερφυὴς μεταμόρφωσις. καὶ κατὰ τὸν καιρὸν τῆς σταυρώσεως, ὁ παρὰ φύσιν σκοτισμὸς τοῦ ἡλίου, τὸ φοβερὸν σχίσμα τοῦ καταπετάσματος, ὁ φρικτὸς κλόνος τῆς γῆς, τὰ σχίσματα τῶν πετρῶν, αἱ τῶν μνημείων ἀνοίξεις, αἱ τῶν νεκρῶν ἐγέρσεις, καὶ τὸ κεφάλαιον πάντων, ἡ ὑπὲρ λόγον καὶ νοῦν ἀνάστασις τοῦ δεσπότου, καὶ ὅσα μετὰ ταύτην θεοπρεπῆ καθεξῆς οἱ ἀπόστολοι ἐθεάσαντο.

Verſ. 14. Δόξαν — πατρός. Δόξαν, οὐχ οἵα ἡ τῶν δοξασθέντων ἁγίων ἢ ἀγγέλων, ἀλλὰ δόξαν ὄντως μονογενοῦς. τὸ γὰρ ὡς, ἐνταῦθα τὸ ὄντως δηλοῖ.

Μονογενοῦς δὲ, ἀπὸ πατρὸς, ἤγουν, φύσει υἱοῦ τοῦ θεοῦ. τὸ μὲν γὰρ ὀνομάζεσθαι μονογενῆ ἀπὸ μητρὸς, φύσει υἱὸν τῆς παρθένου τοῦτον ἑρμηνεύει·

3) καὶ, abeſt. A.

natura filium virginis: dici vero vnigenitum a patre, hunc natura Dei filium praedicat.

Verſ. 14. *Pleum gratia et veritate.* Confirmans amplius quod verbum caro factum, nihil ob hoc diminutum ſit, ait: Plenum erat gratia diuina et veritate: gratia quidem in admirandis operibus: veritate autem in doctrina. Et praeterea gratia, quia cuncta poterat: veritate vero, quia nihil in eo phantaſticum erat.

Verſ. 15. *Iohannes — clamat.* Etſi ego inquit quibusdam non ſatis fide dignus videor, Iohannes ante me teſtimonium de ipſius diuinitate perhibet: Iohannes inquam ille, cuius nomen magnum ac celebre erat apud omnes Iudaeos. Nec ſolum teſtificatur, verum etiam clamat, ſiue cum libertate vociferatur, ac metu omni ſepoſito praedicat. Audi vero quid teſtificetur et clamet.

Verſ. 15. *Dicens — fuit.* Dixit enim hoc, aliaque ſimilia Iudaeis de Chriſto antequam ipſe appareret aut manifeſtaretur tanquam propheta, vt fama eius praeoccuparentur: et quum poſtmodum appareret, facilius teſtimonium de illo reciperetur. Siquidem Matthaeus ſcribit eum dixiſſe: Qui poſt me venit, fortior me eſt, cuius non ſum dignus calceamenta portare.

Quid eſt autem, Poſt me venturus eſt qui ante me fuit? hoc eſt, poſt paululum ad vos venturus eſt, qui licet vt homo nondum apparuit, gloria tamen ac maieſtate me praecedit: nam maxime

4) αὐτοῦ, abeſt. A.

ἑρμηνεύει· τὸ δὲ λέγεσθαι μονογενῆ ἀπὸ πατρὸς, φύσει υἱὸν τοῦ θεοῦ τοῦτον ἀνακηρύττει.

Verſ. 14. Πλήρης χάριτος καὶ ἀληθείας. Ἔτι βεβαιῶν, ὅτι ὁ λόγος, σὰρξ γενόμενος, οὐδὲν ἠλαττώθη παρὰ τοῦτο, λέγει, ὅτι πλήρης ἦν χάριτος θείας καὶ ἀληθείας. χάριτος μὲν, ἐν ταῖς θαυματουργίαις· ἀληθείας δὲ, ἐν ταῖς διδασκαλίαις. καὶ χάριτος μὲν, ἐν τῷ πάντα δύνασθαι· ἀληθείας δὲ, ἐν τῷ μηδὲν ἔχειν φαντασίας.

Verſ. 15. Ἰωάννης — κέκραγεν. Εἰ καὶ μὴ ἐγώ, φησι, δοκῶ τισιν ἴσως ἀξιόπιστος, ἀλλὰ πρὸ ἐμοῦ ὁ Ἰωάννης μαρτυρεῖ περὶ τῆς θεότητος [4]) αὐτοῦ· Ἰωάννης ἐκεῖνος, οὗ τὸ ὄνομα μέγα καὶ περιβόητον παρὰ πᾶσι τοῖς Ἰουδαίοις. καὶ οὐχ ἁπλῶς μαρτυρεῖ, ἀλλὰ καὶ κέκραγεν, ἤγουν, βοᾷ μετὰ παῤῥησίας, κηρύττει μετὰ ἐλευθερίας, χωρὶς πάσης ὑποστολῆς. τί δὲ μαρτυρεῖ καὶ κέκραγεν, ἄκουσον·

Verſ. 15. Λέγων· [5]) — γέγονεν. Εἶπε γὰρ τοῦτό τε καὶ ἄλλα τοιαῦτα περὶ τοῦ Χριστοῦ τοῖς Ἰουδαίοις, πρὸ τοῦ φανῆναι αὐτὸν, ὡς προφήτης, καὶ ἵνα τῇ περὶ αὐτοῦ φήμῃ προκατασχεθῶσιν, καὶ λοιπὸν φανέντος, εὐπαράδεκτος ἡ περὶ αὐτοῦ μαρτυρία γένηται. καὶ γὰρ καὶ Ματθαῖος ἔγραψεν, ὅτι ἔλεγεν, [o]) ὁ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. o) Matth. 3, 11.

Τί δέ ἐστιν, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν; ὁ μετὰ μικρὸν ἐρχόμενος πρὸς ὑμᾶς, ὁ ὅσον οὔπω ἐμφανιζόμενος ὑμῖν, ὡς ἄνθρωπος, ὑπερέβη με τῇ δόξῃ καὶ μεγαλειότητι. πάνυ

5) Λέγων in interpretatione non habet Hentenius. Neque tamen in praefatione monuit, cur omiſerit.

me glorificandus et exaltandus est. Quod autem futurum est, more prophetiae, quasi iam factum sit, dixit. Deinde ponit etiam causam huiusmodi sublimitatis.

Vers. 15. *Quia prior me erat.* Quia me tanquam Deus praecedebat.

Vers. 16. *Et — accepimus.* Quum ipsum dixisset plenum gratia et veritate, ac fontem omnis boni perennem et inexhaustum esse demonstrasset, ait: Nos etiam omnes discipuli de tali ipsius plenitudine per participationem accepimus.

Vers. 16. *Et gratiam pro gratia.* Nouum testamentum pro veteri. Quod autem de his loquatur, ex sequentibus manifestum est: interim autem scito quod et hoc et illud Gratiam nominauit, quia vtrumque gratis accipientibus datum est, Deo ipsis propria sua misericordia gratificante, non ob praecedentes illorum virtutes rependente.

Quemadmodum autem dicuntur lex et lex, testamentum ac testamentum, multaque alia nomina habent communia: ita quoque gratia et gratia nominantur.

Haec autem aequiuoca sunt non synonyma: illa siquidem quae veteris sunt, rudem expressionem duntaxat significant et imitationem, quae autem noui, perfectionem: et illa sane omnibus conueniunt, haec autem solis viris:

Vel potius illa viris, ista vero angelis. Differentiam consequenter ipsorum ab his qui ea administrauerunt ostendit.

Vers. 17. *Quia — fuit.* Lex quidem, siue vetus testamentum per Mosen mediatorem data

*) ἀμφότερα. A.

πάνυ γὰρ μέλλει δοξασθῆναι καὶ μεγαλυνθῆναι. ὡς γεγενημένον δὲ εἶπε τὸ μέλλον, νόμῳ προφητείας. εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης ὑπεροχῆς.

Verſ. 15. Ὅτι πρῶτός μου ἦν. Ὅτι ὑπερκείμενός μου ἦν, ὡς θεός.

Verſ. 16. Καὶ — ἐλάβομεν. Εἰπὼν, ὅτι πλήρης χάριτος καὶ ἀληθείας ἦν, καὶ δείξας αὐτὸν πηγὴν παντὸς ἀγαθοῦ ἀέναον καὶ ἀκένωτον, φησὶν, ὅτι καὶ ἡμεῖς πάντες οἱ μαθηταὶ ἐκ τοῦ τοιούτου πληρώματος αὐτοῦ ἐλάβομεν κατὰ μετοχήν.

Verſ. 16. Καὶ χάριν ἀντὶ χάριτος. Τὴν καινὴν διαθήκην, ἀντὶ τῆς παλαιᾶς. ὅτι δὲ περὶ τούτων λέγει, δῆλον ἀπὸ τῶν ἐφεξῆς. τέως δὲ χάριν καὶ ταύτην κἀκείνην ὠνόμασε, διότι κατὰ χάριν ἀμφότεραι [6]) ἐδόθησαν τοῖς λαβοῦσι, χαριζομένου τοῦ θεοῦ τούτοις δι' ἔλεον οἰκεῖον, οὐκ ἀμειβομένου τούτους διὰ [7]) προλαβούσας ἀρετὰς αὐτῶν.

Ὥσπερ δὲ διαθήκη καὶ διαθήκη λέγονται, καὶ νόμος καὶ νόμος, καὶ πολλὰ τοιαῦτα ὀνόματα κοινὰ ἔχουσιν· οὕτω καὶ χάρις [8]) καὶ χάρις ὀνομάζονται.

Ὁμωνύμως δὲ πάντα, καὶ οὐ συνωνύμως. τὰ ἐκείνης μὲν γὰρ στοιχείωσις, τὰ ταύτης δὲ τελείωσις· κἀκεῖνα μὲν παισὶ προσήκοντα· ταῦτα δὲ ἀνδράσιν.

Ἢ ἐκεῖνα μὲν ἀνδράσι, ταῦτα δὲ ἀγγέλοις. εἶτα δεικνύει τὸ διάφορον αὐτῶν, ἀπὸ τῶν διακονησαμένων αὐτοῖς.

Verſ. 17. Ὅτι — ἐγένετο. Ὁ νόμος μὲν, εἴτουν, ἡ παλαιὰ διαθήκη διὰ μωϋσέως μεσολα-

7) τὰς, interponit. A.
8) οὕτω καὶ χάριν ὀνομάζονται. A.

data est, gratia vero siue nouum testamentum per Iesum Christum nullo altero mediante. Et Moses quidem seruus erat: quodque a Deo accepit, hoc dedit: Christus autem dominus erat, et ipse tanquam Deus nouum condidit testamentum. Quantum est igitur Mosis a Christo discrimen, tantum sane et horum. Superius certe Gratiam et gratiam dixit ob causam ibidem dictam: hic autem nouum duntaxat testamentum Gratiam nominauit, vtpote verius gratiam. Nam solum ipsum peccatorum condonat remissionem, regenerationem, adoptionem, regnum coelorum tribuit, ac bona quae oculus non vidit, nec auris audiuit, nec in cor hominis ascenderunt.

Vbi vero dixisset Gratia, addidit, Et veritas, infallibilem ipsam esse attestans ac perfectam: illa siquidem gratia erat imperfecta. Lex enim, vt ait Apostolus, nihil ad perfectum adduxit: haec autem perfecta, vtpote perfecte operans. Quanto ergo maiori gratia digni habiti sumus, tanto ad maiorem obligamur virtutem, ne tanto beneficio indigne conuersantes, dignum tanta ignauia supplicium sustineamus.

Vers. 18. *Deum — enarrauit.* Qua consequentia venerit ad hoc euangelista, aduerte. Postquam differentiam demonstrauit legis et gratiae, rationabilem etiam differentiae causam addit: quod legem quidem attulit Moses, homo qui Deum non vidit: etenim Deum nemo vidit vnquam, ideoque lex inferior est, vtpote ab homine delata. Gratiam vero siue euangelium vnigenitus filius qui versatur in sinu patris, semperque Deum videt, nempe Deus ipse, illud enarrauit, ordinauit ac docuit: ideoque potior est gratia, quippe

σολαβήσαντος ἐδόθη τοῖς ἑβραίοις· ἡ χάρις δὲ, ἤγουν, ἡ νέα, διὰ ἰησοῦ χριστοῦ ἐγένετο, οὐδενὸς ἑτέρου μεσολαβήσαντος. καὶ μωϋσῆς μὲν δοῦλος ἦν, καὶ ὅπερ ἔλαβεν ἐκ θεοῦ, τοῦτο ἔδωκε· χριστὸς δὲ δεσπότης ἦν, καὶ αὐτὸς ἐποίησε τὴν νέαν, ὡς θεός. ὅσον οὖν τὸ διάφορον μωϋσέως καὶ χριστοῦ· τοσοῦτον ἄρα καὶ τούτων. ἄνω μὲν οὖν χάριν καὶ χάριν εἶπε, διὰ τὴν ἐκεῖ ῥηθεῖσαν αἰτίαν· ἐνταῦθα δὲ, μόνην τὴν νέαν διαθήκην ἐκάλεσε χάριν, ὡς μᾶλλον χάριν. μόνη γὰρ αὕτη χαρίζεται ἄφεσιν ἁμαρτιῶν, ἀναγέννησιν, υἱοθεσίαν, βασιλείαν οὐρανῶν, καὶ ἀγαθὰ, ἃ [p]) ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. p) 1 Cor. 2, 9.

Εἰπὼν δὲ, ὅτι ἡ χάρις, προσέθηκεν, ὅτι καὶ ἡ ἀλήθεια· τὸ ἀψευδὲς αὐτῇ προσμαρτυρῶν, ἢ τὸ τέλειον. ἐκείνη μὲν γὰρ ἡ χάρις ἀτελής· ὁ νόμος [q]) γὰρ οὐδὲν ἐτελείωσε, φησὶν ὁ ἀπόστολος· αὕτη δὲ τελεία, ὡς τελειοποιός. ὅσον οὖν μείζονος χάριτος ἠξιώθημεν, τοσοῦτον μείζονα ἀρετὴν ὀφείλομεν, ἵνα μὴ, ἀναξίως τῆς τηλικαύτης εὐεργεσίας πολιτευσάμενοι, ἀξίαν τῆς τηλικαύτης ῥαθυμίας δίκην ὑφέξομεν. q) Hebr. 7, 19.

Verſ. 18. Θεὸν — ἐξηγήσατο. Ἐκ ποίας ἀκολουθίας εἰς τοῦτο ἦλθεν ὁ εὐαγγελιστὴς, πρόσχες. δείξας τὸ διάφορον τοῦ νόμου τε καὶ τῆς χάριτος, ἐπάγει καὶ αἰτίαν εὔλογον τῆς διαφορᾶς, ὅτι τὸν μὲν νόμον μωϋσῆς ἐκόμισεν, ἄνθρωπος, μὴ ἑωρακὼς τὸν θεόν· καὶ γὰρ θεὸν οὐδεὶς ἑώρακε πώποτε· καὶ διὰ τοῦτό ἐστιν ἐλάττων ὁ νόμος, ὡς παρὰ ἀνθρώπου κομισθείς· τὴν δὲ χάριν, ἤτοι, τὸ εὐαγγέλιον, ὁ μονογενὴς υἱὸς, ὁ ἐνδιαιτώμενος τῷ κόλπῳ τοῦ πατρὸς, καὶ ἀεὶ ὁρῶν τὸν θεὸν, ὡς θεὸς, ἐκεῖνος ἐξηγήσατο, συνέταξεν, ἐδίδαξε· καὶ διὰ τοῦτο μείζων ἡ χάρις,

quippe a Deo facta, qui Deum intuetur, et ea quae Dei sunt cognoscit.

Sed quomodo dixit, Deum nemo vidit vnquam? Nam et Iesaias Deum vidit sedentem super solium excelsum et eleuatum: Iezeciel autem vidit ipsum sedentem super Cherubim. Daniel praeterea ipsum vidit sedentem antiquum dierum: et alii quoque ipsum viderunt. Sed id non veluti secundum naturam erat, sed sicut iuxta similitudinem apparebat. Nam si ipsum iuxta suam naturam vidissent, nequaquam variis modis vidissent: simplex enim et sine figura est, et neque sedet, neque stat, neque ambulat: nam haec corporum sunt. Vnde et dicit: Ego visiones multiplicaui, et in manu prophetarum assimulatus sum: visiones diuersas ac similitudinem significans.

Nominatur autem vnigenitus filius, quod solus patri natus sit, soloque patre genitus. Pater quoque solum est pater, non etiam filius alicuius, vt alii sint patres: filius etiam solum natus est, non pater etiam alicuius, vt plures essent filii. Ad haec quia vnico ac proprio modo natus est, qui nec dici, nec cogitari potest, non corporum more. Dicitur autem filius, quod eiusdem sit cum patre substantiae: nec solum hoc, sed quia etiam ab eo est. Sinum vero dixit patris, non quod Deus sinum habeat: nam sinus corporum est: sed per hoc quod dicit, Qui est in sinu patris: proprium et consubstantiale filii significauit.

Potest quoque et alio modo dici, quod prioris dicti videlicet, Deum nemo vidit vnquam, confirmatio est id quod sequitur, Vnigenitus filius qui est

⁹) τούτου, pro τοῦ. A.

ὡς παρὰ θεοῦ γεγονυῖα, τοῦ ὁρῶντος τὸν θεὸν, καὶ γινώσκοντος τὰ τοῦ θεοῦ.

Ἀλλὰ πῶς εἶπεν, ὅτι θεὸν οὐδεὶς ἑώρακε πώποτε; καὶ γὰρ ἠσαΐας μὲν εἶδε τὸν κύριον καθήμενον[r]) ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· ἰεζεκιὴλ δὲ εἶδεν αὐτὸν καθήμενον[s]) ἐπὶ τῶν χερουβίμ· καὶ δανιὴλ[t]) δὲ εἶδεν αὐτὸν καθήμενον παλαιὸν ἡμερῶν· καὶ ἄλλοι δὲ τοῦτον ἑωράκασι. πλὴν οὐχ ὡς ἦν, κατὰ φύσιν, ἀλλ᾽ ὡς ἐφαίνετο, καθ᾽ ὁμοίωσιν. εἰ γὰρ αὐτὴν ἑώρων τὴν αὐτοῦ φύσιν, οὐκ ἂν διαφόρως αὐτὴν ἑώρων. ἁπλῆ γάρ τίς ἐστι καὶ ἀσχημάτιστος, καὶ οὔτε κάθηται, οὔτε ἕστηκεν, οὔτε περιπατεῖ. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τῶν σωμάτων εἰσί. διὸ καὶ ἔλεγεν· ἐγὼ[v]) ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην· τὰς διαφόρους ὁράσεις καὶ τὴν ὁμοίωσιν δηλῶν.

r) Ies. 6, 1.
s) Ezech. 10, 18.
t) Daniel. 7, 9.
v) Osee. 12, 10.

Vers. 12. *Num — eius?* Samaritani etiam, quum iam Samariam patriam possiderent, Iaacob quoque patrem suum appellabant, tanquam iam olim possessorem ac patrem huius ipsorum patriae; et hinc sese intrudebant in generosam Iudaeorum generationem.

Quidam autem dicunt, hanc mulierem, aliosque plurimos Samariam incolentium a Iaacob descendisse: olim autem progenitoribus captis, ac Babyloniam in seruitutem ductis, hos Samaritanis commixtos, et cum eis versatos, longo tempore variisque calamitatibus ad eorum mores transmutatos.

Aut vocabant patrem Iaacob, eo quod et hic a Chaldaeis genus traxerat.

Dicit

³) ἀνδρίαν. A.
⁴) ὅτι, addit. A.

καὶ ἓν ὂν, εἰς διαφόρους ἐνεργείας διαιρεῖ τὴν χάριν καὶ δύναμιν· πῦρ δὲ, διότι, καθάπερ τὸ πῦρ, μονοειδὲς ὂν, διαφόρως ἐνεργεῖ, θερμαῖνον, φλέγον, φωτίζον, καθαῖρον. οὕτω δὴ καὶ τὸ θεῖον πνεῦμα.

Verſ. 11. Λέγει — ζῶν; Μὴ δυνηθεῖσα νοῆσαι τὸ ῥηθὲν, ὑπώπτευσεν, ὅτι ὕδωρ ζῶν λέγει, τὸ ἀπὸ τοῦ φρέατος ἐκείνου, ὡς ἀναβλύζον καὶ ἀλλόμενον, καὶ ὑπενόησε ῥηθῆναι τὸν λόγον, ὡς ἐκείνου δυναμένου συντομώτερον ἀνιμήσασθαι, δι' ἀνδρείαν [8]) καὶ ἐπιτηδειότητα.

Τέως δὲ κύριον αὐτὸν προσηγόρευσε, νομίσασα, μέγαν εἶναί τινα. καὶ γὰρ ἤκουσεν, [9]) εἰ ᾔδεις, τίς ἐστιν ὁ λέγων σοί, δός μοι πιεῖν, καὶ τὰ ἑξῆς· καὶ αὐτίκα τετίμηκεν αὐτὸν τῇ τοιαύτῃ προσηγορίᾳ, καὶ μετὰ πάσης ἐπιεικείας καὶ τὰ λοιπὰ διαλέγεται. ἄντλημα δέ φησι, τὸ ἀγγεῖον.

Verſ. 12. Μὴ — αὐτοῦ; Καὶ οἱ σαμαρεῖται, πατρίδα τὴν σαμάρειαν ἤδη κεκτημένοι, πατέρα λοιπὸν ἑαυτοῖς ἐπεγράφοντο τὸν ἰακὼβ, ὡς προκάτοχον καὶ πατέρα τῆς τοιαύτης αὐτῶν πατρίδος, κἀντεῦθεν εἰσώθουν ἑαυτοὺς εἰς τὴν ἰουδαϊκὴν συγγένειαν.

Φασὶ δέ τινες, ὅτι ἡ σαμαρεῖτις αὕτη γυνὴ, καὶ ἄλλοι πολλοὶ τῶν τὴν σαμάρειαν οἰκούντων, ἐξ ἰακὼβ μὲν εἷλκον τὸ γένος, αἰχμαλωτισθέντων δὲ πάλαι τῶν προγόνων αὐτῶν, καὶ δουλευσάντων παρὰ βαβυλωνίοις, μιγάδες οὗτοι συνῆσαν τοῖς σαμαρείταις, τῷ μακρῷ χρόνῳ καὶ ταῖς πολυτρόποις συμφοραῖς πρὸς τὰ ἐκείνων ἤθη μεταστάντες.

Ἢ πατέρα ἐπεγράφοντο τὸν ἰακὼβ, ὡς ἐκ χαλδαίων καὶ αὐτὸν ἕλκοντα τὸ γένος.

Λέγει

Dicit ergo nunc Samaritana: Quod si de hac non loqueris aqua: num tu maior es patre nostro Iaacob, qui dedit nobis puteum hunc tam celebrem, vt meliorem possis dare aquam? Quod autem additur, Et ipse ex eo bibit, et filii eius et pecora eius, ad ipsius putei laudem dictum est. Nam si meliorem alium habuisset, nequaquam cum tota familia ex hoc bibisset. Reliquum est igitur, vt si possis dare meliorem, maior sis Iaacob.

Haec itaque Samaritana de Iaacob cum eo loqui perseuerat, optans, quod quaerit, inuenire: Iudaei vero etiam lapidare eum tentabant, dum Abraham faceret mentionem. Quomodo ergo aequum esset, vt huiusmodi repelleret mulierem studiosam, discendi auidam, a *) iuuari cupientem.

Vers. 13. *Respondit — iterum.* Siti aquae.

Vers. 14. *Quisquis — aeternum.* Nequaquam sitiet vnquam incredulitatis siti.

Vers. 14. *Sed — aquae.* Per fontem significauit perpetuitatem ac integritatem huiusmodi aquae.

Vers. 14. *Salientis — aeternam.* Scaturientis ad vitam aeternam, eo, quod vitam praebeat aeternam. Vide autem, quod, quum mulier dixisset, Num tu maior es patre nostro Iaacob, non dixit, Vtique maior sum: videretur enim seipsum iactare: sed ab his, quae dixit, hoc intulit. Nam differentia aquarum differentiam infert praebentium illas, quum naturaliter aqua illa consumatur, haec autem perpetuo maneat.

Vers. 15.

*) Praepositiones εἰς et διὰ suis locis motas arbitror. Διὰ certe hic locum vix habere potest. Forte Hen-

Λέγει δὲ νῦν ἡ σαμαρεῖτις, ὅτι εἰ μὴ περὶ τούτου λέγεις τοῦ ὕδατος, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ τουτὶ, τὸ περιβόητον, ἵνα καὶ δύνῃ δοῦναι κρεῖττον ὕδωρ; τὸ δὲ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ, πρὸς ἔπαινον τοῦ τοιούτου φρέατος εἴρηται, ὅτι ἐὰν εἶχεν ἕτερον κρεῖττον, οὐκ ἂν ἐκ τούτου ἔπιε πανοικί. λοιπὸν οὖν, εἰ σὺ δύναιο δοῦναι κρεῖττον, μείζων εἶ τοῦ ἰακώβ.

Ἡ μὲν οὖν σαμαρεῖτις αὕτη προσηνῶς αὐτῷ περὶ τοῦ ἰακὼβ διαλέγεται, καὶ παραμένει, ποθοῦσα εὑρεῖν τὸ ζητούμενον· οἱ δὲ ἰουδαῖοι καὶ λιθάζειν αὐτὸν ἐπεχείρησαν, ὅτε τοῦ ἀβραὰμ ἐμνημόνευσε. πῶς οὖν εἰκὸς ἦν, ἀποστραφῆναι τοιαύτην γυναῖκα, σπουδαίαν καὶ φιλομαθῆ καὶ γλιχομένην ὠφεληθῆναι.

Verſ. 13. Ἀπεκρίθη — πάλιν. Δίψαν ὕδατος.

Verſ. 14. Ὃς — αἰῶνα. Οὐ μὴ διψήσῃ ποτὲ, τὴν ἐξ ἀπιστίας δίψαν.

Verſ. 14. Ἀλλὰ — ὕδατος. Διὰ τῆς πηγῆς, τὸ ἀέναον καὶ ἀνελλιπὲς τοῦ τοιούτου ὕδατος ἐνέφηνεν.

Verſ. 14. Ἁλλομένου — αἰώνιον. Ἀναβλύζοντος [1]) διὰ ζωὴν αἰώνιον, εἰς τὸ παρέχειν ζωὴν αἰώνιον. ὅρα δὲ, πῶς εἰρηκυίας τῆς γυναικὸς, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἰακὼβ, οὐκ εἶπε, καὶ μείζων εἰμί· ἔδοξε γὰρ ἂν κομπάζειν· ἀφ' ὧν δὲ εἴρηκε, τοῦτο κατεσκεύασεν. ἡ διαφορὰ γὰρ τῶν ὑδάτων, τὴν διαφορὰν τῶν παρεχόντων αὐτὰ κηρύττει. ἐκείνῳ μὲν γὰρ τῷ ὕδατι φύσις, δαπανᾶσθαι· τούτῳ δὲ, πηγάζειν ἀεί.

Verſ. 15.

1) Hentenius invenit: ἀναβλύζοντος εἰς ζωὴν αἰώνιον διὰ τὸ παρέχειν.

Verſ. 15. *Dicit — ad hauriendum.* Paulatim ad dogmatum celſitudinem prouehitur. Ab aquae enim, quam tribuit, praeſtantia, hunc eſſe maiorem Iaacob credit, quodque excellentioris naturae aquam tribuat, intelligit: nondum autem perfecte cognoſcit, aut quis ſit, qui hanc donet, aut quid illa ſit aqna, percipit: ſuſpicatur tamen id, quod datur, tale quippiam eſſe, quod ſitim hanc ſenſibilem perimat. Non eſt ergo leuis haec mulier: neque enim vtcunque ſuſcepit ea, quae dicebantur, ſed poſt longam interrogationem: neque rurſum incredula ac contentioſa. Nam quum maiorem eum inueniſſet, quam Iaacob, non permanſit in praeſumta opinione. Atqui Iudaeis dixit Chriſtus, Qui venit ad me, non eſuriet: et qui credit in me, non ſitiet in aeternum: illi autem non ſolum non crediderunt, ſed et offendiculum ex eo paſſi ſunt.

Verſ. 16. *Dixit — huc.* Quum inſtaret et apprehendere vellet, ait: Abi voca virum tuum et veni huc, ſimulans, quod etiam illum cum ea communicare oporteret in dono. Atqui nouerat eam virum legitimum non habere, vtpote omnia ſciens: id tamen volebat ipſam dicere, vt apprehenſa occaſione, quae circa eam acciderant, prophetaret, ipſamque corrigeret. Vult enim vaticiniorum ac miraculorum occaſiones ab his, quae contingunt, accipere: vt et vanae gloriae ſuſpicionem deuitet, et eos ſibi familiariores reddat. Siquidem alio modo dicere, Frequenter nupta fuiſti, et nunc viro iuncta es illegitimo, intempeſtiuum videbatur atque ſuperfluum: accepta vero ab ea cauſa, tempeſtiuum erat atque conſequens.

Verſ. 17.

Vers. 15. Λέγει — ἀντλεῖν. Κατὰ μικρὸν ἀνάγεται πρὸς τὸ τῶν δογμάτων ὕψος. ἀπὸ τῆς ὑπεροχῆς γὰρ, οὗ δίδωσιν ὕδατος, μείζονα τοῦτον τοῦ Ἰακὼβ εἶναι πεπίστευκε. καὶ ὅτι μὲν ἑτέρας φύσεως ὕδωρ δίδωσιν ὑψηλοτέρας, ἐνόησεν· οὔπω δὲ τὸ τέλειον ἔγνω. οὔτε γὰρ, τίς ἐστιν ὁ τοῦτο διδοὺς, οὔτε, τί ἐστι τοῦτο, κατέλαβεν. ὑπέλαβε δὲ τὸ διδόμενον ἀναιρετικὸν τυγχάνειν ταύτης τῆς δίψης τῆς αἰσθητῆς. οὔτε οὖν εὔκολος ἡ γυνὴ αὕτη· οὐ γὰρ ἁπλῶς ἐδέξατο τὰ λεγόμενα, ἀλλὰ μετὰ πολλῆς συζητήσεως· οὔτε ἀπειθὴς καὶ φιλόνεικος· εὑροῦσα γὰρ τὸν μείζονα τοῦ Ἰακὼβ, οὐκ ἐμμεμενηκυῖα τῇ προλήψει. καίτοι καὶ Ἰουδαίοις εἶπεν, ὅτι ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ, καὶ ὁ v) Io. 6, 35.
πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε· ἀλλ' οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλὰ καὶ ἐσκανδαλίσθησαν.

Vers. 16. Λέγει — ἐνθάδε. Ἐγκειμένης καὶ ζητούσης λαβεῖν, λέγει, ὕπαγε, κάλεσον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε, προσποιούμενος, ὅτι χρὴ κἀκεῖνον κοινωνῆσαι ταύτῃ τῆς δωρεᾶς. καὶ ὅτι μὲν οὐκ ἔχει ἄνδρα νόμιμον, ἐγίνωσκεν, ὡς πάντα εἰδώς· ἐβούλετο δὲ ταύτην εἰπεῖν, ὅτι οὐκ ἔχει ἄνδρα, ἵνα λοιπὸν, προφάσεως δραξάμενος, προφητεύσῃ τὰ κατ' αὐτὴν, καὶ διορθώσηται ταύτην. θέλει γὰρ τῶν προρρήσεων καὶ τῶν θαυμάτων τὰς ἀφορμὰς παρ' αὐτῶν λαμβάνειν τῶν προσιόντων, ὥστε καὶ τὴν τοῦ κενοδοξεῖν ὑπόληψιν διαφεύγειν, καὶ οἰκειοῦσθαι μᾶλλον αὐτούς. τὸ μὲν γὰρ εἰπεῖν προηγουμένως, ὅτι πολύγαμος γέγονας, καὶ νῦν ἔχεις ἄνδρα παράνομον, ἄκαιρον ἐδόκει, καὶ περιττόν· τὸ δὲ παρ' αὐτῆς λαβόντα τὴν αἰτίαν, σφόδρα εὔκαιρον καὶ ἀκόλουθον.

Vers. 17. *Respondit — virum.* Putans simpliciter cum homine loqui, occultata rei turpitudine, fallere eum conabatur.

Vers. 17. *Respondit — v. 18. dixisti.* Accepta, vt dictum est, occasione prophetat, eamque arguit, ad amussim omnino manifestos ac legitimos eius viros enumerans, et eum, qui nunc occultus erat ac illegitimus manifestans. Nam quinque viros palam et successiue habuerat, siquidem hoc permissum erat: quinto autem mortuo, nullus eam manifeste in vxorem accipere voluit: ipsa vero non ferens concupiscentiam, sibi occulte coniunctum habebat. Quinque ergo viri fuerant ipsius, quia manifeste coniuncti: is autem, cui nunc commiscebatur, suus non erat, eo quod occultus esset.

† ‡. Sancti Maximi: Mulier Samaritana significabat naturam humanam, quae quinque leges acceperat, tanquam viros, nimirum legem Adamo datam in Paradiso et extra Paradisum eidem rursus datam, datam Noë tempore diluuii, Abrahamo de circumcisione et rursus eidem datam de Isaaco sacrificando: sed hae quinque praeterierant et quasi mortuae erant: habebat autem tunc Mosaicam. Sed haec lex non erat maritus eius, vel quod non tota diligebatur et seruabatur, vel, quod non ad omne tempus, sed tantum vsque ad aduentum Seruatoris data erat Iudaicae naturae humanae. Exinde vero non erat vir eius, cum alia eam sibi iunxisset, lex, nimirum euangelica. Puteus

4) Haec vterque Codex exhibet in margine. Hentenius prorsus non agnoscit.
5) Etiam hic τῷ scribendum.
4) Pro ἀπετεθνήκεισαν.

Vers. 17. Ἀπεκρίθη — ἄνδρα. Οἰομένη πρὸς ἄνθρωπον ἁπλῶς διαλέγεσθαι, ἐπεχείρησε λαθεῖν, κρύπτουσα τὸ αἰσχρὸν τοῦ πράγματος.

Vers. 17. Λέγει — v. 18. εἴρηκας. Ἀψάμενος ἀφορμῆς, ὡς εἴρηται, προφητεύει καὶ διελέγχει ταύτην, ἀκριβῶς ἄγαν τούς τε φανεροὺς καὶ νομίμους ἄνδρας αὐτῆς ἀριθμῶν, καὶ τὸν νῦν λαθραῖον καὶ παράνομον ἀποκαλύπτων. πέντε μὲν γὰρ ἄνδρας ἔσχε φανερῶς, κατὰ διαδοχήν· τοῦτο γὰρ ἀκώλυτον ἦν· τοῦ πέμπτου δὲ τελευτήσαντος, οὐκ ἔτι λοιπὸν οὐδεὶς αὐτὴν φανερῶς εἰς γυναῖκα λαβεῖν ἠθέλησεν. αὕτη δὲ μὴ φέρουσα τὴν ἐπιθυμίαν, λαθραῖον εἶχε τὸν αὐτῇ συγγινόμενον. οἱ πέντε μὲν οὖν, ἄνδρες αὐτῆς ἦσαν, διὰ τὸ φανερόν· ὁ δὲ τότε μιγνύμενος, οὐκ ἦν ἀνὴρ αὐτῆς, διὰ τὸ λαθραῖον.

[Τοῦ 2) ἁγίου μαξίμου· ἡ σαμαρεῖτις ὑπεδήλου τὴν ἀνθρωπίνην φύσιν, λαβοῦσαν πέντε νόμους, ὡς ἄνδρας, τόν τε ἐν τῷ παραδείσῳ δοθέντα τῷ ἀδάμ, καὶ τὸν ἐκτὸς τοῦ παραδείσου τῷ αὐτῷ πάλιν δοθέντα, καὶ τὸν τοῦ 3) νῶε, κατὰ τὸν κατακλυσμόν, καὶ τὸν τῷ ἀβραὰμ περὶ τῆς περιτομῆς, καὶ τὸν τῷ αὐτῷ πάλιν, περὶ τῆς κατὰ τὸν ἰσαὰκ θυσίας· ἀλλ' οὗτοι μὲν οἱ πέντε, παρῆλθον, καὶ οἷον 4) ἀποτεθνήκεσαν· εἶχε δὲ τότε τὸν μωσαϊκόν. οὐκ ἦν δὲ οὗτος 5) ἀνὴρ αὐτῆς, ἢ ὅτι οὐ καθ' ὁλόκληρον ἐξείργετό τε καὶ ἐφυλάσσετο, ἢ ὅτι οὐ διὰ παντός, ἀλλὰ μέχρι τῆς τοῦ σωτῆρος ἐπιδημίας, ἐδόθη τῇ κατὰ τοὺς ἰουδαίους φύσει τῶν ἀνθρώπων. ἔκτοτε δὲ οὐκ ἦν ἀνὴρ αὐτῆς, ἄλλου ταύτην ἁρμοζομένου ἑαυτῷ, λέγω δή, τοῦ

*) In Latino haec valde claudicant, cum *lex* sit femininum.

teus igitur Iacobi, est sacra scriptura: aqua vero eius, huius cognitio: profunditas autem, profunditas sententiarum: haustrum vero, eruditio verbi diuini quae fit per litteras, quam dominus non habuit, cum ipse verbum sit ac vera sapientia, cumque discipulis suis non per litteras dederit eruditionem, sed per gratiam spiritualem.

Vers. 19. *Dicit — tu.* Non indigne tulit, quod manifeste argueretur, neque pro iniuria duxit increpationem, sed admirata perfectam eius cognitionem, vere prophetam eum esse deprehendit: Video, inquit, siue, intelligo. Et exinde nihil mundanum aut temporale eum interrogat, sed statim de dogmatibus. Ait enim.

Vers. 20. *Patres — adorare.* Patres dixit Abraham et Isaac. Vetus siquidem historia tradit, Abraham in illo monte obtulisse Isaac Deo in holocaustum. Aut patres dixit Iaacob et filios eius. Nam Iaacob ibi constituit altare et adorauit Deum. Mulier itaque quaestionem proposuit, putans Samaritanorum dogma melius esse, quam Iudaeorum, et honoratiorem locum esse montis illius, quam Ierosolyma. Christus vero primum eleuat vtriusque loci dignitatem, eo, quod breui futurum esset, vt cultus diuinus in vtroque cessaret: deinde Iudaeos praeponit, et postmodum diuini cultus dogma manifestat.

Vers. 21.

b) συνετωτέρως, abest. A. Hoc vocabulo videtur Hentenii etiam Codex caruisse. Ergo reddidit *praefert*, Sensum ergo expressit, non vocabulum ἀπο-

τοῦ εὐαγγελικοῦ νόμου. Φρέαρ μὲν ἦν τὸ ἰακὼβ, ἡ θεία ἐστὶ γραφή· ὕδωρ δὲ τούτου, ἡ ταύτης γνῶσις· βάθος δὲ, τὸ βάθος τῶν νοημάτων· ἄντλημα δὲ, ἡ διὰ τῶν γραμμάτων μάθησις τοῦ θείου λόγου, ἣν οὐκ εἶχεν ὁ κύριος, ὡς αὐτὸ τοῦτο, λόγος καὶ αὐτοσοφία, καὶ ἐ τὴν διὰ γραμμάτων μάθησιν διδοὺς τοῖς μαθηταῖς αὐτοῦ, ἀλλὰ τὴν διὰ πνευματικῆς χάριτος.]

Verſ. 19. Λέγει — σύ. Οὐκ ἐδυσχέρανεν ἐλεγχθεῖσα προδήλως, ἐδὲ ὕβριν ἡγήσατο τὸν ἔλεγχον, ἀλλὰ ἐκπλαγεῖσα τὴν ἀκριβεστάτην πρόγνωσιν αὐτῦ, κατενόησεν, ὅτι ὄντως προφήτης ἐστίν. θεωρῶ, γάρ φησιν, ἤτοι, συνίημι. εἶτα ἐδὲν βιωτικὸν αὐτὸν ἐρωτᾷ, ἀλλὰ περὶ δογμάτων εὐθύς. Φησὶ γάρ.

Verſ. 20. Οἱ πατέρες — προσκυνεῖν. Πατέρας εἶπε, τὸν ἀβραὰμ καὶ τὸν ἰσαάκ. καὶ γὰρ ἐν ἐκείνῳ τῷ ὄρει, λόγος ἀρχαῖος ἱστορεῖ, τὸν ἀβραὰμ ἀνενηνοχέναι τὸν ἰσαὰκ εἰς θυσίαν τῷ θεῷ. ἢ πατέρας εἶπε, τὸν ἰακὼβ καὶ τοὺς υἱοὺς αὐτοῦ. καὶ γὰρ ὁ ἰακὼβ ἔστησεν ἐκεῖ θυσιαστήριον καὶ προσεκύνησε τὸν θεόν. ἡ μὲν οὖν γυνὴ προσήγαγε τὴν ἐρώτησιν, οἰομένη κρεῖττον εἶναι τὸ δόγμα τῶν σαμαρειτῶν, παρὰ τὸ τῶν ἰουδαίων, καὶ τὸν τόπον τιμιώτερον τῦ ὄρους ἐκείνου, παρὰ τὸν τῶν ἱεροσολύμων· ὁ δὲ χριστὸς πρῶτον μὲν καὶ ἀμφοτέρων τῶν τόπων ἀναιρεῖ τὰ πρεσβεῖα, διὰ τὸ μέλλειν ὅσον οὔπω παυθῆναι τὰς ἐν ἐκείνοις λατρείας· εἶτα ἀποφαίνει τοὺς ἰεδαίους [6]) συνετωτέρους· ἔπειτα παρανοίγει τὸ δόγμα τῆς εὐσεβείας.

ἀποφαίνει. Προτιμᾷ, προκρίνει nimis recedunt a meorum Codd. lectione.

Verſ. 21. *Ait — patrem.* † † Sophoniae: Et adorabunt eum quilibet ex loco ſuo.

Ex hoc praedicit diſſolutionem Samaritici ſimul et Iudaici cultus, quam paſſi ſunt, exterminati poſt Chriſti paſſionem a Romanis.

Verſ. 22. *Vos — ſcimus.* Quanquam enim eundem Deum colebant Samaritani et Iudaei: tamen Samaritani ignorabant, quod omnium gentium eſſet dominus: opinabantur ſiquidem, quod ſolis Samaritanis atque Iudaeis dominaretur: Iudaei vero cognoſcebant, quod omnium gentium eſſet dominus omnipotens. Ideo dixit ad illam, Vos adoratis, quod neſcitis, hoc eſt, cuius poteſtatem non cognoſcitis: et ſeipſum Iudaeis connumerauit, dicens, Nos adoramus, quod ſcimus, quia et ex Iudaeis erat progenitus, et Samaritanae Iudaeus videbatur. Deinde etiam inducit, quod maius eſt.

Verſ. 22. *Quia — eſt.* Samaritanorum ſalus ex Iudaeis eſt: nam ab illis didicerunt Deum cognoſcere, et idola reſpuere. Aut alio modo. Salus mundi ex Iudaeis eſt, quum ab eis Chriſtus ſit incarnatus.

Verſ. 23. *Sed — veritate.* Vbi Iudaeos Samaritanis praepoſuiſſet, rurſum nunc Iudaeis praeponit Chriſtianos: vt ſuſpicione careat praelatio, et non appareat Iudaeis gratificari, tanquam Iudaeus. Vbi autem dixit, Venit tempus: ne putaret, illud differendum, ſubiunxit, Et nunc eſt; ſiue iam imminet, inſtat.

Veros

7) Haec vterque in margine. Eadem etiam Cod. a. habet in contextu, poſt προσκυνήσετε τῷ πατρί. Et quidem litteris majuſculis, quibus reliqua ſacri contextus ſcripta ſunt. Eſt ergo hoc manifeſtum

Vers. 21. Λέγει — πατρί. [7) Σοφονίου *) καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ.] *) Soph. 2, 11.

Ἐντεῦθεν προαναφωνεῖ τὴν κατάλυσιν τῆς σαμαρειτικῆς ὁμοῦ καὶ ἰουδαϊκῆς λατρείας, ἣν πεπόνθασιν ἐξολοθρευθέντες ὑπὸ ῥωμαίων, μετὰ τὴν χριστοκτονίαν. ὥραν δὲ νόει, τὸν καιρόν.

Vers. 22. Ὑμεῖς — οἴδαμεν. Εἰ γὰρ καὶ τὸν αὐτὸν θεὸν ἐσέβοντο σαμαρεῖται καὶ ἰουδαῖοι· ἀλλὰ σαμαρεῖται μὲν ἠγνόουν, ὅτι πάντων τῶν ἐθνῶν κύριός ἐστι· μόνων γὰρ σαμαρειτῶν καὶ ἰουδαίων δεσπόζειν αὐτὸν ὑπελάμβανον· ἰουδαῖοι δὲ ἐγίνωσκον, ὅτι παντοκράτωρ ἐστί. διὰ τοῦτο πρὸς αὐτὴν εἶπεν, ὅτι ὑμεῖς προσκυνεῖτε, ὃ οὐκ οἴδατε, τουτέστιν, οὗ τὴν ἐξουσίαν οὐκ οἴδατε. καὶ ἑαυτὸν δὲ συνέταξε τοῖς ἰουδαίοις· ἡμεῖς, γάρ φησι, προσκυνοῦμεν, ὃ οἴδαμεν· διότι καὶ ἐξ ἰουδαίων ἐβλάστησε, καὶ ἰουδαῖος τῇ σαμαρείτιδι ἔδοξεν. εἶτα ἐπάγει καὶ τὸ μεῖζον·

Vers. 22. Ὅτι — ἐστίν. Ἡ σωτηρία τῶν σαμαρειτῶν ἐκ τῶν ἰουδαίων ἐστίν. ἐξ αὐτῶν γὰρ ἔμαθον εἰδέναι τὸν θεόν, καὶ καταγινώσκειν τῶν εἰδώλων. ἢ καὶ ἑτέρως. ἡ σωτηρία τοῦ κόσμου ἐκ τῶν ἰουδαίων. ἐξ αὐτῶν γὰρ ὁ χριστὸς ἐνηνθρώπησεν.

Vers. 23. Ἀλλ' — ἀλήθεια. Προτιμήσας τῶν σαμαρειτῶν τοὺς ἰουδαίους, νῦν προτιμᾷ πάλιν τῶν ἰουδαίων τοὺς χριστιανούς, ἵνα ἀνύποπτος ἡ προτίμησις γένηται, καὶ μὴ δόξῃ καταχαρίζεσθαι τοῖς ἰουδαίοις, ὡς ἰουδαῖος. εἰπὼν δέ, ὅτι ἔρχεται ὥρα, ἵνα μὴ νομίσῃ βραδύνειν αὐτήν, προσέθηκεν, ὅτι καὶ νῦν ἐστιν, ἤγουν, ἐνέστηκεν ἤδη.

 Ἀλη-

ftum indicium particulae ex marg. in textum translatae.

Veros item adoratores dicit eos, qui in se credunt, qui de ecclesia sunt, tanquam vere colentes, et non in vmbris seruientes, sicut Iudaei et Samaritani: nam omnis horum seruitus vmbra erat et figura veritatis. Veri ergo adoratores adorabunt patrem non in corpore, sed in spiritu, hoc est, non per corporales victimas, sed per spirituales: nec in vmbris et figuris, sed in veritate: nec cultum loco circumscribentes, veluti Iudaei et Samaritani, sed in omni loco dominationis eius benedicentes dominum.

De solo autem patre facit nunc mentionem, propter mulieris imbecillitatem: neque enim repentinum dogma proponere ei oportebat.

Vers. 23. *Nam et — ipsum.* Puta non figuratiuos, sed veros: non corporaliter, sed spiritualiter immolantes. Dicens autem, Quaerit, ostendit, quod legis immolatio displiceret, et sane olim condescendendo statuerat illam, et vsque ad id tempus sustinuerat, propter Hebraeorum imbecillitatem et crassitudinem.

Vers. 24. *Spiritus — adorare.* Spiritus, hoc est, incorporeus: ideo etiam colentes eum, spiritualiter colere oportet, non in vmbra, sed in veritate: haec enim conueniens est, ac Deum decet. Spiritualis autem cultus, siue latria, est animi modestia, sacrificium, inquit, Deo spiritus contritus: et oratio, sacrifica, ait, Deo sacrificium laudis: Et, vt vno verbo dicam, omnis virtus spiritualis, Tunc acceptabis, inquit, sacrificium iustitiae: vbi dictio Iustitiae, pro omni virtute accipitur, per quam homo iustus efficitur.

Vers. 25.

*) Forte λατρεύσουσιν, vt habet Hentenius. In textu etiam est προσκυνήσουσιν.

Ἀληθινοὺς δὲ προσκυνητὰς λέγει, τοὺς πιστεύοντας εἰς αὐτὸν, τοὺς τῆς ἐκκλησίας, ὡς ἀληθῶς σέβοντας, καὶ οὐκ ἐν σκιαῖς λατρεύοντας, ὡς ἰουδαῖοι καὶ σαμαρεῖται. πᾶσα γὰρ ἡ λατρεία τούτων, σκιὰ ἦν καὶ προτύπωσις τῆς ἀληθείας. οὗτοι γοῦν οἱ ἀληθινοὶ προσκυνηταὶ λατρεύουσι[8]) τῷ πατρὶ, οὐκ ἐν σώματι, ἀλλ' ἐν πνεύματι, τουτέστιν, οὐ διὰ σωματικῶν θυσιῶν, ἀλλὰ διὰ πνευματικῶν, καὶ οὐκ ἐν σκιαῖς καὶ τύποις, ἀλλ' ἐν ἀληθείᾳ, καὶ οὐ τόπῳ τὴν λατρείαν περιγράφοντες, ὡς ἰουδαῖοι καὶ σαμαρεῖται, ἀλλ' ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογοῦντες τὸν κύριον.

Περὶ τοῦ πατρὸς δὲ μόνου νῦν ποιεῖται τὸν λόγον, διὰ τὴν ἀσθένειαν τῆς γυναικός. οὐκ ἔδει γὰρ ἀθρόον αὐτῇ τὸ δόγμα προσαγαγεῖν.

Verſ. 23. Καὶ γὰρ — αὐτόν. Ἤγουν, οὐ τυπικοὺς, ἀλλ' ἀληθινοὺς, οὐ σωματικῶς θύοντας, ἀλλὰ πνευματικῶς. εἰπὼν δὲ, ὅτι ζητεῖ, ἐνέφηνεν, ὅτι ἀπαρέσκεται τῇ νομικῇ λατρείᾳ, καὶ λοιπὸν συγκαταβατικῶς αὐτὴν ἐνομοθέτησε πάλαι, καὶ συνεχώρησεν ἄχρι τότε, διὰ τὴν τῶν ἑβραίων παχύτητα καὶ ἀσθένειαν.

Verſ. 24. Πνεῦμα — προσκυνεῖν. Πνεῦμα, τουτέστιν, ἀσώματος. διὸ καὶ τοὺς λατρεύοντας αὐτῷ, πνευματικῶς χρὴ λατρεύειν, καὶ οὐκ ἐν σκιᾷ, ἀλλ' ἐν ἀληθείᾳ. τοῦτο γὰρ θεοπρεπὴς καὶ κατάλληλος λατρεία. πνευματικὴ δὲ λατρεία ἐστὶν, ἡ ταπεινοφροσύνη. θυσία,[y]) γάρ φησι, τῷ θεῷ, πνεῦμα συντετριμμένον· καὶ ἡ προσευχὴ, θῦσον,[z]) γάρ φησι, τῷ θεῷ, θυσίαν αἰνέσεως· καὶ ἁπλῶς πᾶσα πνευματικὴ ἀρετή· τότε, γάρ φησιν, εὐδοκήσεις[a]) θυσίαν δικαιοσύνης. ἐνταῦθα δικαιοσύνης νοουμένης καθολικῶς, πάσης ἀρετῆς, δι' ἧς ὁ ἄνθρωπος δικαιοῦται.

y) Pſ. 50. 19.
z) Pſ. 49. 14.
a) Pſ. 50. 21.

Verſ. 25. *Ait — omnia.* Inhiabat ad eorum, quae dicta ſunt, ſublimitatem, ſed modo deſperat, poſſe de illis audire. Sed vnde Samaritanis expectatio aduentus Chriſti? A Moſaicis ſcripturis. Scripſit enim Moſes, Prophetam ſuſcitabit vobis Deus de fratribus veſtris: tanquam me illum audietis.

Verſ. 26. *Dicit — tecum.* Iudaeis inſtantibus ac dicentibus, Quoadusque animam noſtram ſuſpenſam tenes, dic nobis, an tu ſis Chriſtus? non reſpondit hoc manifeſte: huic autem protinus ſe ipſum manifeſtauit: nam haec aequior illis erat. Siquidem ipſi non, vt crederent, diſcere quaerebant, ſed vt reprehenderent: ipſa vero ſtatim, poſtquam didicit, credidit.

Verſ. 27. *Et — eius.* In hoc, id eſt, his dictis.

Verſ. 27. *Ac — loqueretur.* Quod quum talis eſſet, cum vili muliere diſputaret.

Verſ. 27. *Nemo — illa?* Tacuerunt, honorem ipſi deferentes: ſiquidem inſtructi erant, ne omnia magiſtri facta curioſe inquirerent: ſimul etiam ſciebant, quod ſpiritualibus illius vulneribus pharmacum apponeret.

Verſ. 28. *Reliquit — v. 29. Chriſtus?* Venerat ad ſenſibilem fontem, et inuenit intellectualem; atque accenſa eſt igne ſpiritualium vndarum, adeo, vt et hydriam relinqueret et neceſſitatem, propter quam acceſſerat, curreretque in ciuita-

*) Non cepit hoc Hentenius. Eſt enim vertigine corripi, quod ſolet accidere iis, qui excelſa intuentur, aut ex loco edito deorſum ſpectant. Reddidit

Vers. 25. Λέγει — πάντα. Ἰλιγγίασε[a]) πρὸς τὸ τῶν ῥηθέντων ὕψος, καὶ λοιπὸν ἀπαγορεύει τὴν περὶ τῶν τοιούτων ἀκρόασιν. ἀλλὰ πόθεν σαμαρείταις προσδοκία τῆς τοῦ χριστοῦ ἐπιδημίας; ἀπὸ τῶν μωσαϊκῶν γραφῶν. ἔγραψε γὰρ μωϋσῆς· προφήτην[b]) ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε.

b) Deut. 18, 15.

Vers. 26. Λέγει — σοι. Τοῖς μὲν ἰουδαίοις ἐπικειμένοις καὶ λέγουσιν· ἕως[c]) πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰπὲ ἡμῖν, εἰ σὺ εἶ ὁ χριστός; οὐκ ἀπεκρίνατο τοῦτο σαφῶς. ταύτῃ δὲ αὐτίκα ἑαυτὸν ἐφανέρωσεν. εὐγνωμονεστέρα γὰρ αὐτῶν ἦν. ἐκεῖνοι μὲν γάρ, οὐχ ἵνα πιστεύσωσιν ἐζήτουν μαθεῖν, ἀλλ' ὑπὲρ τοῦ κωμῳδῆσαι αὐτόν. αὕτη δὲ μαθοῦσα, ἐπίστευσε.

c) Io. 10, 24.

Vers. 27. Καὶ — αὐτοῦ. Ἐπὶ τούτῳ, ἀντὶ τοῦ, τούτων λεγομένων.

Vers. 27. Καὶ — ἐλάλει. Ὅτι, τηλικοῦτος ὤν, μετὰ γυναικὸς εὐτελοῦς διελέγετο.

Vers. 27. Οὐδεὶς — αὐτῆς; Ἐσίγησαν, τιμῶντες αὐτόν. πεπαιδευμένου γάρ, τὸ μὴ πάντα τὰ τοῦ διδασκάλου περιεργάζεσθαι. ἅμα δὲ καὶ ἐγίνωσκον, ὅτι τοῖς ψυχικοῖς τραύμασιν αὐτῆς φάρμακον ἐπιτίθησιν.

Vers. 28. Ἀφῆκεν — v. 29. χριστός; Ἦλθεν ἐπὶ τὴν αἰσθητὴν πηγήν, εὑροῦσα δὲ τὴν νοητήν, οὕτως ἀνήφθη τῷ πυρὶ τῶν πνευματικῶν ναμάτων, ὡς καὶ τὸ ἄγγος ἀφεῖναι, καὶ τὴν χρείαν, δι' ἣν παρεγένετο, καὶ δραμεῖν εἰς τὴν πόλιν,

dit ita, ac si repererit κέχηνε, quod ipsum non absurdum est, quo sensu Gregorius Naz. p. 159. dixit, πρὸς τοὺς ἀστέρας.

ciuitatem, ac populum omnem ad Iesum attraheret: docens nos, quum spiritualia nacti fuerimus, temporalia cuncta despicere.

Et videte mulieris sapientiam. Non dixit, Venite, videte Christum, quum tamen crederet esse Christum: ne de huiusmodi re a seipsa iudicare videretur: maximum enim videbatur, cognoscere eum, qui expectabatur, sed alios vocat iudices. Vtque illos magis attrahat, offert eis veluti quandam escam, suorum videlicet peccatorum detectionem. Sciebat enim, quod si sermones illius vel solum gustarent, protinus et ipsi irretirentur. Num hic est Christus? hoc est, Num fortassis hic est? Nam haesitando loquitur, tanquam addubitans, vt ab illis detur sententia.

Vers. 30. *Exierunt* — v. 31. *comede.* Videntes eum ab itinere defessum, et ab imminente solari ardore, rogabant eum. Nam hoc in loco ἠρώτων idem significat, quod Deprecabantur: id autem vehementis est amoris, non temeritatis.

Vers. 32. *At ille* — v. 33. *quod ederet?* Ipse quidem cibum dicebat, hominum salutem: discipuli vero de cibo sensibili intelligentes, haesitant inter se: nam illum interrogare verebantur. Tunc ergo verbum interpretatur.

Vers. 34. *Dicit* — *opus.* Voluntas patris, qui ipsum miserat, et opus illius Christo iniunctum, salus est hominum: hanc autem vocat cibum suum, ostendens per hanc vocem desiderium, quod de hominum habebat salute. Nam sicut qui edit, cibum concupiscit: ita et ipse hominum salutem. Dicit autem se a patre missum,

vel

πόλιν, καὶ πάντα τὸν δῆμον ἑλκύσαι πρὸς τὸν Ἰησοῦν. παιδεύουσα ἡμᾶς, ὅταν ἐντύχωμεν πνευματικοῖς, ὑπερορᾷν πάντων τῶν βιωτικῶν.

Καὶ ὅρα σοφίαν γυναικός. οὐκ εἶπε, δεῦτε ἴδετε τὸν χριστόν· καίτοι πιστεύουσα, ὅτι ὁ χριστός ἐστιν· ἵνα μὴ δόξῃ κρίνειν ἀφ' ἑαυτῆς περὶ τηλικούτου πράγματος· μέγιστον γὰρ ἐδόκει, τὸ ἐπιγνῶναι τὸν προσδοκώμενον· ἀλλ' ἑτέρους καλεῖ κριτάς, ἵνα καὶ μᾶλλον αὐτοὺς ἐπισπάσηται. προτείνει δὲ τούτοις, καθάπερ τι δέλεαρ, τὴν ἀποκάλυψιν τῶν ἰδίων ἁμαρτιῶν. ἐγίνωσκε γάρ, ὡς εἰ μόνον γεύσωνται τῶν λόγων αὐτοῦ, σαγηνευθήσονται καὶ αὐτοὶ παραυτίκα. τὸ δὲ, μήτι οὗτός ἐστιν ὁ χριστός; ἀντὶ τοῦ, μήποτε οὗτός ἐστι; ὑποκρίνεται γὰρ, οἷον ἐνδιστάζειν, ὥστε παρ' αὐτῶν γενέσθαι τὴν κρίσιν.

Verſ. 30. Ἐξῆλθον — v. 31. Φάγε. Ὁρῶντες αὐτὸν κεκμηκότα ὑπό τε τῆς ὁδοιπορίας καὶ τῆς ἐπικειμένης ἡλιακῆς φλογὸς, ᾐτοῦντο αὐτὸν, ἤτοι, παρεκάλουν φαγεῖν. τοῦτο δὲ φιλοστοργίας ἦν, οὐ προπετείας.

Verſ. 32. Ὁ δὲ — v. 33. Φαγεῖν; Αὐτὸς μὲν βρῶσιν ἔλεγε, τὴν σωτηρίαν τῶν ἀνθρώπων· οἱ μαθηταὶ δὲ περὶ βρώσεως αἰσθητῆς νοοῦντες, ἀποροῦσι πρὸς ἀλλήλους. ηὐλαβοῦντο γὰρ ἐκεῖνον ἐρωτῆσαι. λοιπὸν οὖν ἑρμηνεύει τὸν λόγον.

Verſ. 34. Λέγει — ἔργον. Θέλημα τοῦ πέμψαντος αὐτὸν πατρὸς, καὶ ἔργον αὐτοῦ ἐπιταγὲν αὐτῷ, ἡ σωτηρία τῶν ἀνθρώπων. ταύτην δὲ βρῶσιν ἑαυτοῦ καλεῖ, διὰ τῆς λέξεως ταύτης ἐμφαίνων τὴν ἐπιθυμίαν τῆς σωτηρίας τῶν ἀνθρώπων. ὥσπερ γὰρ ὁ τρώγων ἐπιθυμεῖ τῆς βρώσεως· οὕτω καὶ αὐτὸς τῆς σωτηρίας ἡμῶν. πεμφθῆναι δὲ παρὰ τοῦ πατρός, φησιν, ὡς ἄνθρωπος,

vel tanquam homo, vel ſicut verbum quod a patre generatur, vel patri honorem deferendo.

Verſ. 35. *Nonne — iam.* Diſcipuli quidem de ſenſibili meſſe dicebant, ipſe vero de intellectuali nunc loquitur, et hanc oſtendit inſtare. Regiones appellans multitudinem venientium ad ſe Samaritanorum: albas autem dicit eas, tanquam ad fidem paratos illos. Nam et fides meſſis eſt, quae ab infidelitate metitur vel ſeparatur, et confertur ad Chriſtum. Quemadmodum enim albae ſegetes paratae ſunt ad meſſem, ita et illi ad fidem.

Verſ. 36. *Et — accipit.* Et qui tales metit regiones, retributionem a Deo ſumit: vniuerſalius namque loquitur hic de omnibus Samaritanis ac Iudaeis, qui erant credituri.

Verſ. 36. *Et — aeternam.* Qui ſenſibilem metit agrum, congregat fructum ad vitam temporalem, hic autem ad vitam aeternam.

Verſ. 36. *Vt — qui metit.* Vt congregato ibi tali fructu, et qui ſeminauit ſimul gaudeat, et qui meſſuit, videntes ſcilicet, eum ibi congregatum, ac mercedem ex eo referentes: ille quidem, tanquam qui ſeminauit, iſte vero, ſicut qui meſſuit.

Seminantes itaque ſunt prophetae, Moſes et qui poſt illum fuerunt, vt qui vaticinia de Chriſto ſeminauerunt: metentes autem Apoſtoli, qui meſſuerunt homines ab infidelitate, ac retulerunt ad horrea aeternorum tabernaculorum.

Verſ. 37. *In — qui metit.* Verus eſt ſermo prouerbii.

Verſ. 38.

*) τῆς, omittit. B.

πος, ἢ καὶ ὡς λόγος ἐκ τοῦ γεννήσαντος νοῦ, ἢ καὶ ὡς τιμῶν τὸν πατέρα.

Verſ. 35. Οὐχ — ἤδη. Οἱ μαθηταὶ μὲν περὶ τοῦ αἰσθητοῦ θερισμοῦ ἔλεγον· αὐτὸς δὲ νῦν περὶ τοῦ νοητοῦ φησὶ, καὶ δείκνυσι τοῦτον ἐνεστῶτα· χώρας μὲν ὀνομάζων, τὰ πλήθη τῶν ἐρχομένων ἤδη πρὸς αὐτὸν σαμαρειτῶν· λευκὰς δὲ αὐτὰς καλῶν, ὡς ἑτοίμους πρὸς πίστιν. θερισμὸς γὰρ καὶ ἡ πίστις, θερίζουσα ἀπὸ τῆς [1]) ἀπιστίας, καὶ συγκομίζουσα πρὸς τὸν χριστόν. ὥσπερ γὰρ τὰ λευκὰ λήδια ἕτοιμα πρὸς θερισμόν εἰσιν· οὕτω κἀκεῖνοι πρὸς πίστιν.

Verſ. 36. Καὶ — λαμβάνει. Καὶ ὁ θερίζων τοιαύτας χώρας, ἀμοιβὴν ἐκ θεοῦ λαμβάνει. καθολικώτερον γὰρ ἐνταῦθα περὶ πάντων λέγει τῶν μελλόντων πιστεύειν σαμαρειτῶν καὶ ἰουδαίων.

Verſ. 36. Καὶ — αἰώνιον. Ὁ μὲν θερίζων αἰσθητὸν λήδιον, συνάγει καρπὸν εἰς ζωὴν πρόσκαιρον· οὗτος δὲ, εἰς ζωὴν αἰώνιον.

Verſ. 36. Ἵνα — θερίζων. Ἵνα, συναχθέντος ἐκεῖ τοῦ τοιούτου καρποῦ, καὶ ὁ σπείρας ὁμοῦ χαίρῃ καὶ ὁ θερίσας, βλέποντες αὐτὸν συναχθέντα ἐκεῖ, καὶ τοὺς ὑπὲρ αὐτοῦ μισθοὺς ὁμοῦ κομιζόμενοι, ὁ μὲν, ὡς σπείρας, ὁ δὲ, ὡς θερίσας.

Σπείροντες μὲν οὖν εἰσιν, οἱ προφῆται, μωϋσῆς καὶ οἱ μετ' ἐκεῖνον· οἷα σπείραντες τὰς περὶ χριστοῦ προῤῥήσεις· θερίζοντες δὲ, οἱ ἀπόστολοι· θερίσαντες τοὺς ἀνθρώπους ἀπὸ τῆς ἀπιστίας, καὶ συγκομίσαντες εἰς τὰς ἀποθήκας τῶν αἰωνίων σκηνῶν.

Verſ. 37. Ἐν — θερίζων. Ὁ λόγος ὁ ἀληθινός, τῆς παροιμίας.

Verſ. 38.

Verſ. 38. *Ego — laboraſtis.* Id eſt, ad quod vos non laboraſtis.

Verſ. 38. *Alii — introiſtis.* Haec dicit, oſtendens, quod opus illis commiſſum facile et in promtu eſt, ac confidentiam eis inde immittens: utpote perfecto eo, quod laborioſius eſt: Seminare namque cum labore fit et tarditate, metere vero cum requie et velocitate: et ſementis fructus eſt meſſis.

Frequenter autem vſus eſt in euangelio figuratiuis ac metaphoricis dictionibus, efficaciorem reddens doctrinam, et memoriam eorum, quae dicuntur, ſtabiliorem, per notas ſimilitudines et exempla: tum quod iucundius id in aures ingreditur, tum quod profundius cordi inprimitur: et ſermones quidem ſunt ſenſibiles: intellectus vero ſpirituales.

Verſ. 39. *Ex — feci.* Quaecunque, intellige de viris, et de eo, qui non erat vir eius. Aut etiam alia fortaſſis multa dixit ei, quae erant occulta.

Verſ. 40. *Quum — apud ſe ipſius.* Hic rurſum λέγων, idem ſignificat, quod Obſecrabant.

Verſ. 40. *Et — v. 41. ipſius.* Sermonem autem ipſius, hoc eſt, doctrinam illius.

Verſ. 42. *Et — Chriſtus.* Ex his, quae eum docentem audiuerant, cognouerunt, quod hic vere eſſet ſaluator mundi Chriſtus, quod orbe perdito, veniſſet hic, vt ipſum ſaluaret. Fuerunt autem

[2]) τῆς διδασκαλίας.

[3]) τῆς φήμης.

[4]) Hoc et proximum ſcholium apud Henteniun coniunctum eſt.

Verſ. 38. Ἐγὼ — κεκοπιάκατε. Εἰς ὃ οὐχ ὑμεῖς κεκοπιάκατε.

Verſ. 38. Ἄλλοι — εἰσεληλύθατε. Ταῦτα λέγει, δεικνύων, ὅτι τὸ ἐγχειρισθὲν τούτοις ἔργον, ῥάδιόν ἐστι καὶ εὔκολον, καὶ θάρσος αὐτοῖς ἐντεῦθεν ἐμβάλλων, ὡς τοῦ ἐπιπονωτέρου προανυσθέντος. τὸ σπείρειν μὲν γὰρ, μετὰ πόνου καὶ βραδέως γίνεται· τὸ θερίζειν δὲ, μετὰ ἀνέσεως καὶ ταχέως, καὶ τοῦ σπόρου ἔργον, τὸ θέρος.

Τροπικαῖς δὲ καὶ μεταφορικαῖς κέχρηται λέξεσι πολλαχοῦ τοῦ εὐαγγελίου, ποιῶν τὴν διδασκαλίαν ἐμφαντικωτέραν, καὶ τὴν μνήμην τῶν λεγομένων μονιμωτέραν, διὰ τῶν γνωρίμων εἰκόνων καὶ παραδειγμάτων· τῆς [2]) μὲν ἡδύτερον εἰσδυομένης ταῖς ἀκοαῖς· τῆς [3]) δὲ βαθύτερον ἐντυπουμένης τῇ καρδίᾳ. καὶ αἰσθητὰ μὲν τὰ ῥήματα, πνευματικὰ δὲ τὰ νοήματα.

Verſ. 39. Ἐκ — ἐποίησα. Πάντα, νόησον, τὰ περὶ τοὺς ἄνδρας, καὶ τὸν οὐκ ἄνδρα. ἢ καὶ ἄλλα ἴσως εἶπεν αὐτῇ πολλὰ κεκρυμμένα.

Verſ. 40. Ὡς — παρ' αὐτοῖς. [4]) Παρεκάλουν αὐτόν.

Verſ. 40. Καὶ — v. 41. αὐτοῦ. Τὸν τῆς διδασκαλίας.

Verſ. 42. Τῇ — χριστός. Ἐξ ὧν ἤκουσαν αὐτοῦ διδάσκοντος, ἔγνωσαν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ χριστὸς, ὅτι, τῆς οἰκουμένης ἀπολωλυίας, ἦλθεν οὗτος σῶσαι αὐ-

autem Samaritani multo aequiores Iudaeis: illi enim exiuerunt ad eum et orabant illum, vt veniret ad se, quumque nullum vidissent signum, crediderunt in eum: Iudaei vero ad se magis venientem persequebantur, et apud se manere volentem grauiter ferebant, quumque multa vidissent signa, non credebant. Quomodo ergo aequum erat, vt hos praeteriret? aut qua iustitia fieri poterat, vt illis, qui se odio habebant, adesset, hos autem, qui amabant, desereret?

Alio autem tempore Samaritani non exceperunt eum, vtpote amicum Iudaeorum, qui aduersus se inimicitias exercebant. Nam hoc scripsit Lucas trigesimo secundo capite. Sed illi erant alii ab istis: illi siquidem vicum quendam Samariae inhabitabant, isti vero ciuitatem.

Vers. 43. *Post* — v. 44. *haberet.* Cur non abierit tunc recta Capernaum, quae patria ipsius habebatur, caussam reddit: quia videlicet hi, qui in ea morabantur, animum non applicabant, nec obtemperabant illi, vtpote familiares: siquidem familiaritas facile caussat despectum.

Quomodo autem testatus sit Iesus, quod propheta in patria sua honorem non habeat, quaere in fine vigesimi quarti capitis euangelii iuxta Matthaeum et inuenies. Nazaret quidem patria eius erat, patria videlicet matris ipsius, in qua etiam nutritus fuerat. Capernaum vero habebatur patria illius, quod in ea habitaret. Ait enim Matthaeus, quod relicta Nazaret, veniens habitauit Capernaum.

Vers. 45.

5) καθόλου μὲν ἀπῆλθεν εἰς τὴν γαλιλαίαν, ἧς ἡ καπερναούμ· οὐκ ἰδικῶς δὲ, ἤτοι ἐξαιρέτως, ἦλθεν εἰς καπερναούμ.

την. εὐγνωμονέστεροι δὲ πολλῷ τῶν ἰουδαίων οἱ σαμαρεῖται. οὗτοι μὲν καὶ ἐξῆλθον πρὸς αὐτὸν, καὶ παρεκάλουν αὐτὸν, μεῖναι παρ᾽ αὐτοῖς, καὶ μηδὲ σημεῖον ἰδόντες ἐπίστευσαν εἰς αὐτόν· ἐκεῖνοι δὲ, ἐρχόμενον μᾶλλον πρὸς αὐτοὺς ἐδίωκον, καὶ θέλοντα μένειν παρ᾽ αὐτοῖς ἐβαρύνοντο, καὶ πολλὰ σημεῖα βλέποντες, ἠπίστουν. πῶς οὖν εἰκὸς τούτους παραδραμεῖν, ἢ ποίας δικαιοσύνης, τοῖς μὲν μισοῦσι προσεδρεύειν, τῶν δὲ ἀγαπώντων ἀποπηδᾷν;

Ἐν ἑτέρῳ δὲ καιρῷ οἱ σαμαρεῖται οὐκ ἐδέξαντο αὐτὸν, ὡς φίλον ἰουδαίων, τῶν ἐχθραινόντων αὐτοῖς. τοῦτο γὰρ ὁ λουκᾶς [d]) ἱστόρησεν ἐν τῷ τριακοστῷ δευτέρῳ κεφαλαίῳ. ἀλλ᾽ ἐκεῖνοι ἕτεροι ἦσαν παρὰ τούτους. ἐκεῖνοι μὲν γὰρ κώμην τινὰ τῆς σαμαρείας ᾤκουν· οὗτοι δὲ, πόλιν. d) Luc. 9, 52. 53.

Verſ. 43. Μετὰ — v. 44. ἔχει. Διότι τότε οὐκ ἀπῆλθεν ἰδικῶς [5]) εἰς καπερναοὺμ, τὴν δοκοῦσαν πατρίδα αὐτοῦ, τίθησιν αἰτίαν, ὅτι οὐ προσεῖχον αὐτῷ οἱ ἐν αὐτῇ, καταφρονοῦντες, ὡς συνήθους. τὸ σύνηθες γὰρ εὐκαταφρόνητον.

Πῶς δὲ ὁ ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει; [6]) καὶ ζήτησον ἐν τῷ τέλει τοῦ εἰκοστοῦ τετάρτου [e]) κεφαλαίου τοῦ κατὰ ματθαῖον, καὶ εὑρήσεις. καὶ γὰρ ἡ μὲν ναζαρὲτ ἦν πατρὶς αὐτοῦ, ὡς πατρὶς τῆς μητρὸς αὐτοῦ καὶ τοῦ δοκοῦντος πατρὸς αὐτοῦ, καὶ ὡς ἐν αὐτῇ τεθραμμένου· ἡ δὲ καπερναοὺμ ἐδόκει πατρὶς αὐτοῦ, ὡς κατοικοῦντος εἰς αὐτήν. φησὶ γὰρ ὁ ματθαῖος, ὅτι [f]) καταλιπὼν τὴν ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς καπερναούμ. e) Matt. 13, 57. f) Matth. 4, 13.

L 2 Verſ. 45.

6) καὶ, abeſt. A. Nec agnoſcit Hentenius. Idem paullo ante, loco τοῦ, videtur legiſſe πῶς.

Verſ. 45. *Quum, — feſto.* Galilaeam intellige reliquas Galilaeae ciuitates ac vicos, praeter eam quae proprie ciuitas eius dicebatur. Feſtum vero, paſcha, veluti ſecundo capite ſignificatum eſt.

Verſ. 45. *Nam et ipſi — feſtum.* Nam omnes ſimul Iudaei Ieroſolymam vndique concurrentes feſtum celebrabant.

Cap. VI. De regio.

Verſ. 46. *Venit — vinum.* In Galilaeam quidem venit propter eorum inuidiam, qui Iudaeam inhabitabant: in patriam autem ſuam non abiit, quia ei non auſcultabant, et ne maior eis accederet condemnatio. In Cana venit: primum quidem inuitatus ad nuptias, nunc vero, vt fidem quae ex facto prius miraculo acceſſerat, ſua praeſentia confirmaret: imo potius eos attraheret, veniens non vocatus, ac patriae ſuae eos praeponens.

Verſ. 46. *Et — Capernaum.* Regius dicebatur, vel quod regio eſſet genere, vel quod dignitatem nactus erat, a qua Regius cognominabatur, vel quod miniſter eſſet regius. Quidam itaque dicunt, hunc fuiſſe Centurionem, de quo apud Matthaeum et Lucam facta eſt mentio. Non eſt autem ita. Siquidem, vt alias eorum differentias omittamus, ille Centurio erat, hic Regius: illius ſeruus aegrotabat, huius filius: et ibi morbus erat paralyſis, hic autem febris.

Verſ. 47. *Hic — moriturus.* Rurſum ἠρώτα, ſignificat, Deprecabatur.

Verſ. 48.

r) Γὰρ ergo, quod vnus meorum omittit, Codex Hentenii videtur habuiſſe.

s) ἐρχόμενοι. A.

Verſ. 45. Ὅτε — ἑορτῇ. Γαλιλαίαν νόει, τὰς ἄλλας πόλεις καὶ κώμας τῆς γαλιλαίας, παρὰ τὴν δηλωθεῖσαν ἰδικῶς πατρίδα αὐτοῦ· ἑορτὴν δὲ, τὴν τοῦ πάσχα, ὡς ἐν τῷ δευτέρῳ κεφαλαίῳ δεδήλωται.

Verſ. 45. Καὶ αὐτοὶ γὰρ [7]) — ἑορτήν. Ὁμοῦ γὰρ ἐν ἱεροσολύμοις ἑβραῖοι πάντες πανταχόθεν [8]) συνερχόμενοι ἑόρταζον.

Κεφ. ϛ. Περὶ τοῦ βασιλικοῦ.

Verſ. 46. Ἦλθεν — οἶνον. Εἰς τὴν γαλιλαίαν μὲν ἦλθε, διὰ τὸν φθόνον τῶν κατοικούντων τὴν ἰουδαίαν· εἰς τὴν ῥηθεῖσαν δὲ πατρίδα αὐτοῦ οὐκ ἀπῆλθεν, ὡς μὴ προσέχουσαν αὐτῷ, καὶ ἵνα μὴ μεῖζον αὐτῇ γένηται τὸ κρίμα. εἰς τὴν καναὰ δὲ ἦλθε, πρῶτον μὲν, κληθεὶς εἰς τὸν γάμον· νῦν δὲ, τὴν ἀπὸ τοῦ προγεγονότος θαύματος ἐγγενομένην πίστιν βεβαιῶν τῇ παρουσίᾳ, καὶ μᾶλλον αὐτοὺς ἐφελκόμενος, ὡς ἐλθὼν αὐτόκλητος καὶ προτιμήσας αὐτοὺς τῆς πατρίδος.

Verſ. 46. Καὶ — καπερναοὺμ. Βασιλικὸς ἐλέγετο, ἢ ὡς ἐκ γένους βασιλικοῦ, ἢ ὡς ἀξίωμά τι κεκτημένος, ἀφ' οὗπερ ἐκαλεῖτο βασιλικὸς, ἢ ὡς ὑπηρέτης βασιλικός. τινὲς μὲν οὖν φασὶν, ὅτι αὐτός ἐστιν ὁ παρὰ τῷ ματθαίῳ [g]) καὶ τῷ λουκᾷ μνημονευόμενος ἑκατόνταρχος· οὐκ ἔστι δέ. καὶ γὰρ, ἵνα τὰς ἄλλας ἐάσωμεν διαφορὰς αὐτῶν, ἐκεῖνος μὲν ἑκατόνταρχος· οὗτος δὲ βασιλικός· κἀκείνου μὲν δοῦλος ἠσθένει· τούτου δὲ υἱός· καὶ ἐκεῖ μὲν ἡ νόσος παράλυσις· ἐνταῦθα δὲ πυρετός. g) Matth. 8, 5. Luc. 7, 2.

Verſ. 47. Οὗτος — ἀποθνήσκειν. Ἠρώτα, ἤτοι, παρεκάλει.

Vers. 48. *Ait — credetis.* Non interrogatiue, sed affirmatiue legendum. Nam hoc dixit generaliter quidem deprimendo Iudaeos cum Samaritanis collatos: quod illi absque signis et prodigiis credidissent: particularius autem Regium obiurgando: etsi enim fidei erat, quod abiisset et deprecatus esset, ac vrgeret eum. Siquidem euangelista quoque ait, quod quum dixisset Iesus, Vade filius tuus viuit, credidit homo sermoni, quem dixerat ei: nondum tamen recte credebat: et hoc manifestum est, eo quod interrogauerit, quando aegrotantem reliquisset febris: volebat namque discere, vtrum casu, an Christi iussu, hoc factum esset.

Vers. 49. *Dicit — v. 50. ibat.* Descende, inquit, priusquam moriatur: existimabat enim, quod post mortem eum resuscitare non posset.

Vers. 51. *Iam — v. 52. habuisset.* Quanquam κομψὸς dicatur scitus, industrius aut eloquens: hic tamen comparatiuum κομψότερον significat facilius, leuius, tolerabilius.

Vers. 52. *Et — febris.* Nam procul a Cana erat Capernaum: itaque non potuerunt eodem die perferre nuntium de salute filii eius.

Vers. 53. *Cognouit — viuit.* Quod in illa hora, puta, reliquerat eum febris.

Vers. 53. *Et — tota.* Nunc perfecte credidit, vbi sanatus est filius ipsius. Merito ergo obiurgauit eum Christus, qui cor illius nouerat, dicens: Nisi signa et prodigia videritis, nequaquam credetis.

Signa

9) Non est sollicitandum hoc vocabulum, etsi Hentenius reddiderit, *tolerabilius.* Nam ἐλευθέριος recen-

Verſ. 48. Εἶπεν — πιστεύσητε. Οὐ κατ' ἐρώτησιν ἀναγνωστέον, ἀλλὰ κατὰ ἀπόφασιν. εἶπε γὰρ τοῦτο κοινῶς μὲν, τῶν σαμαρειτῶν ὑποβιβάζων τοὺς ἰουδαίους, ὡς ἐκείνων πιστευσάντων δίχα σημείων καὶ τεράτων· ἰδιαίτερον δὲ, τοῦ βασιλικοῦ καθαπτόμενος. εἰ γὰρ καὶ πίστεως ἦν, τὸ ἀπελθεῖν, καὶ παρακαλεῖν, καὶ ἐπείγειν αὐτόν· καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς φησίν· ὅτι h) εἰπόντος τοῦ ἰησοῦ· πορεύου, ὁ υἱός σου ζῇ· ἐπίστευσε τῷ λόγῳ αὐτοῦ· ἀλλ' οὖν οὐχ ὑγιῶς ἐπίστευσε. καὶ τοῦτο δῆλον ἀπὸ τοῦ πυνθάνεσθαι, πότε ἀφῆκε τὸν νοσοῦντα ὁ πυρετός. ἐβούλετο γὰρ μαθεῖν, εἴτε αὐτομάτως, εἴτε κατ' ἐπιταγὴν τοῦ χριστοῦ τοῦτο γέγονε. h) Io. 4, 50.

Verſ. 49. Λέγει — v. 50. ἐπορεύετο. Κατάβηθι, φησὶ, πρὶν ἀποθανεῖν τὸ παιδίον μου. προσεδόκα γὰρ, ὅτι μετὰ τὸ ἀποθανεῖν, οὐ δύναται ἀναστῆσαι αὐτό.

Verſ. 51. Ἤδη — v. 52. ἔσχε. Κομψότερον ἐνταῦθα λέγει, τὸ ῥᾷότερον, τὸ κουφότερον, τὸ g) ἐλευθεριώτερον.

Verſ. 52. Καὶ — πυρετός. Πόῤῥω γὰρ τῆς κανὰ ἡ καπερναοὺμ ἦν, ὥστε μὴ δυνηθῆναι αὐτοὺς ἐν αὐτῇ τῇ ἡμέρᾳ κομίσαι τὰ εὐαγγέλια τῆς ζωῆς τοῦ παιδίου.

Verſ. 53. Ἔγνω — ζῇ. Ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, δηλονότι ἀφῆκεν αὐτὸν ὁ πυρετός.

Verſ. 53. Καὶ — ὅλη. Νῦν ἐπίστευσεν ὑγιῶς, μετὰ τὸ ὑγιᾶναι τὸν υἱὸν αὐτοῦ. καλῶς οὖν καθήψατο αὐτοῦ, ὁ τὴν καρδίαν αὐτοῦ γινώσκων χριστὸς, εἰπών· ὅτι i) ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. i) Io. 4, 48.

g) recentiores etiam vſurpant de conualeſcentibus.

Signa quidem proprie sunt, quae secundum naturam fiunt, vt sanare aegrotum: prodigia vero, quae supra naturam, vt viuificare mortuos, visum praestare caecis, quanquam abusiue etiam dicantur ediuerso.

Vers. 54. *Hoc — Galilaeam.* Et priusquum dixisset, Venit rursum Iesus in Cana Galilaeae, vbi fecerat ex aqua vinum, non frustra miraculi fecit mentionem: sed vt ostenderet, quod etiam facto illo signo Samaritanis inferiores in fide inuenti sunt. Et nunc quoque dicens, Hoc iterum secundum signum edidit Iesus, similiter carpit illos, quia etiam secundo signo viso, non potuerunt ad mensuram peruenire fidei Samaritanorum, qui nullum viderant.

Hoc autem dixit secundum, non quod post primum nullum aliud ediderit in tota Palaestina, sed quod post primum, hoc secundum in Cana factum sit.

Cap. V. v. 1. *Post — Iudaeorum.*

Pentecoste.

Vers. 1. *Et — Ierosolyma.* Continue in festis ad hanc ciuitatem ventitabat: partim quidem, vt cum caeteris festum celebraret secundum legem: partim vero, vt simplicium multitudinem attraheret. Nam in festis ex omni plebe confluebant.

Vers. 2. *Est — Bethesda.* Est Ierosolymis piscina in loci situ, qui dicitur Probatica: aut simpliciter ita dicto iuxta veterum traditionem, aut vt quidam dicunt, quod oues (quae Graecis *πρόβατα*

[1]) *οἱ ἐν τῇ γαλιλαίᾳ.*
[2]) *ἀφικέσθαι.* A. male. Forte tamen ita repererit interpres.

Κυρίως ȣ̃ν σημεῖα μέν εἰσι, τὰ κατὰ φύσιν, ὡς τὸ ὑγιάζειν νοσȣ̃ντας· τέρατα δὲ, τὰ ὑπὲρ φύσιν, ὡς τὸ ζωοποιεῖν νεκροὺς καὶ ὀμματοῦν τυφλούς. καταχρηστικῶς δὲ λέγονται καὶ τοὐναντίον.

Verſ. 54. Τοῦτο — γαλιλαίαν. Καὶ πρότερον εἰπών· ὅτι ἦλθε[k]) πάλιν ὁ ἰησοῦς εἰς τὴν κανὰ τῆς γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον· ȣ̓ μάτην ἀνέμνησε τȣ̃ θαύματος, ἀλλ' ἐμφαίνων, ὅτι καὶ τούτου γεγονότος, ἐλάττȣς[1]) τῶν σαμαρειτῶν εἰς πίστιν ἐφάνησαν. καὶ νῦν δὲ λέγων· ὅτι τȣ̃το πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ ἰησοῦς· ὁμοίως καθάπτεται αὐτῶν, ὅτι καὶ δεύτερον σημεῖον ἰδόντες, ȣ̓κ ἠδυνήθησαν ἐφικέσθαι[2]) τȣ̃ μέτρου τῆς πίστεως τῶν οὐδὲν ἑωρακότων σαμαρειτῶν. k) Io. 4, 46.

Δεύτερον γὰρ τȣ̃το εἶπεν, οὐχ ὡς μετὰ τὸ πρῶτον[3]) μηδενὸς ἑτέρου παρὰ τȣ̃το γεγονότος ἐν ὅλῃ τῇ παλαιστίνῃ, ἀλλ' ὅτι μετὰ τὸ πρῶτον δεύτερον τȣ̃το ἐν κανὰ γέγονε.

Cap. V. v. 1. Μετὰ — ἰȣδαίων.

Ἡ πεντηκοστή.

Verſ. 1. Καὶ — ἱερόσολυμα. Συνεχῶς ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τῇ πόλει ταύτῃ, τȣ̃το μὲν, συνεορτάζων διὰ τὸν νόμον· τȣ̃το δὲ, τὰ πλήθη τῶν ἀπονήρων ἐπισπώμενος. ἐν ταῖς ἑορταῖς γὰρ ἐκεῖ πανδημεὶ συνέῤῥεον.

Verſ. 2. Ἔστι — βηθεσδά. Ἔστιν ἐν ἱεροσολύμοις κολυμβήθρα, ἐπὶ τῇ τοποθεσίᾳ τῇ καλȣμένῃ προβατικῇ. οὕτω δὲ ταύτην ὠνόμαζον ἁπλῶς, κατὰ παράδοσιν ἀρχαίαν. ἢ ὥς τινες λέγȣσι,

3) μηδέν. B.

προβατα appellantur) olim illuc congregarentur, quae in festis erant immolandae: et harum intestina in aqua illa purgarentur.

Vers. 2. *Quinque porticus habens.* Fornices aut testudines: has autem in circuitu habebat. Sicut ergo diuina prouidentia, quae ibi operabatur, piscina fabricata erat, ita et porticus propter aegrotantes.

Vers. 3. *In* — v. 4. *morbo.* Per enumeratos morbos alii quoque significati sunt. Dicens autem, statuto tempore descendebat, docuit, quod non semper fiebat miraculum, sed certis temporibus: hominibus quidem incognitis, verum frequenter, vt opinor, in anno: propter hoc siquidem in porticibus decumbebat multitudo magna languentium.

Verum caeteri sane, vtpote claudi et aridi, poterant tempus obseruare: nam videbant turbari aquam: caeci autem quomodo factam aquae turbationem cognoscebant? Habebant certe ministros, qui id obseruarent.

Illa vero piscina figura erat piscinae sacri baptismi: sicut enim illa morbos sanabat, ita et ista: sed illa quidem corporales: haec vero spirituales: illa statuto tempore, haec autem semper: illa descendente angelo, haec aduenienté spiritu sancto: nam maiora sunt noua veteribus.

Cap.

4) Immo ή. Vide Eustath. ad Hom. p. 1390. v. 54. edit. Rom.

λέγεσαι, διὰ τὸ ἐκεῖσε τὰ πρόβατα συνάγεσθαι πάλαι, τὰ μέλλοντα ἐν ταῖς ἑορταῖς θυσιάζεσθαι, καὶ τὰ τέτων ἔγκατα ἐξ ἐκείνου τῦ ὕδατος ἀποπλύνεσθαι.

Verſ. 2. Πέντε στοὰς ἔχεσα. Στοά ἐστιν, ἡ παρ' ἡμῖν λεγομένη καμάρα, ἣ καὶ [4]) ὁ θόλος' κύκλῳ δὲ ταύτας εἶχεν. ὡς ἂν θείας δυνάμεως ἐνεργέσης ἐκεῖ, κολυμβήθρα κατεσκεύαστο, καὶ στοαὶ, διὰ τὲς νοσῦντας.

Verſ. 3. Ἐν — v. 4. νοσήματι. Διὰ μὲν τῶν ἀπηριθμημένων, καὶ τὰ ἄλλα νοσήματα δεδήλωται. εἰπὼν δὲ, ὅτι κατὰ καιρὸν κατέβαινεν, ἐδίδαξεν, ὅτι ἐ πάντοτε τὸ θαῦμα ἐγίνετο, ἀλλὰ κατὰ καιρὸν μὲν ἄγνωστον τοῖς ἀνθρώποις· πολλάκις δὲ οἶμαι τῦ ἐνιαυτῦ. διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς στοαῖς κατέκειτο πολὺ πλῆθος τῶν ἀσθενέντων.

Ἀλλ' οἱ μὲν χωλοὶ καὶ ξηροὶ ἠδύναντο παρατηρεῖν τὸν καιρόν. ἑώρων γὰρ ταρασσόμενον τὸ ὕδωρ· οἱ δὲ τυφλοὶ, πῶς; ἀπὸ τῦ γινομένε θορύβε τῦτο ἐμάνθανον. εἶχον δὲ καὶ ὑπηρέτας [5]) παρατηρῦντας.

Ἐκείνη δὲ ἡ κολυμβήθρα, τύπος ἦν τῆς κολυμβήθρας τῦ ἁγίου βαπτίσματος. ὥσπερ γὰρ ἐκείνη νόσους ἰᾶτο, ὅτω καὶ αὕτη. ἀλλ' ἐκείνη μὲν σωματικὰς, αὕτη δὲ ψυχικάς. καὶ ἐκείνη μὲν κατά τινα καιρὸν, αὕτη δὲ ἀεί. κἀκείνη μὲν καταβαίνοντος ἀγγέλου, αὕτη δὲ ἐπιφοιτῶντος τοῦ ἁγίου πνεύματος. μείζονα γὰρ τῶν παλαιῶν τὰ καινά.

Κεφ.

5) ὑπηρετοῦντας B.

Cap. VII. De eo, qui triginta et octo annos morbo tenebatur.

Verſ. 5. *Erat — morbo.* Morbus vero erat paralyſis. Alius tamen erat hic a paralytico, de quo apud Matthaeum fit mentio, ſicut in enarratione decimi tertii capitis illius euangelii apertiſſime ſignificatum eſt.

Verſ. 6. *Quum hunc vidiſſet — fieri?* Eum, qui multo tempore aſſiduus fuerat ac tolerantiſſimus, caeteris praeponit: tum quod miſeratione dignior eſſet, tum etiam docens, quod inter eos, qui ſuperno egent medicamine, Deum magis flectunt, qui ſunt conſtantiſſimi. Non dixit autem, Vis, vt te curem: quia erat ab arrogantia alienus, et quia is, qui morbo tenebatur ipſum nequaquam cognoſcebat: ideo etiam nec fidem ab eo requiſiuit.

Interrogat autem, non vt diſceret: ſuperuacaneum enim erat de re manifeſta diſcere: ſed vt per reſponſionem omnibus oſtendatur eius conſtantia: vide enim, quid reſpondeat.

Verſ. 7. *Reſpondit — deſcendit.* Suſpicabatur, quod hoc propterea ipſum interrogabat, vt argueret, quod prae ſegnitie fruſtraretur ſanitate: aut quod in hoc prodeſſe ſibi vellet, vt eum in piſcinam immitteret: ideo etiam reſpondet, quod ob id ſalutem non conſequeretur, quia hominem non haberet.

Dicens autem, Dum venio ego, alius ante me deſcendit, ſuam oſtendit perſeuerantiam, qua tot annis fruſtratus, adhuc tamen perſeuerabat et non deſperabat, idque non ſegnis, ſed detruſus et offenſus, nec ſic negligentior efficiebatur.

Nos

*) κατακείμενον, pro χρώμενον. A.

Κεφ. Ζ. Περὶ τοῦ τριάκοντα ὀκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ.

Verſ. 5. Ἦν — ἀσθενείᾳ. Πάρεσις ἦν, ἡ ἀσθένεια. ἕτερος δὲ ἐςιν οὗτος παρὰ τὸν ὑπὸ ¹) ¹) Matth. 9, 2. ματθαίου μνημονευθέντα παραλυτικὸν, ὡς ἐν τῇ ἐξηγήσει τῦ τρισκαιδεκάτου κεφαλαίου αὐτῦ σαφέςατα δεδήλωται.

Verſ. 6. Τοῦτον ἰδὼν — γενέσθαι; Τὸν πολυχρονίῳ προσεδρείᾳ χρώμενον ⁶) καὶ καρτερικώτατον προτιμᾷ τῶν ἄλλων, τῦτο μὲν, ὡς ἐλεεινότερον, τῦτο δὲ καὶ διδάσκων, ὅτι τῶν δεομένων τῆς ἄνωθεν ἰατρείας, οἱ καρτερικώτατοι μᾶλλον ἐπικάμπτουσι τὸν θεόν.

Οὐκ εἶπε δὲ, θέλεις, θεραπεύσω σε, διὰ τὸ ἀκόμπαςον, καὶ διότι ὐκ ἐγνώριζε τῦτον ὅλως ὁ ἀσθενῶν. διὰ τῦτο γὰρ οὐδὲ πίςιν αὐτὸν ἀπήτησεν.

Ἐρωτᾷ δὲ, οὐχ ἵνα μάθῃ· περιττὸν γὰρ περὶ προδήλου πράγματος μανθάνειν· ἀλλ' ἵνα διὰ τῆς ἀποκρίσεως φανῇ πᾶσιν ἡ καρτερία αὐτῦ. ὅρα γὰρ, τί ἀποκρίνεται.

Verſ. 7. Ἀπεκρίθη — καταβαίνει. Ὑπώπτευσεν, ὅτι διὰ τῦτο αὐτὸν ἠρώτησε τῦτο, ἵνα ἐλέγξῃ, διὰ ῥαθυμίαν προϊέμενον τὴν ἴασιν, ἢ ὅτι βυλόμενος χρησιμεῦσαι πρὸς τὸ βαλεῖν αὐτὸν εἰς τὴν κολυμβήθραν. διὸ καὶ ἀπολογεῖται, ὅτι παρὰ τὸ μὴ ἔχειν ἄνθρωπον ἀποτυγχάνει.

Εἰπὼν δὲ· ὅτι ἐν ᾧ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμῦ καταβαίνει· ἔδειξε τὴν καρτερίαν αὐτῦ, πῶς ἐν τοσύτοις ἔτεσιν ἀποτυγχάνων, ἔτι παρέμενε, καὶ ὐκ ἀφίςατο, καὶ ταῦτα ὐ ῥαθυμῶν, ἀλλὰ παραγκωνιζόμενός τε καὶ ἐπηρεαζόμενος, καὶ ὐδὲ ὕτω ναρκῶν.

Ἡμᾶς

Nos autem breui aliquo tempore diligenter Deo adstantes, si non assequimur, quod optamus, statim omittimus ac recedimus, pigrioresque redditur. At laboriosum est, inquies, continue orare. Et quae virtus non est laboriosa? Verum sicut laborem habet, ita et lucrum adfert.

Vers. 8. *Ait — ambula.* Non solum erigit, sed et grabbatum tollere iubet, vt miraculum esse credatur; et non appareat phantasia aliqua. Nisi enim membra firmiter compacta forent, nequaquam grabbatum ferre possent.

Hoc autem pluries fecit, eorum, qui impudentes esse vellent, ora obstruens. Nam et in paralytico, de quo apud Matthaeum, similiter fecit: et in panibus eadem de causa, vt plurima fragmenta relinquerentur, ordinauit: et ei, qui a lepra mundatus est, iussit, vt se sacerdoti ostenderet: et quum ex aqua vinum fecisset, praecepit, vt haurirent, ferrentque architriclino: et quum mortuam suscitasset, praecepit, vt darent illi, quod ederet: insensatis suadens per omnia huiusmodi, se non esse impostorem, sed verum saluatorem communis hominum naturae.

Vers. 9. *Et — ambulabat.* Simul et audiuit, et sanitatem sentiens erectus est: itaque nullius habita ratione, tulit lectum suum et ambulabat.

Vers. 9. *Erat — v. 11. ambula.* Vide libertatem: neque enim solum non obediuit illis, sed et beneficii autorem praedicauit, ac omnibus praestantiorem demonstrauit dicens: Ipse mihi dixit, ipsi obediui: siquidem eum, qui me sanum fecit, maiorem cunctis ducere decreui.

Vers. 12.

Ἡμεῖς δὲ βραχύν τινα καιρὸν προσεδρεύοντες τῷ θεῷ σπουδαίως, ἐὰν μὴ τύχωμεν, ὀκνοῦμεν λοιπὸν, καὶ ἀποφοιτῶμεν, καὶ ἀναπίπτομεν. ἀλλ' ἐπίπονόν, φησιν, ἡ διηνεκὴς προσευχή· καὶ ποία ἀρετὴ οὐκ ἐπίπονος; διότι δὲ ἐπίπονος, διὰ τοῦτο καὶ ἐπικερδής.

Verf. 8. Λέγει — περιπάτει. Οὐ μόνον ἀνίστησιν, ἀλλὰ καὶ τὸν κράββατον ἆραι κελεύει, ἵνα πιστωθῇ τὸ θαῦμα, καὶ μὴ δόξῃ φαντασία τις. εἰ γὰρ μὴ συνεπάγη τὰ μέλη βεβαίως, οὐκ ἂν τὸν κράββατον ἠδύνατο φέρειν.

Τοῦτο δὲ πολλαχοῦ πεποίηκεν, ἐπιστομίζων τοὺς ἀναισχυντεῖν βουλομένους. καὶ γὰρ καὶ ἐπὶ τοῦ παρὰ τῷ ματθαίῳ παραλύτου, ὁμοίως [m]) πεποίηκε· καὶ ἐπὶ τῶν ἄρτων, διὰ τοῦτο λείψανα πολλὰ παρεσκεύασεν [n]) ὑπολειφθῆναι· καὶ τῷ καθαρισθέντι λεπρῷ προσέταξε, [o]) δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ· καὶ τὸ ὕδωρ οἶνον ποιήσας, εἶπεν ἀντλῆσαι [p]) καὶ ἐνεγκεῖν τῷ ἀρχιτρικλίνῳ· καὶ νεκρὸν ἀναστήσας, ἐνετείλατο δοῦναι [q]) αὐτῷ φαγεῖν· διὰ τῶν τοιούτων πάντων πείθων τοὺς ἀνοήτους, ὅτι οὐκ ἔστιν ἀπατεών, ἀλλὰ σωτὴρ ἀληθὴς τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως.

m) Matth. 9, 6.
n) Matt. 14, 20.
o) Matth. 8, 4.
p) Io. 2, 8.
q) Luc. 8, 55.

Verf. 9. Καὶ — περιεπάτει. Ἅμα τε ἤκουσε, καὶ ἅμα τῆς ὑγείας αἰσθόμενος, ἠγέρθη, καὶ λοιπὸν μηδὲν ὑπολογισάμενος, ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει.

Verf. 9. Ἦν — v. 11. περιπάτει. Ὅρα παῤῥησίαν. οὐ μόνον γὰρ οὐκ ἐπείσθη τούτοις, ἀλλὰ καὶ τὸν εὐεργέτην ἀνεκήρυξε, καὶ προτιμότερον πάντων ἀπέφηνε, λέγων· ἐκεῖνός μοι εἶπεν, ἐκείνῳ πείθομαι. καὶ γὰρ ἐκεῖνός με ἰασάμενος, ἐκεῖνον μείζονα πάντων νομίζειν παρεσκεύασεν.

Verf. 12.

Verſ. 12. *Interrogauerunt* — v. 13. *loco.* Simul vt hominem ſanauerat, ſubduxerat ſe propter turbam: partim quidem fugitans laudem aequorum, partim vero inuidiam amputans iniquorum. Solet enim frequenter ſolus eius conſpectus, cui quis inuidet, multam infundere flammam irae.

Verſ. 14. *Poſthaec* — *contingat.* Quum iam et miraculi rumor defeciſſet et tumor Iudaeorum, occurrit ei, qui ſanatus fuerat, volens animam quoque illius meliorem reddere, reperit eum non in otio et ſegnitie, ſed in templo, orantem, vt opinor, ac Deo gratias agentem: et admonet illum, ne deinceps peccet, oſtendens, quod propter peccata aegrotabat. Minatur autem grauius puniendum, ſi peccauerit: docens eos, qui poſt poenam peccati rurſus delinquunt, atrocius puniendos, tanquam inſenſatos ac contemtores, ſiue in praeſenti vita, ſiue in futura, ſiue in vtraque.

Quod ſi peccatorum ſupplicium durauit hic triginta et octo annos, quidnam poterit quispiam dicere de futuro ſupplicio? vtique, quod aeternum erit ac ſine carens. Neque tamen omnes morbi a peccatis oriuntur, neque omnes peccatores aegrotant. Paralyticus quoque, de quo apud Matthaeum fit mentio, propter peccatum aegrotabat: ideo etiam dixit illi, Remiſſa ſunt tibi peccata tua. Per tales autem admonet omnes: eos quidem, qui nondum aegrotauerunt, vt timeant, ne morbo corripiantur, et ita corrigantur: eos vero, qui iam morbo ſubiacuerunt, vt timeant, ne deterius aegrotent, et deinceps cautius viuant.

Quisque

7) ἑαυτοῦ. B.

Vers. 12. Ἠρώτησαν — v. 13. τόπῳ. Ἅμα τῷ θεραπεῦσαι τὸν ἄνθρωπον, ἐξένευσε, διὰ τὸν ὄχλον, τοῦτο μὲν, φεύγων τὸν παρὰ τῶν εὐγνωμονεστέρων ἔπαινον· τοῦτο δὲ, περικόπτων τὸν παρὰ τῶν ἀγνωμονεστέρων φθόνον. εἴωθε γὰρ πολλάκις ὄψις μόνον τοῦ φθονουμένου, πολλὴν ἐνιέναι φλόγα.

Vers. 14. Μετὰ ταῦτα — γένηται. Παρακμάσαντος ἤδη καὶ τοῦ θαύματος, καὶ τοῦ θυμοῦ τῶν Ἰουδαίων, ἐντυγχάνει λοιπὸν τῷ θεραπευθέντι, θέλων βελτιῶσαι καὶ τὴν ψυχὴν αὐτοῦ. εὑρίσκει δὲ αὐτὸν, οὐκ ἐν ἀνέσει καὶ ῥαθυμίᾳ, ἀλλ' ἐν τῷ ἱερῷ, προσευχόμενον, οἶμαι, καὶ εὐχαριστήρια τῷ θεῷ ἀποδιδόντα. καὶ παραινεῖ μὲν, μηκέτι ἁμαρτάνειν, δεικνύων ὅτι ἐξ ἁμαρτιῶν ἐνόσει· ἀπειλεῖ δὲ, εἰ πάλιν ἁμαρτήσει, χείρονα κόλασιν, διδάσκων, ὡς οἱ μετὰ τὴν ἐξ ἁμαρτίας τιμωρίαν πάλιν ἁμαρτάνοντες, χαλεπώτερον τιμωρηθήσονται, ὡς ἀναίσθητοι καὶ καταφρονηταὶ, εἴτε ἐν τῇ παρούσῃ ζωῇ, εἴτε ἐν τῇ μελλούσῃ, εἴτε καὶ ἐν ἀμφοτέραις.

Εἰ δὲ ἐνταῦθα κόλασις ἁμαρτιῶν παρετάθη εἰς τριακονταοκτὼ ἔτη, τί ἄν τις εἴποι περὶ τῆς ἐκεῖ κολάσεως; ὄντως γὰρ ἀτελεύτητός ἐστι καὶ αἰώνιος. οὔτε δὲ πᾶσαι αἱ νόσοι ἐξ ἁμαρτιῶν τίκτονται, οὔτε πάντες οἱ ἁμαρτάνοντες νοσοῦσι. καὶ ὁ μνημονευόμενος δὲ ὑπὸ Ματθαίου παραλυτικὸς, ἐξ ἁμαρτιῶν ἐνόσει, καθὼς ἐκεῖ διείληπται· διὸ καὶ πρὸς ἐκεῖνον εἴρηκεν, ἀφέωνταί σοι r) αἱ ἁμαρτίαι σου. διὰ τῶν τοιούτων δὲ παραγγέλλει πᾶσι, τοῖς μὲν μήπω νοσήσασι, φοβεῖσθαι, μὴ νοσήσωσι, καὶ διορθοῦσθαι· τοῖς δὲ ἤδη νοσήσασι, φοβεῖσθαι, μὴ νοσήσωσι χεῖρον, καὶ ἀσφαλίζεσθαι πρὸς τὸ μέλλον.

r) Matth. 9, 2.

Quisque ergo nostrum, si iam aegrotauit, dicat apud sese, Ecce sanus factus es, non pecces deinceps, ne quid deterius tibi contingat. Quod si nondum morbo detentus est, apostolicum oraculum apud se decantet, Bonitas Dei ad poenitentiam te inuitat, sed iuxta duritiem tuam et cor impoenitens, iram tibi recondis. Non solum autem corporis membra adstringens suam ostendit diuinitatem, sed etiam dicens, Non pecces deinceps: siquidem omnia se nosse significauit, quantumuis etiam arcana.

Vers. 15. *Abiit — sanum.* Abiit et nuntiauit, non tanquam iniquus, vt proderet, sed tanquam gratus, vt benefactorem diuulgaret: nam beneficium ac minae sufficiebant, vt eum in officio continerent: nec his tantum alligatus erat, verum etiam timebat, ne quid deterius pateretur. Praesertim quod si eum prodere voluisset, nequaquam dixisset, quod Iesus esset, qui se sanasset: sed quod Iesus esset, qui dixisset ei, Tolle grabbatum tuum et ambula. Ipse ergo, quia crimen incurrere se putabat, si tacuisset, beneficium praedicauit. Gratus itaque ac libere loquens censendus est hic homo, omnique carens accusatione.

Vers. 16. *Ac — Sabbatho.* Quantum ad id, quod apparebat, propter hoc: quantum vero ad id, quod occultum erat, propter inuidiam.

Vers. 17. *Iesus autem — operor.* Vtrinque seipsum Deo aequalem esse ostendit: et dicens Deum patrem suum, et dicens, se operari sicut illum:

Καὶ ἡμῶν οὖν ἕκαστος, εἰ μὲν ἤδη νενόσηκε, λεγέτω πρὸς ἑαυτόν· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται. εἰ δὲ οὔπω νενόσηκεν, ἐπᾳδέτω ἑαυτῷ τὸ ἀποστολικὸν λόγιον· ὅτι τὸ [s]) χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργήν. οὐ μόνον δὲ τῷ σφίγξαι τὸ σῶμα παρέσχεν αὐτῷ τῆς οἰκείας θεότητος ἀπόδειξιν, ἀλλὰ καὶ τῷ εἰπεῖν· μηκέτι ἁμάρτανε· καὶ γὰρ ἐδήλωσεν, ὅτι πάντα οἶδε, καὶ τὰ ἀπόῤῥητα. s) Rom. 2, 4. 5.

Vers. 15. Ἀπῆλθεν — ὑγιῆ. Ἀπῆλθε καὶ ἀνήγγειλεν, οὐχ ὡς ἀγνώμων, ἵνα προδώσει, ἀλλ᾽ ὡς εὐγνώμων, ἵνα ἀνακηρύξῃ τὸν εὐεργέτην. ἱκανὴ γὰρ καὶ ἡ εὐεργεσία καὶ ἡ ἀπειλὴ ἐπισχεῖν αὐτόν. καὶ οὐ μόνον ᾐδέσθη ἄν, ἀλλὰ καὶ ἐφοβήθη, μήτι χεῖρον πάθῃ, μεγίστην λαβὼν ἀπόδειξιν τῆς τοῦ εὐεργέτου δυνάμεως. ἄλλως τε καὶ, εἰ προδοῦναι τοῦτον ἐβούλετο, οὐκ ἂν εἶπεν· ὅτι ἰησοῦς ἐστιν ὁ ποιήσας με ὑγιῆ· ἀλλ᾽ ὅτι ἰησοῦς ἐστιν, ὁ εἰπών μοι, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. οἱ γὰρ ἰουδαῖοι μαθεῖν ἐζήτουν, οὐ τίς ἐποίησεν αὐτὸν ὑγιῆ, ἀλλὰ τίς ὁ εἰπὼν αὐτῷ, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. οὗτος δὲ, τὸ δοκοῦν ἔγκλημα σιγήσας, τὴν εὐεργεσίαν ἐδημοσίευσεν, εὐγνώμων οὖν, καὶ πεπαῤῥησιασμένος ὁ ἄνθρωπος οὗτος, καὶ μέμψεως ἁπάσης ἐκτός.

Vers. 16. Καὶ — σαββάτῳ. Τῷ φαινομένῳ μὲν, διὰ τοῦτο· τῷ κεκρυμμένῳ δὲ, διὰ τὸν φθόνον.

Vers. 17. Ὁ δὲ ἰησοῦς — ἐργάζομαι. Ἔδειξεν [a]) ἑαυτὸν ἴσον τῷ θεῷ ἑκατέρωθεν, ἀπό τε τοῦ εἰπεῖν, πατέρα ἴδιον τὸν θεὸν, καὶ ἀπὸ τοῦ

a) αὐτόν. A.

illum: ne deinceps tanquam puro homini auscultarent ei, sed tanquam Deo. Itaque, quod dicitur, Ad hoc vsque temporis, continuitatem operationis significat.

Quum autem duplex intelligatur Dei operatio, vna siquidem significat naturarum ab exordio creationem, altera autem post illam, gubernationem ac prouidentiam, earumque conseruationem. Primo quidem significato, cessauit die septimo ab omnibus operibus suis: secundo vero semper operatur, creaturam gubernans, prouidens ac conseruans illam. Nec vetat vlla lex legislatorem semper operari creaturarum suarum salutem.

Obserua autem, quod de Sabbathi solutione variis locis accusatus, interdum quidem tanquam Deus respondet, prout nunc: quandoque vero, tanquam homo: volebat namque, vt crederetur vtrumque, puta et sua diuinitas et incarnatio.

† †) Sancti Maximi: Deus cum semel, vti ipse nouit, rerum conditarum rationes et naturas rerum in vniuersum constituisset, adhuc operatur, non tantum istarum rerum perdurationem, sed et efficacem creationem et propagationem partium, quae ista praedita sunt facultate. In materia enim, hoc est, in vniuersa rerum essentia, facultatem habent partes per partes ex ista materia factae, quarum generationem deus semper operatur. Praeterea etiam operatur partium ad totum conformationem, hoc est, coniunctionem omnium hominum, secundum vnam mentis ad bonum motionem, ad naturae rationem, vt fiat, sicut vna et eadem

9) πάντων, addit. A.

†) Haec vterque Codex in margine habet. Hentenius non agnoscit. Videtur autem plura huiusmodi scholia Maximi propter difficultatem et obscuritatem in interpretatione praetermisisse.

ποῦ εἰπεῖν, ἐργάζεσθαι, καθὼς ἐκεῖνος, ἵνα μηκέτι, ὡς ἀνθρώπῳ ψιλῷ, τούτῳ προσέχωσιν, ἀλλὰ καὶ ὡς θεῷ. τὸ μὲν οὖν ἕως ἄρτι, τὸ διηνεκὲς τῆς ἐργασίας δηλοῖ.

Διττῆς δὲ νοουμένης ἐπὶ θεοῦ τῆς ἐργασίας· ἡ μὲν γὰρ σημαίνει, τὴν κατ᾽ ἀρχὰς δημιουργίαν τῶν φύσεων· ἡ δὲ, τὴν μετ᾽ ἐκείνην οἰκονομίαν καὶ πρόνοιαν καὶ συντήρησιν αὐτῶν· κατὰ μὲν τὸ πρῶτον σημαινόμενον, κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ[9]) τῶν ἔργων αὐτοῦ· κατὰ δὲ τὸ δεύτερον ἀεὶ ἐργάζεται, οἰκονομῶν τὴν κτίσιν καὶ προνοούμενος καὶ συνέχων αὐτὴν, καὶ νόμος οὐδεὶς κωλύει τὸν νομοθέτην ἐργάζεσθαι πάντατε τὴν σωτηρίαν τῶν κτισμάτων αὐτοῦ.

Παρατήρησον δὲ, ὅτι διαφόρως περὶ τῆς τοῦ σαββάτου λύσεως ἐγκαλούμενος, ποτὲ μὲν, θεοπρεπῶς ἀπολογεῖται, καθάπερ καὶ νῦν· ποτὲ δὲ, ἀνθρωποπρεπῶς. ἐβούλετο γὰρ ἀμφότερα πιστεύεσθαι, καὶ τὴν θεότητα αὐτοῦ, καὶ τὴν ἐνανθρώπησιν.

[Τοῦ ἁγίου[1]) μαξίμου· τοὺς μὲν πρώτους τῶν γεγονότων λόγους ὁ θεὸς, καὶ τὰς καθόλου τῶν ὄντων οὐσίας, ἅπαξ, ὡς οἶδε, συμπληρώσας, ἔτι ἐργάζεται, οὐ μόνον τὴν τούτων αὐτῶν πρὸς τὸ εἶναι συντήρησιν, ἀλλὰ καὶ τὴν κατ᾽ ἐνέργειαν δημιουργίαν τῶν ἐν αὐτοῖς δυνάμει μερῶν. ἐν γὰρ τῇ ὕλῃ, τουτέστι, τῇ καθόλου τῶν ὄντων οὐσίᾳ, δυνάμει ὑπάρχουσι τὰ κατὰ μέρος, ἐκ τῆς ὕλης[2]) γινόμενα μερικὰ, ὧν τὴν γένεσιν ἀεὶ ὁ θεὸς ἐργάζεται. ἔτι μὴν ἐργάζεται καὶ τὴν πρὸς τὰ καθόλου τῶν μερικῶν ἐξομοίωσιν, λέγω δὴ, τὴν πάντων ἀνθρώπων, κατὰ μίαν τῆς γνώμης ἐπὶ τὰ καλὰ κίνησιν, πρὸς τὸν λόγον τῆς φύσεως ἕνωσιν, ἵνα γένηται πάντων, ὥσπερ μία καὶ ἡ αὐτὴ φύσις

[2]) γενόμενα A.

eadem natura, ita et vna sententia, consentiens et eodem directa, omnibus et deo et sibi inuicem iunctis, per diuinam prouidentiam.

Vers. 18. *Propter hoc — deo.* Dicens enim, Pater meus, legitimum se ostendebat: legitimus autem filius aequalis est patri, quoad substantiam et naturam.

Vers. 19. *Respondit — facientem.* Qui sublimia de seipso dicens persequutionem sustinebat, quod illi ad eorum, quae dicebantur, celsitudinem peruenire non possent, sed tanquam Deo contrarium eum persequerentur, condescendit imbecillitati mentis illorum, et humilia dispensatiue de se loquitur, vt per haec facile susciperentur: deinde rursus ad sublimia sermonem reducit, et iterum hunc ad humilia demittit: rursumque ad id, quod sublimius est, denuo ad id, quod humilius: et ita per sublimia simul et humilia verba, tum aequalitatem demonstrantia, tum minoritatem demonstrare apparentia, suum texit sermonem, atque hunc iudicio dispensat, vt et qui mente sunt acutiores ac benigni, sumant a sublimibus intellectum conuenientem etiam de humilibus: et qui obtusiores sunt aut insulsi, ab humilibus consolationem accipiant, et quasi de homine haec intelligentes, non turbentur.

Veruntamen quanquam verba sint humilia, hoc etiam modo sub his excelsae occultantur sententiae: et verbis quidem causam tradere videtur aduersariis, sensibus vero nequaquam. Quid ergo nunc dicit? Non potest filius a se facere quicquam, nisi quid viderit patrem facientem: his quidem, qui sunt intellectu crassiores, potentiae minorationem prae se fert hic sermo, propter dictam dispensationem: subtilibus autem aequalitatem potius

ότις, ούτω καὶ γνώμη μία, σύμφωνός τε καὶ ταυτοκίνητος, Θεῷ τε καὶ ἀλλήλοις συναφθέντων, διὰ τῆς προνοίας αὐτοῦ.]

Vers. 18. Διὰ τοῦτο — Θεῷ. Λέγων γὰρ, ὅτι ὁ πατήρ μου, τὸ γνήσιον ἐνέφαινεν· ὁ δὲ γνήσιος υἱὸς, ἴσος τῷ πατρὶ κατ' οὐσίαν καὶ φύσιν.

Vers. 19. Ἀπεκρίνατο — ποιοῦντα. Ἐπειδήπερ, ὑψηλὰ περὶ ἑαυτοῦ λέγων, ἐδιώκετο, μὴ δυναμένων ἐκείνων ἐφικέσθαι τοῦ ὕψους τῶν λεγομένων; ἀλλ' ὡς ἀντίθεον αὐτὸν διωκόντων, συγκαταβαίνει τῇ ἀσθενείᾳ τῆς διανοίας αὐτῶν, καὶ ταπεινὰ φθέγγεται κατ' οἰκονομίαν, ἵνα εὐπαράδεκτος αὐτοῖς γένηται. εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ τὸν λόγον ἀνάγει, καὶ αὖθις ἐπὶ τὰ ταπεινὰ τοῦτον κατάγει· καὶ πάλιν ἐπὶ τὸ ὑψηλότερον, καὶ αὖθις ἐπὶ τὸ ταπεινότερον· καὶ οὕτω διὰ ὑψηλῶν ὁμοῦ καὶ ταπεινῶν ῥημάτων, τῶν μὲν ἰσότητα ἐμφαινόντων, τῶν δὲ ἐλάττωσιν ἐμφαίνειν δοκούντων, ὑφαίνει τὸν λόγον αὐτοῦ, καὶ οἰκονομεῖ τοῦτον ἐν [3]) κρίσει, ὥστε τοὺς μὲν ὀξυτέρους τὴν διάνοιαν καὶ εὐγνώμονας, ἀπὸ τῶν ὑψηλῶν, καὶ περὶ τῶν ταπεινῶν, τὴν προσήκουσαν ἔννοιαν λαμβάνειν· τοὺς δὲ ἀμβλυτέρους καὶ ἀγνώμονας, ἀπὸ τῶν ταπεινῶν παραμυθεῖσθαι, καὶ ὡς περὶ ἀνθρώπου ταῦτα νοοῦντας, μὴ ταράττεσθαι.

Πλὴν, εἰ καὶ ταπεινὰ τὰ ῥήματα, ἀλλὰ καὶ οὕτως ὑψηλὰ τὰ ὑποκεκρυμμένα [*]) τούτοις νοήματα· καὶ ταῖς μὲν λέξεσι καθυφίησι· τοῖς δὲ νοήμασιν, οὐδαμῶς. τί οὖν φησι νῦν; οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. τοῖς μὲν παχύτερον νοοῦσιν, ἐλάττωσιν δυνάμεως ὁ λόγος προφαίνει, διὰ τὴν ῥηθεῖσαν οἰκονομίαν· τοῖς δὲ λεπτότερον, ἰσότη-

 τα

3) i. e. εὐλόγως.
*) ἀποκεκρυμμένα. B.

tius et identitatem, propter veritatem. Non potest enim, non ob potentiae defectum, sed propter inseparabilitatem: nam impossibile est, filium quicquam facere, quod non facit pater: quia non est alia filio potentia ab ea, quae patris est, sed eadem: quod si eadem est, aequalis certe filius est patri.

Ait autem Gregorius Theologus, quod earundem rerum formas intelligentes praebet pater, filius vero perficit, non tanquam seruus aut insipiens, sed tanquam dominus ac prudens, et vt magis proprie dicatur, modo paterno, siue iuxta patris dominium ac scientiam.

Propter praedicta ergo dictum est, Non potest filius a se facere quicquam, nisi quid viderit patrem facientem. Quod si non propter haec, quomodo potentia non potest? aut quomodo sapientiae est opus praeceptore? quomodo etiam omnia per ipsum facta sunt? siue quo pacto etiam hominibus non erit imbecillior, qui multa a seipsis faciunt? Nam et virtutem a nobisipsis eligimus et vitium. Multa quoque variis ex locis consequentur absurda.

De praedicto sane verbo subtilius disputauit Gregorius Theologus sexto secundi libri capite.

Vers. 19. *Quaecunque — facit.* Rursum ab humilibus transit ad sublimia, vt praedictum est: nam si quaecunque ille fecerit, haec filius

*) *ἀνεγχείρητον*. B. Vtrumque dici potest. Sed *ἀνεγχείρητον* est, quod quis non suscipiat, quod aliqua de caussa non euentum habeat aut facto indignum sit: *ἀνεγχώρητον*, quod fieri non possit. Redit ergo fere eodem. Sed probo *ἀνεγχώρητον*, propter proximum *ἀνένδεκτον*. Ita quoque Hentenius videtur reperisse. Sed male reddidit insepa-

τας μᾶλλον καὶ ταυτότητα, διὰ τὴν ἀλήθειαν. οὐ δύναται γὰρ, οὐ κατ' ἔλλειψιν δυνάμεως, ἀλλὰ κατὰ τὸ[5]) ἀνεγχώρητον· ἀνένδεκτον γὰρ ποιεῖν τι τὸν υἱὸν, ὧν οὐ ποιεῖ ὁ πατὴρ, διότι οὐκ ἔστι τῷ υἱῷ δύναμις ἰδία παρὰ τὴν τοῦ πατρὸς, ἀλλ' ἡ αὐτή· εἰ δὲ ἡ αὐτὴ, ἴσος ἄρα ὁ υἱὸς τῷ πατρί.

Φησὶ δὲ ὁ θεολόγος[6]) γρηγόριος, ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται μὲν ὁ πατὴρ, ἐπιτελεῖ δὲ ὁ υἱὸς, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς, ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον εἰπεῖν, πνευματικῶς, ἤτοι κατὰ τὴν τοῦ πατρὸς ἐπιστήμην καὶ δεσποτείαν.

Διὰ τὰ ῥηθέντα οὖν εἴρηται, τὸ οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. εἰ γὰρ μὴ διὰ ταῦτα, πῶς ἡ δύναμις οὐ δύναται, ἢ πῶς ἡ σοφία δεῖται διδασκάλου, ἢ πῶς πάντα δι' αὐτοῦ ἐγένετο, ἢ πῶς οὐ καὶ τῶν ἀνθρώπων ἀσθενέστερος ἔσται, τῶν πολλὰ ποιούντων ἀφ' ἑαυτῶν; καὶ γὰρ καὶ ἀρετὴν ἀφ' ἑαυτῶν αἱρούμεθα, καὶ κακίαν, καὶ πολλὰ πολλαχόθεν ἄτοπα ἐπακολουθήσει.

Περὶ μέντοι τοῦ δηλωθέντος ῥητοῦ λεπτομερέστερον διέλαβεν ὁ θεολόγος γρηγόριος ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ περὶ υἱοῦ δευτέρου λόγου.

Vers. 19. Ἃ — ποιεῖ. Ἀπὸ τῶν ταπεινῶν ἐπὶ τὰ ὑψηλὰ μετέβη πάλιν, ὡς προδεδήλωται. εἰ γὰρ, ἃ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ

M 5 υἱὸς

separabilitatem. Minus enim probabile est, illum legisse ἀχώριστον. Οὐκ ἐγχωρεῖ, *fieri nequit*, satis notum est. Ἀνεγχώρητος autem habet Gregor. Naz. p. 215. fin. quem locum fortasse in mente habuit Euthymius. Ibi sic: οὕτως ἀδύνατον καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν υἱὸν, ὃ οὐ ποιεῖ ὁ πατήρ. Supra ad Luc. 16, 26. est ἀνεπιχείρητος.

6) Gregor. Naz. p. 216. init.

filius similiter facit, vtique hic aequalis est illi. Praeponitur autem non vulgari modo dictio similiter, sed vt discamus, quod cum aequali scientia et dominio facit, vt praedictum est.

Vers. 20. *Pater — facit.* Iterum a sublimibus ad humilia descendit: Diligit autem filium, non solum tanquam vnigenitum, sed etiam tanquam eadem facientem, et nihil, quod pater nolit, operantem. Neque vero superius dictionem Viderit, de filio: neque hoc in loco dictionem Demonstrat, de patre, humano modo intelligere oportet, sed diuino et supernaturali. Neque enim filius videt, sicut discipulus, neque pater demonstrat, sicut praeceptor: sed hic quidem demonstrat, sicut mens, quae formas earundem rerum intelligendas praebet: ille autem videt, sicut sermo, qui ea, quae ad intelligendum data sunt, perficit: et ita his communes sunt omnes diuinae res et caussae.

Vers. 20. *Et — admiremini.* Nam quia paralytici membra confirmauerat, magnum quidem erat, quod factum erat: sed etiam mortuum excitaturus erat, et ideo ait, quod etiam maiora his demonstrabit ei opera, vt vos amplius admiremini, et ad credendum adducamini.

Vers. 21. *Sicut — viuificat.* Ab humilibus rursus ascendit ad sublimia. Nam si, vt ille, ita et hic, quos vult, viuificat, aequalis vtique potentiae filius est cum patre. Viuificare itaque sicut pater, potentiae docet aequalitatem: quod autem additur, Quos vult, autoritatis immutabilitatem. Verum si et potest, et autoritatem habet, quomodo non potest filius a se facere quicquam?

Non

υἱὸς ὁμοίως ποιεῖ, ἴσος ἄρα οὗτος ἐκείνῳ. τὸ δὲ ὁμοίως πρόσκειται, οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθωμεν, ὅτι μετὰ τῆς ἴσης ἐπιστήμης καὶ δεσποτείας ὡς προαίρηται.

Vers. 20. Ὁ γὰρ πατὴρ — ποιεῖ. Πάλιν ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ ταπεινὰ μετεχώρησε. φιλεῖ δὲ τὸν υἱὸν, οὐ μόνον, ὡς μονογενῆ, ἀλλὰ καὶ, ὡς τὰ αὐτὰ ποιοῦντα, καὶ μηδὲν ἀθέλητον τῷ πατρὶ ἐργαζόμενον. οὔτε δὲ ἄνω, ἐπὶ τοῦ υἱοῦ, τὸ βλέπειν, οὔτε ἐνταῦθα, ἐπὶ τοῦ πατρὸς, τὸ δείκνυσιν, ἀνθρωπίνως χρὴ νοεῖν, ἀλλὰ θεοπρεπῶς καὶ ὑπερφυῶς. οὔτε γὰρ ὁ υἱὸς βλέπει, ὡς μαθητὴς, οὔτε ὁ πατὴρ δείκνυσιν, ὡς διδάσκαλος· ἀλλ' ὁ μὲν δείκνυσιν, ὡς νοῦς τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαινόμενος· ὁ δὲ βλέπει, ὡς λόγος, ἐπιτελῶν τὰ ἐνσημανθέντα, καὶ οὕτω κοινὰ τούτοις πάντα τὰ θεοπρεπῆ πράγματα.

Vers. 20. Καὶ — θαυμάζητε. Ἐπειδὴ παράλυτον ἔσφιγξε, καὶ ἦν μέγα τὸ γεγονὸς, ἔμελλε δὲ καὶ νεκρὸν ἐγείρειν, διὰ τοῦτο εἶπεν, ὅτι καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε μεῖζον, καὶ οὕτως ἐναχθῆτε*) πρὸς τὸ πιστεύειν.

Vers. 21. Ὥσπερ — ζωοποιεῖ. Ἀπὸ τῶν ταπεινῶν μετῆλθεν αὖθις ἐπὶ τὰ ὑψηλά. εἰ γὰρ, ὥσπερ ἐκεῖνος, οὕτω καὶ οὗτος, οὓς θέλει, ζωοποιεῖ, ἰσοδύναμος ἄρα ὁ υἱὸς τῷ πατρί. τὸ μὲν οὖν, ὥσπερ ὁ πατὴρ ζωοποιεῖν, τῆς δυνάμεως διδάσκει τὴν ἰσότητα· τὸ δὲ, οὓς θέλει, τῆς ἐξουσίας τὴν ἀπαραλλαξίαν. ἐπεὶ δὲ καὶ δύναται, καὶ ἐξουσίαν ἔχει, πῶς οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν; οὐ δύναται οὖν χωρὶς τοῦ πατρός. διό-

*) ἀναχθῆτε. A. Vtrumque probum. Ex Hentenio nihil licet colligere.

Non potest ergo sine patre, quia vna et eadem est ipsis potentia et voluntas.

Vers. 22. *Neque* — v. 23. *patrem.* A sublimibus iterum descendit ad humilia. Et hic ergo verbum Dedit, intelligendum est prout Deum decet: talia enim, vt diximus, dispensatiue dicit: non solum curans ex hoc imbecillitatem Iudaeorum: verum etiam, vt causam videamus, et ne naturalem non esse filium suspicemur, neque in Sabellii morbum decidamus, qui eundem esse patrem et filium ac spiritum sanctum intelligit, et vnicam esse sanctae trinitatis personam insane praedicat.

Quando vero dedit iudicium filio? De hoc, quando id fuerit, res est admodum occulta: et quanquam audenter respondere oporteat, quod simul vt hic genitus est: attamen quando hic genitus est? Quando pater genitus non est. Non potest siquidem, non potest, inquam, inueniri temporis, aut seculi alicuius intelligentia, qua ad extremum aliquod peruenire possimus, etiamsi maxime vrgeamus.

Iudicium autem omne dedit filio, vt timentes propter hoc, honorent eum, sicut honorant patrem. Et quum Omne dixit, significauit et iudicium puniendi et iudicium honorandi, quos voluerit. Nec tamen patrem iudicandi autoritate priuauit. Nam si omnia, quae habet pater, filii sunt, *) praeterquam genitum non esse, manifestum est, quod etiam omnia quae habet filius, patris sunt, praeterquam esse genitum. Iudicat ergo filius, approbante quidem patre, cooperante autem et spiritu sancto, veluti sane intelligimus in omnibus eius operibus.

Verum

*) ἀγέννητος γὰρ ὁ πατήρ.

διότι μία καὶ ἡ αὐτὴ τούτοις δύναμίς τε καὶ βέλησις.

Verſ. 22. Ὀυδὲ — v. 23. πατέρα. Ἀπὸ τῶν ὑψηλῶν μετέστη πάλιν ἐπὶ τὰ ταπεινά. κἀνταῦθα τοίνυν τὸ δέδωκε θεοπρεπῶς νοητέον. τὰ τοιαῦτα γὰρ, καθὼς εἰρήκαμεν, οἰκονομικῶς λέγει, ἐ μόνον ἐντεῦθεν θεραπεύων τὴν ἀσθένειαν τῶν ἰουδαίων, ἀλλὰ καὶ, ἵνα τὸν αἴτιον εἰδῶμεν, καὶ μὴ ἀγέννητον εἶναι τὸν υἱὸν ὑπολάβωμεν, μηδὲ εἰς τὴν σαβελλίου νόσον καταπέσωμεν, τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα νοοῦντος, καὶ ἓν πρόσωπον τὴν ἁγίαν τριάδα δογματίζοντος ἀνοήτως.

Πότε δὲ τὴν κρίσιν δέδωκε τῷ υἱῷ; ὑπὲρ τὸ πότε, ἡ ἀπόκρισις. εἰ δὲ χρή τι καὶ τολμηρῶς ἀποκριθῆναι, ἅμα τῷ τῦτον γεγεννῆσθαι. πότε δὲ οὗτος γεγέννηται; ὅτε ὁ πατὴρ ἐ γεγέννηται. ἐκ ἔστι γὰρ, ἐκ ἔστιν εὑρεῖν ἔννοιάν τινα χρόνου ἢ αἰῶνος, καθ᾽ ἣν ἐφικέσθαι τινὸς ἄκρου δυνηθείημεν, εἰ καὶ ὅτι μάλιστα βιαζοίμεθα.

Τὴν κρίσιν δὲ πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα διὰ τῦτο φοβέμενοι, τιμῶσιν αὐτὸν, καθῶς τιμῶσι τὸν πατέρα. πᾶσαν δὲ εἰπὼν, ἐδήλωσεν ἅμα τήν τε τῦ κολάζειν, καὶ τὴν τῦ τιμᾶν, ἓς ἂν ἐθέλῃ. ἐ μὴν ἐξέβαλε τὸν πατέρα τῆς ἐξεσίας τῦ κρίνειν. εἰ γὰρ πάντα, ὅσα ἔχει ὁ πατὴρ, τῦ υἱῦ ἐστι, πλὴν ἀγεννησίας,[8]) πρόδηλον, ὅτι καὶ πάντα, ὅσα ἔχει ὁ υἱὸς, τῦ πατρός ἐστι, πλὴν[9]) γεννήσεως. κρινεῖ τοίνυν ὁ υἱὸς, εὐδοκῦντος μὲν τῦ πατρὸς, συνεργῦντος δὲ τῦ ἁγίου πνεύματος, ὥσπερ ἄρα νοοῦμεν καὶ ἐπὶ πάντων αὐτοῦ τῶν ἔργων.

Χρὴ

9) γεννητὸς γὰρ ὁ υἱός.

Verum scire oportet, quod dictiones sic, sicut et similes, in increata quidem trinitate aequalitatem significant, in creatis vero saepius etiam similitudinem, ac partialem quandam assimilationem. Quare autem dedit iudicium filio? Quia hic hominem formauit, perditumque reformauit, ac salutaria dedit praecepta: et vt, qui homo factus est, homines iudicaret: non solum, tanquam Deus, qui hominum nouit naturam, verum etiam, vt homo, qui in ea forma tentatus est. Et quare filius formauit hominem? Quia ipse est sapientia, verbum et potentia patris. Et quare filius et non pater, nec spiritus sanctus humanitatem assumsit? Quia oportebat, vt qui in supernis filius erat, maneret etiam in infernis filius, ne duo essent filii: et quia oportebat etiam creatorem renouare confractam suam creaturam: et quia opus erat, vt rationale per rationem siue verbum liberaretur ab irrationalitatis affectionibus: et quia decebat per immutabilem patris imaginem, eum, qui ad Dei imaginem factus fuerat, eamque mutauerat, ad pristinam reparari dignitatem, vt ita conuenienti modo omnia fierent.

Verum si eum honorauerimus, sicut honoramus et patrem, omnino etiam patrem hunc appellabimus? Nequaquam, sed filium eum scientes, patrem non appellabimus, ne proprietates confundamus: honorabimus tamen, sicut patrem: nam de honore sermo est, non de appellatione. Abusiue vero et hunc patrem vocamus, tanquam creatorem et procuratorem ac magistrum nostrum.

Vidisti sapientissimam et admirabilem contexturam sublimium humiliumque verborum: vt et de

¹) καὶ, interponit. A.
²) τιμήσομεν. B.

Χρὴ δὲ γινώσκειν, ὅτι τὸ ὥσπερ, καὶ τὸ καθὼς, καὶ τὰ τοιαῦτα, ἐπὶ μὲν τῆς ἀκτίστου τριάδος, τὴν ἰσότητα δηλοῦσιν· ἐπὶ δὲ τῶν κτιστῶν, πολλάκις, καὶ εἰκασίαν, καὶ ὁμοιότητά τινα μακρικήν. διατί δὲ[1]) τὴν κρίσιν δέδωκε τῷ υἱῷ; διότι αὐτὸς τὸν ἄνθρωπον ἔπλασε, καὶ φθαρέντα ἀνέπλασε, καὶ τὰς σωτηρίους ἐντολὰς ἔδωκε, καὶ ἵνα ἐνανθρωπήσας, κρίνῃ τοὺς ἀνθρώπους, μὴ μόνον ὡς θεὸς, εἰδὼς τὴν φύσιν τῶν ἀνθρώπων, ἀλλὰ καὶ, ὡς ἄνθρωπος, πεπειραμένος αὐτῆς. καὶ διατί ἔπλασεν ὁ υἱὸς τὸν ἄνθρωπον; διότι αὐτὸς ἐστὶ σοφία καὶ λόγος καὶ δύναμις τοῦ πατρός. καὶ διατί ὁ υἱὸς, ἀλλ' οὐχ ὁ πατὴρ, ἢ τὸ πνεῦμα τὸ ἅγιον, ἐνηνθρώπησε; διότι ἔδει τὸν ἄνω υἱὸν, μένειν καὶ κάτω υἱὸν, ἵνα μὴ δύο ὦσιν υἱοί, καὶ διότι ἔδει τὸν δημιουργὸν ἀνακαινίσαι τὸ συντριβὲν αὐτοῦ δημιούργημα, καὶ διότι ἔδει τὸν λογικὸν, διὰ τοῦ λόγου ἐλευθερωθῆναι τῆς ἀλογίας τῶν παθῶν, καὶ διότι πρέπον ἦν διὰ τῆς ἀπαραλλάκτου εἰκόνος τοῦ πατρὸς, τὸν κατ' εἰκόνα θεοῦ πεποιημένον καὶ παραλλάξαντα αὐτὴν, εἰς τὸ πρότερον ἐπαναχθῆναι ἀξίωμα, καὶ οὕτω καταλλήλως πάντα γενέσθαι.

Εἰ οὖν τιμήσωμεν[2]) αὐτὸν, καθὼς τιμῶμεν τὸν πατέρα, πάντως καὶ πατέρα τοῦτον προσαγορεύσωμεν;[3]) οὐδαμῶς. ἀλλ' υἱὸν αὐτὸν εἰδότες, πατέρα μὲν οὐκ ὀνομάσομεν, ἵνα μὴ συγχέωμεν τὰς ἰδιότητας· ὡς τὸν πατέρα δὲ τιμήσομεν[4])· περὶ γὰρ τιμῆς ὁ λόγος, οὐ περὶ προσηγορίας. καταχρηστικῶς δὲ, καὶ πατέρα τοῦτον καλοῦμεν, ὡς ποιητὴν καὶ κηδεμόνα καὶ διδάσκαλον ἡμῶν.

Εἶδες τὴν σαφεστάτην καὶ θαυμασίαν πλοκὴν τῶν ὑψηλῶν ἅμα καὶ ταπεινῶν ῥημάτων· ὥστε καὶ

τοῖς

3) προσαγορεύσωμεν. A.
4) τιμήσωμεν. A.

de his, quae tunc facta sunt; sermo facile suscipiatur, et his nullo sint impedimento ea, quae postmodum fient. Nisi enim sese demittens humilia dixisset, quare etiam sublimia attexuisset. Nam qui de se magna dicere debet, quum parua loquutus fuerit, pro excusatione habet dispensationem: siquidem dispensatorie hoc facit. Quem vero parua dicere conuenit, quam ob caussam magna loquitur? non enim dispensationis hoc est, sed extremae arrogantiae. Quod si etiam minor erat filius, sicut Ariani nugabantur, quare aequalem patri honorem expetebat? nec tantum expetebat, verum etiam terrorem incutiebat, dicens:

Vers. 23. *Qui — illum.* Qui non honorat, modo quo superius dixit, hoc est, sicut patrem. Addidit autem, Qui misit illum, non sui minorationem significans, sed ora Iudaeorum obturans. Propter hoc etiam continue ad patrem refugit, ponens interim et suae naturae nobilitatem. Siue enim omnia secundum sui dignitatem loquutus fuisset, nequaquam suscepissent, existimantes, eum Deo esse contrarium, quum etiam ob pauca huiusmodi verba illum persequerentur, vellentque lapidare: siue omnia sese demittendo loquutus fuisset, habito illorum respectu, multi sane detrimentum inde suscepissent. Ideo, vt diximus, miscet ac temperat doctrinam. Vt enim facile reciperetur, non tantum excelsa loquebatur, quantum humilibus permiscebat. Itaque quum voces humiles reperimus, dispensatorias eas existimemus, vel etiam eius humanitati adaptemus, sicut et excelsas diuinitati.

Vers. 24.

*) ea, abest. B.

τοῖς τότε γίνεσθαι τὸν λόγον εὐπαράδεκτον, καὶ τοὺς μετὰ τοῦτο μὴ βλάπτεσθαι. εἰ γὰρ μὴ διὰ συγκατάβασιν τὰ ταπεινὰ ἔλεγε, διατί καὶ τὰ ὑψηλὰ προσέπλεκεν; ὁ μὲν γὰρ ὀφείλων μεγάλα περὶ ἑαυτοῦ λέγειν, ὅταν μικρὰ φθέγγηται, πρόφασιν ἔχει τὴν οἰκονομίαν· οἰκονομικῶς γὰρ τοῦτο ποιεῖ· ὁ δὲ μικρὰ λέγειν ὀφείλων, τίνος ἕνεκεν μεγάλα φθέγγεται; τοῦτο γὰρ οὐκ ἔστιν οἰκονομίας, ἀλλ' ἐσχάτης ἀλαζονείας. εἰ δὲ καὶ ἐλάττων ἦν ὁ υἱὸς, ὡς οἱ περὶ τὸν ἄρειον ἐλήρουν, διατί τὴν ἴσην τῷ πατρὶ τιμὴν ἀπῄτει; καὶ οὐκ ἀπῄτει μόνον, ἀλλὰ καὶ ἐφόβει, λέγων.

Verſ. 23. Ὁ — αὐτόν. Ὁ μὴ τιμῶν, ὡς ἔλεγεν ἀνωτέρω, ἤγουν, καθὼς τὸν πατέρα. τὸν πέμψαντα δὲ εἶπεν, οὐκ ἐλάττωσιν ἑαυτοῦ ἐμφαίνων, ἀλλὰ τὰ στόματα τῶν ἰουδαίων ἐμφράττων. διὰ τοῦτο γὰρ καὶ συνεχῶς ἐπὶ τὸν πατέρα καταφεύγει, τιθεὶς μεταξὺ τὴν οἰκείαν εὐγένειαν. εἴ τε γὰρ πάντα πρὸς τὴν ἑαυτοῦ ἀξίαν ἐλάλει, οὐκ ἂν παρεδέξαντο, νομίζοντες ἀντίθεον, ὅπου γε καὶ ἀπὸ βραχέων τοιούτων ῥημάτων ἐδίωξαν αὐτὸν καὶ ἐλίθασαν· εἴτε πάντα συγκαταβατικῶς ἐφθέγγετο, ὑφορώμενος αὐτοὺς, πολλοὶ ἂν ἐβλάβησαν. διόπερ, ὡς εἰρήκαμεν, ἀναμίγνυσι καὶ κιρνᾷ τὴν διδασκαλίαν. πρὸς γὰρ τὸ εὐπαράδεκτον γενέσθαι αὐτὴν, οὐ τοσοῦτον τὰ ὑψηλὰ, ὅσον τὰ ταπεινὰ συνεβάλλετο. λοιπὸν οὖν, ὅταν εὑρίσκωμεν ταπεινὰς φωνὰς, οἰκονομικῶς αὐτὰς λογιζώμεθα, ἢ καὶ τῇ ἀνθρωπότητι αὐτοῦ ταύτας προσάπτωμεν, ὥσπερ καὶ τὰς ὑψηλὰς, τῇ θεότητι.

Vers. 24. *Amen — aeternam.* Rursum dispensatorie loquitur: Neque enim dixit, Et credit mihi, ne gloriari videretur. († † Sed qui me misit, ne videatur a se ipso loqui, sed ab eo, qui ipsum misit, vt ita credant sermoni eius, credentes per eum ei, qui ipsum misit. Vides, quam vtile sit sublimibus dicere humiliter.)

Vers. 24. *Et — veniet.* († † In condemnationem poenae. Qui enim credit sermoni eius, profecto eum etiam obseruabit. Relinquitur ergo, vt, qui eum non obseruet, ei nec credat. Perhorrescamus ergo nos, qui praecepta dei non seruamus. Cum infidelibus enim collocabimur. Quaere vero etiam tertio capite illud: Qui in eum credit, non iudicatur.)

Vers. 24. *Sed — vitam.* († † Mortem dicit non eam, quae hic est, sed quae ibi, id est, poenam. Sicut etiam vitam, fruitionem, quae ibi est. Transgressus enim ab incredulitate ad fidem, transiit reliquum etiam ab poena incredulorum ad fruitionem fidelium.)

Vers. 25. *Amen — viuent.* († † Cum superius dixisset: Quemadmodum pater suscitat mortuos et viuificat: ita et filius, quos vult, viuificat: ne videretur gloriari,) promittit nunc, quod non

6) Hic et in proximis scholiis defectu laborat interpretatio Hentenii. Hunc defectum hic in textu Graeco his signis [ ] notaui.

7) Ab ἀλλὰ ad finem scholii desunt apud Hentenium. Eorum vero loco legitur: *Non solum autem hic, sed in sequentibus quoque frequenter inueniemus, quo pacto et metu, et promissione, vt sibi credatur, admoneat.*

8) μὴ δόξῃ ἀφ'. A.

9) ταπεινόν. B.

Verf. 24. Ἀμὴν — αἰώνιον. Πάλιν οἰκονομικῶς φησιν. οὐκ εἶπε γὰρ, καὶ πιστεύων ἐμοὶ, ἵνα μὴ δόξῃ κομπάζειν [6]) [ἀλλὰ [7]) τῷ πέμψαντί με, ἵνα [8]) δόξῃ μὴ ἀφ᾽ ἑαυτοῦ λέγειν, ἀλλ᾽ ἀπὸ τοῦ πέμψαντος αὐτὸν, καὶ οὕτω πιστεύσωσι τῷ λόγῳ αὐτοῦ, ὡς δι᾽ αὐτοῦ τῷ πέμψαντι αὐτὸν πιστεύοντες. ὁρᾷς, πῶς τὸ [9]) ταπεινὰ λέγειν, λυσιτελεῖ τοῖς ὑψηλοῖς.

Verf. 24. Καὶ — ἔρχεται. Εἰς [1]) κατάκριμα κολάσεως. ὁ γὰρ πιστεύων τῷ λόγῳ αὐτοῦ, πάντως καὶ τηρεῖ αὐτόν· λοιπὸν οὖν, ὁ μὴ τηρῶν αὐτὸν, οὐ πιστεύει αὐτῷ. φρίξωμεν οἱ μὴ φυλάσσοντες τὰς ἐντολὰς τοῦ Θεοῦ. μετὰ τῶν ἀπίστων γὰρ τετάγμεθα. ζήτησον δὲ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τὸ, ὁ [t]) πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται. t) Io. 3. 18.

Verf. 24. Ἀλλὰ — ζωήν. Θάνατον, οὐ τὸν [2]) ἐνταῦθά φησιν, ἀλλὰ τὸν ἐκεῖ, τουτέστι τὴν κόλασιν· ὥσπερ καὶ ζωὴν, τὴν ἀπόλαυσιν τὴν ἐκεῖ. μεταβὰς γὰρ ἀπὸ τῆς ἀπιστίας εἰς τὴν πίστιν, μεταβέβηκε λοιπὸν καὶ ἀπὸ τῆς κολάσεως τῶν ἀπίστων ἐπὶ τὴν ἀπόλαυσιν τῶν πιστῶν.

Verf. 25. Ἀμὴν — ζήσονται. Εἰπὼν ἀνωτέρω, ὅτι ὥσπερ [v]) ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς, οὓς θέλει, ζωοποιεῖ ἵνα μὴ δόξῃ κομπάζειν, [3])] ἐπαγγέλλεται νῦν v) Io. 4. 21.

 οὐκ

[1]) Hoc toto fcholio caret Hentenius. Eius loco autem fubiiciuntur haec: *Non condemnabitur in iudicio, nec punietur. Non negat autem, quin morituri fint credentes, fed de morte loquitur perpetua; fimiliter et de vita aeterna.*

[2]) Etiam hoc fcholio caret Hentenius.

[3]) Hic rurfus incipit conuenire Hentenius. Scriba ergo eius faltum fecerat ab κομπάζειν ad κομπάζειν, deinde vero, errore animaduerfo, alia interpofuit.

non longo post tempore viuificaturus sit mortuos, sermonemque opere comprobaturus. Ad Samaritanam quoque dicens similiter, Venit tempus, siue hora, pari modo addidit, Et nunc est, significans futurae rei propinquitatem.

Mortui autem audituri sunt vocem eius: quomodo? Simulac ipse voluerit, conuersa cuiusque anima ad proprium corpus, mortui qui audierint; vitam rursus in mundo viuent. Hic ergo, vbi dixit excelsa, seipsum Dei filium vocando, rursum sermonem obscurat, attexens humilia.

Vers. 26. *Sicut* — *semetipso.* Verbum dedit, humile est et dispensatorium. Habet autem vitam in semetipso, hoc est, ad modum fontis scaturire facit vitam.

Vers. 27. *Et* — *faciendi.* Iudicium eorum, quae ab vnoquoque in vita peracta sunt. Frequenter autem repetit Iudicium, magis eos exterrens, vt paulatim iudicem hunc esse credentes, ad eum accurrant, mansuetum sibi iudicem inde parantes.

Vers. 27. *Quia* — v. 28. *hoc.* Quia homo est, qui iudicium sumsit hominum, et praedicta de se ipso docuit, quae magna et non tantum supra hominem sunt, sed supra angelos quoque, et ad solum Deum pertinent, nolite mirari: praedictum est enim, quod etiam filius Dei sit: Non ergo offendi oportet: nam quae odiosa appa-

4) Pro, *Et diximus ibi caussam*, alia habet interpres.

5) Euthymius ergo sequitur distinctionem Chrysostomi, qui contra Paulum Samosatenum disputat. Vide Chrysost. T. VIII. p. 230. A. Huc spectat etiam scholium, quod ex Codice Vindobonensi edidit

οὐκ εἰς μακρὰν ζωοποιῆσαι νεκρούς, καὶ τὸν λόγον ἔργῳ πιςώσασθαι. καὶ ἐπὶ τῆς σαμαρείτιδος δὲ ὁμοίως εἰρηκὼς, ὅτι x) ἔρχεται ὥρα, προσέθηκεν, ὅτι καὶ νῦν ἐςι. καὶ [4]) εἰρήκαμεν ἐκεῖ τὴν αἰτίαν. x) Io. 4. 23.

Οἱ νεκροὶ δὲ ἀκούσονται τῆς φωνῆς αὐτοῦ, πῶς; ἅμα τῷ θελῆσαι αὐτὸν, τῆς ἑκάςου ψυχῆς ἐπιςραφείσης εἰς τὸ ἴδιον σῶμα· καὶ οἱ ἀκούσαντες νεκροὶ, ζήσονται πάλιν τὴν ἐν τῷ κόσμῳ ζωήν. ὑψηλὰ οὖν εἰρηκὼς ἐνταῦθα, τῷ καλέσαι ἑαυτὸν υἱὸν τοῦ θεοῦ, πάλιν ἐπισκιάζει τὸν λόγον, προσπλέκων ταπεινά.

Verſ. 26. Ὥσπερ — ἑαυτῷ. Τὸ ἔδωκε, ταπεινὸν καὶ οἰκονομικόν· ἔχει δὲ ζωὴν ἐν ἑαυτῷ, ἀντὶ τοῦ πηγάζει.

Verſ. 27. Καὶ — ποιεῖν. Κρίσιν, τὴν τῶν βεβιωμένων ἑκάςῳ. συνεχῶς δὲ ςρέφει τὴν κρίσιν, ἐπὶ πλέον ἐκφοβῶν αὐτοὺς, ἵνα κατὰ μικρὸν πειθόμενοι, τοῦτον εἶναι κριτὴν, προσδράμωσιν αὐτῷ, κατασκευάζοντες ἐντεῦθεν ἥμερον ἑαυτοῖς τὸν δικαςήν.

Verſ. 27. Ὅτι — v. 28. τοῦτο. Διότι [5]) δὲ ἄνθρωπός ἐςιν, ὁ τὴν κρίσιν τῶν ἀνθρώπων λαβὼν, καὶ τὰ προῤῥηθέντα διδάξας περὶ ἑαυτοῦ, τὰ μεγάλα, καὶ μὴ μόνον ὑπὲρ ἄνθρωπον, ἀλλὰ καὶ ὑπὲρ ἄγγελον, καὶ μόνου ὄντα θεοῦ, μὴ θαυμάζετε τοῦτο. προείρηται γὰρ, ὅτι καὶ υἱὸς θεοῦ ἐςι, καὶ λοιπὸν οὐ χρὴ σκανδαλίζεσθαι.

 ἀ γὰρ

edidit ad h. l. Birchius. Confer etiam Theophylact. p. 632. A. Cyrilli explicatio T. IV, p. 235. 236. ambigua eſt. Credo, illum data opera ſummum feciſſe. Origenis, cuius ad hunc locum interpretatio intercidit, tamen T. IV. p. 359. et 360. ὅτι υἱὸς ἀνθρώπου ἐςιν ad ſuperiora refert, quae vulgaris eſt diſtinctio.

apparent propter humanae naturae humilitatem, ea appareant tolerabilia propter diuinae naturae celsitudinem. Deinde aliam quoque de seipso proponit tremendam et arcanam potestatem.

Vers. 28. *Quia* — v. 29. *condemnationis.* Tempus dicit consummationis seculi et vniuersalis iudicii: eos autem, qui sunt in monumentis, dicit mortuos, quos simul omnes repente ac virtute arcana coaptabit, animabit, ac excitabit voce sua, sine iussu, quo tunc per archangelum clamabit, In iussu, inquit, in voce archangeli, et in tuba Dei.

Atqui non omnes sunt in monumentis, sed ab his, qui sunt in monumentis, etiam eos significauit, qui non sunt in monumentis, ab his videlicet, qui naturaliter sepulti sunt, eos etiam, qui naturaliter sepulti non sunt. Ex monumentis autem prodibunt, hi quidem in resurrectionem vitae aeternae, illi vero in resurrectionem condemnationis: isti ad fruitionem sempiternam, illi ad supplicium perpetuum. Alibi autem dixit, Et abibunt hi in supplicium aeternum, iusti vero in vitam aeternam.

Vers. 30. *Non possum* — *iudico.* Quemadmodum superius de operando dicebat, Non potest filius a se facere quicquam, nisi quid viderit patrem facientem: ita et nunc de iudicando ait, Non possum ego a meipso facere quicquam, sicut audio iudico: hoc est, non iudico a meipso, sed sicut audio a patre, vel sicut pater: quod etiam aequalitatem ad patrem ac indifferentiam innuit. Sicut enim in superioribus Videre, ita et hic Audire, intelligendum est dispensatorie, et

*) Inclusa exciderunt. A.

ἃ γὰρ φορτικὰ φαίνεται, διὰ τὸ ταπεινὸν τῆς ἀνθρωπείας φύσεως, ταῦτα φορητὰ φαινέσθω, διὰ τὸ ὕψος τῆς θείας. εἶτα προστίθησι περὶ ἑαυτοῦ καὶ ἑτέραν φοβερὰν, καὶ ἄῤῥητον δύναμιν.

Verſ. 28. Ὅτι — v. 29. κρίσεως. Ὥραν μὲν λέγει, τὸν καιρὸν τῆς συντελείας τοῦ κόσμου, τὸν τῆς παγκοσμίου κρίσεως. ἐν τοῖς μνημείοις δέ, φησι, τοὺς νεκροὺς, οὓς ὁμοῦ πάντας ἀθρόον καὶ ἀῤῥήτῳ δυνάμει συμπήξει, καὶ ψυχώσει, καὶ ἐξαναστήσει ἡ φωνὴ αὐτοῦ, ἤτοι, τὸ κέλευσμα τὸ διὰ τοῦ ἀρχαγγέλου τηνικαῦτα φωνούμενον. ἐν κελεύσματι, [y]) γάρ φησιν, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ. y) 1 Theſ. 4, 16.

Καὶ μὴν οὐ πάντες ἐν τοῖς μνημείοις εἰσὶν, ἀλλ' ἀπὸ τῶν ἐν τοῖς μνημείοις [ἐδήλωσε [a]) καὶ τοὺς οὐκ ἐν τοῖς μνημείοις,] ἀπὸ τῶν κατὰ φύσιν ταφέντων, καὶ τοὺς μὴ κατὰ φύσιν ταφέντας. ἐκ τῶν μνημείων δὲ πορεύσονται, οἱ μὲν, εἰς ἀνάστασιν ζωῆς αἰωνίου· οἱ δὲ, εἰς ἀνάστασιν κατακρίσεως· οἱ μὲν, εἰς τὸ ἀπολαύειν ἀεί· [οἱ δὲ, [7]) εἰς τὸ κολάζεσθαι ἀεί.] ἀλλαχοῦ δὲ ἔλεγε· καὶ [z]) ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον. z) Matt. 25, 46.

Verſ. 30. Οὐ δύναμαι — κρίνω. Ὥσπερ ἀνωτέρω περὶ τοῦ ἐργάζεσθαι ἔλεγεν· οὐ [a]) δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· οὕτω καὶ νῦν περὶ τοῦ κρίνειν φησίν· οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω, κρίνω, τουτέστιν, οὐ κρίνω ἀπ' ἐμαυτοῦ, ἀλλὰ καθὼς ἀκούω παρὰ τοῦ πατρὸς· ἤγουν, ὡς ὁ πατὴρ, ὅπερ ὑποδηλοῖ τὸ πρὸς τὸν πατέρα ἴσον καὶ ἀπαράλλακτον. ὥσπερ γὰρ ἄνω τὸ βλέπειν· οὕτω κἀνταῦθα τὸ ἀκούειν νοητέ- a) Io. 5, 19.

7) Incluſa exciderunt. A.

et vt Deo conueniat. Siquidem neque videre ei opus eſt, neque audire, quum Deus nulla re indigeat.

Verſ. 30. *Et — patris.* Iuſte, inquit, iudico, quia non iudico ſecundum voluntatem meam, neque ego propriam habeo voluntatem, ſed ſecundum patris voluntatem: nam illa etiam mea eſt: vna ſiquidem et eadem eſt patris et filii voluntas: ſi ergo pater iuſtus eſt iudex, et filius vtique iuſtus eſt iudex.

Oportet itaque in huiusmodi verbis, quae demiſſionem ac diſpenſationem ſignificant, non ad ipſa tantum reſpicere, ſed etiam ad cauſam ipſorum: in his enim cauſa eſt imbecillitas mentis audientium, et ne Deo contrarius videretur, ſicut variis in locis diximus.

Verſ. 31. *Si — verum.* Oportet eos, qui ſacras legunt ſcripturas, intentionem loquentis habitumque audientis exquirere, tempora quoque ac loca aduertere, inſuper idiomata obſeruare: nec ſimpliciter et vno modo cuncta aggredi, ſi legitimos ſenſus velint deprehendere, et non in nudis manere verbis, ac falli circa electiones. Siquidem propoſitus ſtatim campus theſaurum habet copioſum: habet autem hunc multa obrutum obſcuritate. Quis enim repente turbari non poſſet audiens Chriſtum dicentem, ſi ego teſtimonium perhibeo de me ipſo, teſtimonium meum non eſt verum. Siquidem ipſe dixit, Ego ſum veritas: quod ſi veritas verum non loquitur, quisnam erit qui vera loquatur? Si quae de ſeipſo teſtificatus eſt, vera non ſunt, nobis omnino perit praedicationis

8) Hic addit A. τὸ ἐμόν. οὐδὲ γὰρ ἔχω θέλημα. Bis ergo idem ſcripſit.

σι· οἰκονομικῶς μὲν, θεοπρεπῶς δέ. ἐ γὰρ δεῖται τῦ ἀκέειν. ἀνενδεὴς γὰρ ὁ θεός.

Verſ. 30. Καὶ — πατρός. Κρίνω δίκαιά, φησι, διότι ἐ κρίνω κατὰ τὸ θέλημα τὸ ἐμόν. οὐδὲ γὰρ ἔχω θέλημα[8] ἴδιον, ἀλλὰ κατὰ τὸ τῦ πατρός. τῦτο γὰρ καὶ ἐμόν. ἓν γὰρ καὶ τὸ αὐτὸ θέλημα πατρὸς καὶ υἱῦ. καὶ λοιπὸν, εἰ ὁ πατὴρ κριτὴς δίκαιος, καὶ ὁ υἱὸς ἄρα κριτὴς δίκαιος.

Χρὴ τοίνυν ἐπὶ τῶν τοιύτων συγκαταβατικῶν τε καὶ οἰκονομικῶν ῥημάτων, μὴ πρὸς αὐτὰ βλέπειν μόνον, ἀλλὰ καὶ πρὸς τὴν αἰτίαν, δι' ἣν ἐῤῥήθησαν. αἰτία γὰρ ἐπὶ τύτων, ἡ ἀσθένεια τῆς διανοίας τῶν ἀκουόντων, καὶ τὸ μὴ δοκεῖν αὐτὸν ἀντίθεον, ὡς διαφόρως εἰρήκαμεν.

Verſ. 31. Ἐὰν — ἀληθής. Χρὴ τοὺς τὰς ἱερὰς γραφὰς ἀναγινώσκοντας, τόν τε σκοπὸν τῦ λέγοντος, καὶ τὴν ἕξιν τῦ ἀκούοντος ἐξετάζειν, καὶ καιροῖς καὶ τόποις ἐστιν, ὅτε προσέχειν, καὶ τὰ ἰδιώματα παρατηρεῖν, καὶ μὴ ἁπλῶς καὶ καθ' ἕνα τρόπον ἐπιέναι πάντα, εἰ βύλοιντο τὰ γνήσια νοήματα καταλαμβάνειν, καὶ μὴ ψιλοῖς τοῖς ῥήμασιν ἐναπομένειν, καὶ πλανᾶσθαι κατὰ τοὺς αἱρετικούς. αὐτίκα γὰρ τὸ προκείμενον χωρίον ἔχει μὲν πολὺν θησαυρὸν, ἔχει δὲ τῦτον πολλῇ κατακεχωσμένον ἀσαφείᾳ. τίς γὰρ οὐκ ἂν εὐθέως θορυβηθείη, ἀκέων τῦ χριστῦ λέγοντος· ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. καὶ γὰρ αὐτὸς ἔλεγεν· ἐγὼ[b]) εἰμι ἡ ἀλήθεια. καὶ ἐὰν ἡ ἀλήθεια b) Io. 14, 6.
οὐκ ἀληθεύῃ,[9]) τίς ἀληθεύσει; ἐὰν, ἃ περὶ ἑαυτῦ μεμαρτύρηκεν, ἐκ εἰσιν ἀληθῆ, πάντως οἴχεται ἡμῖν τὸ κεφάλαιον τῦ κηρύγματος. ἵνα

9) ἀληθεύει. A.

ctionis summa. Nam, vt caetera finamus, quae sunt innumera et fidem contingentia: vbinam ponemus ea, quae paulo ante de seipso testificatus est, quod filius sit Dei, quod aequalis illi natura, potentia et voluntate: quod creator, quod viuificator, quod iudex aliaque similia?

Quid ergo dicendum est? Quod quia talia de seipso testificatus fuerat, cognouit Iudaeos habere in animo opponere se ei ac dicere, si tu testimonium perhibes de teipso, testimonium tuum non est verum. Nemo siquidem, qui de seipso fert testimonium, fide dignus est apud homines, propter suspicionem de nimio sui ipsius amore, ideo praeuenit ac dixit, quod illi dicturi erant, dicens, Si ego testimonium perhibeo de me ipso, testimonium meum non est verum, vt vobis apparet. Itaque testes adducit, etiam in hoc se demittens ad imbecillitatem illorum, et ex abundanti cautione silentium illis imponens.

Quod ergo ait, Testimonium meum non est verum, non quasi affirmando dixit, sed quod illi hoc dicere pararent. Quod autem haec ita se habeant, inde manifestum est. Quum enim in sequentibus loquutus fuisset dicens, Ego sum lux mundi: dicentibus pharisaeis, Tu de teipso testimonium perhibes, testimonium tuum non est verum, contradixit dicens, Etsi ego testimonium perhibeo de meipso, testimonium meum verum est. Manifestum ergo est, quod illud, oppositionis illorum erat, hoc autem intellectus eius. Siquidem illi putabant, eum non esse fide dignum, qui de se ipso ferret testimonium, vtpote hominem: ipse vero ediuerso sese fide dignum dixit, tanquam Deum. Primum itaque dissoluit excogitatam ipsorum oppositionem, dicens id, quod ipsi dicere parabant, et ostendens, quod cogitationes

παρεάσωμεν τἄλλα, μακρὰ ὄντα, καὶ συντετικὰ τῆς πίστεως, ποῦ θήρομεν, ἃ πρὸ βραχέος ἐμαρτύρησε περὶ ἑαυτοῦ· ὅτι υἱός ἐστι τοῦ Θεοῦ, ὅτι ἴσος αὐτῷ κατὰ φύσιν καὶ δύναμιν καὶ θέλησιν· ὅτι δημιουργὸς, ὅτι ζωοποιὸς, ὅτι κριτὴς καὶ ὅσα τοιαῦτα.

Τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐπειδὴ τοιαῦτα περὶ ἑαυτοῦ μαρτυρήσας, ἔγνω τοὺς Ἰουδαίους ἐνθυμουμένους ἀντιθεῖναι καὶ εἰπεῖν· ὅτι[1]) ἐὰν σὺ μαρτυρεῖς περὶ[2]) σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. οὐδεὶς γὰρ, ἑαυτῷ μαρτυρῶν, ἀξιόπιστος ἐν ἀνθρώποις, δι' ὑποψίαν φιλαυτίας· προέλαβε, καὶ εἶπεν, ὃ ἔμελλον εἰπεῖν ἐκεῖνοι, λέγων· ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς, ὡς ὑμῖν δοκεῖ· καὶ λοιπὸν παράγει μάρτυρας, συγκαταβαίνων κἀνταῦθα τῇ ἀσθενείᾳ αὐτῶν, καὶ ἐκ περιουσίας ἐπιστομίζων αὐτούς.

Ὥστε τὸ ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς, οὐχ ὡς ἀποφαινόμενος εἶπεν, ἀλλ' ὡς ἐκείνων τοῦτο εἰπεῖν ἐνθυμουμένων. ὅτι δὲ ἀληθῆ ταῦτα, δῆλον ἐντεῦθεν. ἐπεὶ γὰρ προϊὼν ἐλάλησε λέγων·
ἐγώ εἰμι[c]) τὸ φῶς τοῦ κόσμου καὶ τὰ ἑξῆς· εἰπόν- c) Io. 8, 12.
των τῶν Φαρισαίων, σὺ[d]) περὶ σεαυτοῦ μαρτυρεῖς· d) Io. 8, 13.
ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· ἀντεῖπε, κἂν[e]) e) Io. 8, 14.
ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου. πρόδηλον οὖν, ὅτι ἐκεῖνο μὲν τῆς ἐκείνων ἀντιθέσεως ἦν· τοῦτο δὲ, τῆς τούτου γνώμης. ἐκεῖνοι μὲν γὰρ ᾤοντο, μὴ ἀξιόπιστον αὐτὸν εἶναι περὶ ἑαυτοῦ μαρτυροῦντα, ὡς ἄνθρωπον· οὗτος δὲ τοὐναντίον ἔλεγεν ἀξιόπιστον ἑαυτὸν, ὡς Θεόν. πρῶτον μὲν οὖν κατέλυσε τὴν μελετωμένην ἀντίθεσιν αὐτῶν, εἰπὼν, ὅπερ εἰπεῖν ἐνεθυμοῦντο, καὶ δείξας, ὅτι γινώσκει τὰς διανοίας αὐτῶν·

εἶτα

1) Et id ſane infra 8, 13. ei opponunt.
2) περὶ ἑαυτοῦ. A.

tiones eorum cognosceret. Deinde etiam testes adducit manifestos, et quibus contradici nequeat: Iohannem, opera propria, ac patrem. Primum autem ponit debilius testimonium puta Iohannis.

Vers. 32. *Alius — me.* Scio hunc, inquit, quod apud omnes sit fide dignus, nempe propheta Dei, et a Deo accipiens, quae loquitur. Deinde, ne quis opponat dicens, Quid si ad gratiam testimonium perhibuit? hanc etiam tollit obiectionem dicens:

Vers. 33. *Vos — veritati.* In primordiis euangelii sui post sermonem de Deo habitum, dixit euangelista, Miserunt Iudaei ab Ierosolymis sacerdotes et leuitas, vt interrogarent eum, Tu quis es? et caetera. Tunc ergo multa et magna testificatus est de Christo. Ideo nunc dicit, Vos misistis ad Iohannem, interrogantes eum: non autem misissetis, nisi eum fide dignum cognouissetis: testimonium ergo eius refellere non potestis.

Vers. 34. *Ego — accipio.* Hoc est, humano testimonio non indigeo, quum sim Deus. Et quomodo in testimonium adduxit Iohannem, qui homo erat? Primum quidem, quia testimonium eius non erat ipsius, sed Dei. Ait enim, Qui misit me ad baptizandum in aqua, ipse mihi dixit. Deinde et aliam ponit causam. Vide enim.

Vers. 34. *Sed — salui sitis.* Non quod humano, inquit, egeam testimonio, sed de Iohannis testimonio dispensatorie loquor: vt ei credentes, qui et est, et vobis apparet fide dignus, salui sitis.

Vers. 35.

εἶτα καὶ μάρτυρας παράγει σαφεῖς καὶ ἀναντιῤῥήτους τρεῖς, τὸν Ἰωάννην, τὰ οἰκεῖα ἔργα, καὶ τὸν πατέρα. πρώτην δὲ τίθησι τὴν ἐλάττω μαρτυρίαν, τὴν Ἰωάννου.

Vers. 32. Ἄλλος — ἐμῦ. Οἶδα τῦτό, φησιν, διότι παρὰ πάντων ἔχει τὸ ἀξιόπιστον, ὡς προφήτης θεῦ, καὶ ὑπὸ θεῦ ἐμπνεόμενος, ἃ φθέγγεται. εἶτα, ἵνα μὴ ἀντιθήσει τις· τί οὖν, εἰ πρὸς χάριν μεμαρτύρηκε; προαναιρεῖ καὶ ταύτην τὴν ἀντίθεσιν, λέγων·

Vers. 33. Ὑμεῖς — ἀληθεία. Ἐν προοιμίοις, μετὰ τὴν θεολογίαν, φησὶν ὁ εὐαγγελιστής· ὅτε[3]) ἀπέστειλαν[f]) οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων f) Io. 1, 19.
ἱερεῖς καὶ λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν, σὺ τίς εἶ; καὶ τὰ ἑξῆς· τότε οὖν ἐμαρτύρησε περὶ τοῦ χριστῦ πολλὰ καὶ μεγάλα. διὰ τῦτο λέγει νῦν, ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην ἐρωτῶντες· οὐκ ἂν δὲ ἀπεστείλατε, εἰ μὴ ἀξιόπιστον αὐτὸν ἐγινώσκετε. λοιπὸν οὖν ὖ δύνασθε παραγράψασθαι τὴν μαρτυρίαν αὐτῦ.

Vers. 34. Ἐγὼ — λαμβάνω. Τουτέστιν, οὐκ ἀνθρωπίνης μαρτυρίας δέομαι, θεὸς ὤν. καὶ πῶς τὸν Ἰωάννην μάρτυρα παράγεις, ἄνθρωπον ὄντα; πρῶτα μέν, διότι ἡ μαρτυρία αὐτῦ, οὐκ ἦν αὐτοῦ, ἀλλὰ τῦ θεῦ. εἶπε γάρ, ὅτι ὁ[g]) πέμ- g) Io. 1, 33.
ψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν. ἔπειτα δὲ τίθησι καὶ ἄλλην αἰτίαν. ὅρα γάρ.

Vers. 34. Ἀλλὰ — σωθῆτε. Οὐκ ἀνθρωπίνης μαρτυρίας δέομαί, φησιν, ἀλλὰ τὰ περὶ τῆς μαρτυρίας τῦ Ἰωάννου λέγω οἰκονομικῶς, ἵνα τῷ καὶ ὄντι, καὶ δοκῦντι ὑμῖν ἀξιοπίστῳ πειθόμενοι, σωθῆτε.

Vers. 35.

[3]) ὅτι. B.

Vers. 35. *Ille — lucens*, Lucerna accensa a diuino spiritu, et lucens his, qui in tenebris erant peccati. Lucernam autem eum vocauit, tanquam obscuratum excellenti lumine solis iustitiae. Ipse siquidem de Christo dicebat, Illum oportet crescere, me autem minui.

Aliam quoque ob causam appellauit eum lucernam; quia videlicet non ex se doctrinae lucem habebat, sed ex gratia sancti spiritus. De hoc autem, vt opinor, praedixit per os Dauid, Paraui lucernam Christo meo.

Vers. 35. *Vos — eius.* Obiurgat hos, quod non vsque ad finem studiose illum obseruauerint: voluistis, inquit, quodam tempore exultare in luce doctrinae illius, quando omnes vndique ad eum concurrebatis et postmodum refrixistis, quanquam hactenus illum admiramini: nisi enim refrixissetis, testimonio vtique illius credidissetis. Digni igitur estis, qui redarguamini, quod licet hunc fide dignum confiteamini, eius tamen testimonio non credideritis.

Vers. 36. *Ego — miserit.* Siquidem Iohannis testimonium poterat quispiam calumniari, tanquam ad gratiam factum: quanquam hoc vere dici non poterat aduersus virum, qui omni cum diligentia suo fungebatur munere, et apud omnes vehementi in admiratione habebatur: Verum opera omni suspicione libera, cunctorum ora contentiosa obturabant, puta paralytici confirmatio, caeteraque miracula: quum apud eos essent, qui curati erant, et plenam eis fidem faciebant. Opera, inquit, quae ego facio, testificantur de me, quod pater miserit me.

Non

Verſ. 35. Ἐκεῖνος — φαίνων. Ὁ λύχνος, ὁ ἀνακαιόμενος τῷ πυρὶ τοῦ θείου πνεύματος, καὶ φαίνων τοῖς ἐν τῷ σκότει τῆς ἁμαρτίας. λύχνον δὲ αὐτὸν ἐκάλεσεν, ὡς ἀμαυρωθέντα τῷ ὑπερβάλλοντι φωτὶ τοῦ ἡλίου τῆς δικαιοσύνης. ἔφη γὰρ αὐτὸς περὶ τοῦ χριστοῦ ὅτι ἐκεῖνον h) δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. h) Io. 3, 30.

Καὶ ἑτέρως δὲ λύχνον αὐτὸν ὠνόμασεν, ὡς μὴ οἴκοθεν ἔχοντα τὸ φῶς τῆς διδασκαλίας, ἀλλ᾽ ἐκ τῆς χάριτος τοῦ ἁγίου πνεύματος. οἶμαι δὲ, περὶ τούτου προεῖπε διὰ τοῦ δαυὶδ ὁ θεός· ἡτοίμασα i) λύχνον τῷ χριστῷ μου. i) Pſ. 131, 17.

Verſ. 35. Ὑμεῖς — αὐτοῦ. Καθάπτεται τούτων, ὡς μὴ μέχρι τέλους τηρησάντων αὐτῷ τὴν σπουδήν. ἠθελήσατε γὰρ, φησιν, ἀγαλλιαθῆναι πρὸς καιρόν τινα ἐν τῷ φωτὶ τῆς διδασκαλίας αὐτοῦ, ὅτε πανταχόθεν πάντες πρὸς αὐτὸν συνετρέχετε· εἶτα ἐψυχράνθητε, εἰ καὶ μέχρι νῦν θαυμάζετε τοῦτον. εἰ γὰρ μὴ ἐψυχράνθητε, πάντως ἂν ἐπιστεύσατε τῇ μαρτυρίᾳ αὐτοῦ· ἐλέγχεσθε οὖν, τὸν αὐτὸν καὶ ἀξιόπιστον ὁμολογοῦντες, καὶ μὴ πιστεύοντες τῇ μαρτυρίᾳ αὐτοῦ.

Verſ. 36. Ἐγὼ — ἀπέσταλκε. Τὴν μὲν γὰρ τοῦ ἰωάννου μαρτυρίαν ἠδύνατό τις διαβαλεῖν, ὡς πρὸς χάριν γεγενημένην, καίτοι οὐδὲ τοῦτο ἐξὸν εἰπεῖν κατ᾽ ἀνδρὸς μετὰ πάσης ἀκριβείας φιλοσοφοῦντος, καὶ σφόδρα θαυμασθέντος αὐτοῖς· τὰ δὲ ἔργα, πάσης ὑποψίας ἀπηλλαγμένα, πᾶν ἐμφράττει στόμα φιλόνεικον, ἤγουν 4) ἡ τοῦ παραλύτου σύσφιγξις, καὶ τὰ λοιπὰ θαύματα· παρ᾽ αὐτοῖς ὄντων δὴ τῶν θεραπευθέντων, καὶ πληροφορούντων αὐτούς. αὐτὰ, φησι, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκεν.

Οὐκ

4) Malim οἷον, pro ἤγουν.

Non dixit autem, Teſtificantur, quod aequalis ſim patri, ſed, quod pater miſerit me. Atqui et hoc, et illud teſtificabantur. Verum etſi maius erat, vt crederetur aequalis eſſe patri: minus tamen poſuit, nempe id, quod tunc maxime intendebatur. Volebat namque primo credi, quod ſe Deus miſiſſet: hoc enim credito, reliquum facilius erat ad credendum.

Sed quomodo opera teſtificabantur, quod Deus eum miſiſſet? Teſtificabantur id, tanquam opera ſolius diuinae virtutis. Siquidem, qui Deo contrarius eſſet, huiusmodi facere non poterat: nam licet miraculis contradicere impudenter attentabant, ſicut vigeſimo ſecundo iuxta Matthaeum capite ſcriptum eſt, dicentes, Hic non eiicit daemonia, niſi per Beelzebul principem daemoniorum: ſed ibi citius os illis obſtruitur, et vane nugari conuincuntur.

Verſ. 37. *Et — me.* Vbi de ipſo teſtimonium perhibuit? In ſequentibus ſignificabit, quod in ſcripturis: quanquam etiam, dum baptizaretur, teſtimonium de eo perhibuit, dicens, Hic eſt filius meus dilectus, in quo mihi complacitum eſt. Et rurſus, quum transformaretur. Sed quum baptizaretur, licet audierunt, dubitabant: quum autem transformaretur, ne audierunt quidem ipſi. Idcirco praetermiſſis huiusmodi teſtimoniis, ad ſcripturas eos transmittit, quas ſemper in manibus habebant, nec fas erat illis contradicere: ſed hoc in progreſſu facit: nunc autem, ne expetant Dei teſtimonium a propria voce, et a propria perſona dicentes, Neque vocem eius audiuimus vnquam, neque ſpeciem eius vidimus: confitetur, quod illi dicturi erant, confitendo vero

5) ἐι, abeſt A. mox idem habet πιστευθέν.

Οὐκ εἶπε δὲ μαρτυρεῖ, ὅτι ἴσος εἰμι τῷ πατρὶ, ἀλλ' ὅτι ὁ πατήρ με ἀπέσαλκε· καίτοι καὶ τοῦτο κἀκεῖνο ἐμαρτύρουν, ὅμως, εἰ[5]) καὶ μεῖζον ἦν τὸ πιςευθῆναι, ὅτι ἴσος ἐςι τῷ πατρὶ, ἀλλά γε τὸ ἧττον τέθεικεν, ὡς μάλιςα τηνικαῦτα σπεδαζόμενον. ἐβέλετο γὰρ πρῶτον πιςευθῆναι, ὅτι ὁ θεὸς ἀπέςειλεν αὐτόν. τέτε γὰρ πιςευθέντος καὶ τὸ ἄλλο ῥᾴδιον ἦν.

Ἀλλὰ πῶς τὰ ἔργα ἐμαρτύρουν, ὅτι ὁ θεὸς αὐτὸν ἀπέςαλκεν; ὡς μόνης ἔργα θείας δυνάμεως. τοιαῦτα γὰρ ἀντίθεος ποιεῖν οὐκ ἠδύνατο. εἰ γὰρ καὶ τοῖς θαύμασιν ἀντειπεῖν ἀναισχύντως ἐτόλμησαν, ὡς ἐν τῷ εἰκοςῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον ἱςόρηται, λέγοντες· οὗτος k) k) Matt. 12,24.
οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ βεελζεβὲλ, ἄρχοντι τῶν δαιμονίων· ἀλλ' οὖν ταχέως ἐπεςομίσθησαν ἐκεῖ, καὶ μάτην φλυαρἕντες ἠλέγχθησαν.

Verſ. 37. Καὶ — ἐμοῦ. Ποῦ μεμαρτύρηκε περὶ αὐτοῦ, δηλώσει προϊὼν, ὅτι ἐν ταῖς γραφαῖς. καὶ μὴν καὶ βαπτιζομένου μεμαρτύρηκε περὶ αὐτοῦ, λέγων· οὗτός l) ἐςιν ὁ υἱός μου ὁ l) Matth. 3, 17.
ἀγαπητὸς, ἐν ᾧ[6] εὐδόκησα· καὶ αὖθις μεταμορφεμένου. ἀλλὰ βαπτιζομένου μὲν, εἰ καὶ ἤκουσαν, ἀμφέβαλλον· μεταμορφεμένου δὲ, ἐδὲ ἤκουσαν αὐτοί. διὰ τοῦτο τὰς τοιαύτας μαρτυρίας παραδραμὼν, πρὸς τὰς γραφὰς αὐτοὺς παραπέμπει, τὰς ἐν χερσὶν οὔσας ἀεὶ, καὶ ἀναντιῤῥήτους. ἀλλὰ τοῦτο μὲν ποιεῖ προϊών. νῦν δὲ, ἵνα μὴ ἀπαιτήσωσιν αὐτὸν αὐτόφωνον καὶ αὐτοπρόσωπον μαρτυρίαν τἕ θεἕ, λέγοντες· ὅτι ἔτε φωνὴν αὐτἕ ἀκηκόαμεν πώποτε, ἔτε εἶδος αὐτοῦ ἑωράκαμεν· συνομολογεῖ μὲν, ὃ ἔμελλον λέγειν· διὰ

6) ηὐδόκησα. A.

vero, ad rectam eos doctrinam reducit: dans intelligendum, quod neque vox sit apud Deum, neque species: siquidem haec corporum sunt, Deus autem incorporeae est naturae, aut potius supra corpus et supra naturam.

Vers. 37. *Neque — vidistis.* Atqui multi vocem eius frequenter audiuerunt, et speciem eius viderunt, sicut in scripturis de diuersis scriptum est variis in locis. Sed vox illa et species fuit, non secundum Dei naturam, sed in hominis similitudine.

Vers. 38. *Et — vobis.* Et quid, inquit, dico de voce, quae propria ipsius vox esset, aut specie propriae ipsius personae, quum neque sermonem eius habeatis manentem in vobis, quem per legem ac prophetas loquutus est, et putatis, hunc vos habere manentem in vobis, et de ipso gloriamini. Deinde confirmat, quod dixit, hoc modo illud ostendens.

Vers. 38. *Quem enim — creditis.* Nam quum sermo, qui per legem datus est, ac prophetas clamet, quod pater filium suum miserit ad salutem vestram, et quod vos illi credere oporteat, vos autem huic, quem ille misit non creditis, omnino non auscultatis praedicto eius sermoni: quum autem illi non auscultetis, non habetis eum, siue donum ipsius: auolauit enim a vobis. Verum, ne dicant, Si ergo vocem eius non audiuimus, quomodo ille testificatus est de te, ait:

Vers. 39. *Scrutamini scripturas.* Legales ac propheticas, inde enim est testimonium a patre. Vide autem, quod non dixerit, Legite, sed Scrutamini: illi siquidem legebant, at non scrutabantur,

διὰ δὲ τῦ συνημολογεῖν, εἰς Φιλόσοφον αὐτοὺς ἀνάγει δόγμα, διδοὺς νοεῖν, ὅτι οὔτε Φωνὴ περὶ Θεὸν, οὔτε εἶδος. ταῦτα μὲν γὰρ σωμάτων εἰσίν· ὁ δὲ Θεὸς ἀσώματος Φύσις, μᾶλλον δὲ, ὑπερασώματος καὶ ὑπερφυής.

Verſ. 37. Οὔτε — ἑωράκατε. Καὶ μὴν πολλοὶ πολλάκις καὶ Φωνὴν αὐτοῦ ἤκουσαν, καὶ εἶδος αὐτοῦ ἑωράκασιν, ὡς ἐν ταῖς γραφαῖς περὶ διαφόρων διαφόρως ἱστόρηται. ἀλλὰ Φωνὴν καὶ εἶδος, οὐ κατὰ Φύσιν Θεοῦ, καθ' ὁμοίωσιν δὲ ἀνθρώπου.

Verſ. 38. Καὶ — ὑμῖν. Καὶ τί λέγω, Φησὶ, περὶ Φωνῆς αὐτοφώνου καὶ εἴδους αὐτοπροσώπου; ἀλλ' οὐδὲ τὸν λόγον αὐτοῦ ἔχετε μένοντα ἐν ὑμῖν, τὸν διὰ νόμου καὶ προφητῶν λαληθέντα, εἰ καὶ οἴεσθε, τοῦτον ἔχειν μένοντα ἐν ὑμῖν, καὶ ἐπὶ τούτῳ σεμνύνεσθε. εἶτα κατασκευάζει, ὃ εἴρηκεν, ἀποδεικνύων αὐτό.

Verſ. 38. Ὅτι ὃν — πιστεύετε. Ἐπεὶ γὰρ ὁ μὲν διὰ νόμου καὶ προφητῶν δοθεὶς [7]) λόγος βοᾷ, ὅτι ὁ πατὴρ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἐπὶ σωτηρίᾳ ὑμῶν, καὶ ὅτι χρὴ ὑμᾶς τούτῳ πιστεύειν· ὑμεῖς δὲ, ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ οὐ πιστεύετε· πάντως οὐ προσέχετε τῷ δηλωθέντι λόγῳ αὐτοῦ. μὴ προσέχοντες δὲ αὐτῷ, οὐκ ἔχετε αὐτὸν, ἤγουν, τὴν χάριν αὐτοῦ. ἀπέπτη γὰρ ἀφ' ὑμῶν. ἵνα δὲ μὴ εἴπωσιν, ὅτι καὶ εἰ μὴ Φωνὴν αὐτοῦ ἀκηκόαμεν, πῶς ἐμαρτύρησέ σοι, Φησίν·

Verſ. 39. Ἐρευνᾶτε τὰς γραφάς. Τὰς νομικὰς καὶ προφητικάς. ἐκεῖθεν γὰρ ἡ παρὰ τοῦ πατρὸς [8]) μαρτυρία· ὅρα δὲ, πῶς οὐκ εἶπεν ἀναγινώσκετε, ἀλλ' ἐρευνᾶτε. ἀνεγίνωσκον μὲν γὰρ,

O 2 οὐκ

7) νόμος, pro λόγος. A.
8) σωτῆρος, pro πατρός. B.

tur, idcirco eos ſcrutari iubet: nam quum ea, quae de eo ſunt, obſcure ſcripta ſint vtiliter et diſpenſatorie propter imbecillitatem progenitorum ipſorum, ne exciderent ad deorum multitudinem, iubet nunc eos fodere, vt ea quae alte in modum theſauri recondita ſunt, poſſint inuenire.

Verſ. 39. *Quia — habere.* Putatis habere, verum non habetis: quia ſuperficietenus ſolum eas legentes, non inuenitis illum certum vitae aeternae fontem, qui eſt Chriſtus. Quia ergo putatis in ſcripturis vitam aeternam habere, et propter dictam cauſam non habetis: ſcrutamini profunde, vt inuentam habeatis.

Verſ. 39. *Et — me.* Teſtificantur, inquit, de me in perſona patris, vtpote arcano modo a patre inſpiratae his, qui eas ſcripſerunt. Coniunctio Et, abundat, quod in Hebraico idiomate frequens eſt.

Verſ. 40. *Et — habeatis.* Vitam videlicet ſempiternam. Deinde, ne ſuſpicarentur, quod amore gloriae talia diceret, ait.

Verſ. 41. *Gloriam — accipio.* Non amans eam, aut ea indigens: neque enim ſol lucernae lumine indiget. Verum quam ob cauſam haec dicebat? Vt omni modo ad fidem eos attraheret, per quam habituri eſſent vitam aeternam.

Verſ. 42. *Sed — vobis.* Vos, inquit, tanquam Deum diligentes me repellitis, quod me ipſum faciam Deo aequalem: Sed mendacii arguimini: ego enim noui vos, quod Deum non diligatis. Quomodo? Quia de quo ille teſtimonium perhibet, et per Iohannem, et per opera, et per ſcriptu-

9) Forte τὸν ϑησαυρόν.

οὐκ ἠρεύνων δέ. διὰ τοῦτο κελεύει ἐρευνᾶν. ἐπεὶ γὰρ συνεσκίαστο τὰ περὶ αὐτοῦ γεγραμμένα, συμφερόντως καὶ οἰκονομικῶς, διὰ τὴν τῶν προγόνων αὐτῶν ἀσθένειαν, ἵνα μὴ ἐκπέσωσιν εἰς πολυθεΐαν, ἐπιτάττει νῦν διορύττειν, ἵνα τὰ ἐν τῷ βάθει κείμενα, καθάπερ τις⁹) θησαυρὸς, δυνηθῶσιν εὑρεῖν.

Verſ. 39. Ὅτι — ἔχειν. Δοκεῖτε μὲν ἔχειν, οὐκ ἔχετε δὲ, διότι ἐπιπολαίως ταύτας ἀναγινώσκοντες, οὐχ εὑρίσκετε ταύτην, ἥτις ἐστὶν ὁ χριστὸς, ἡ πηγὴ τῆς αἰωνίου ζωῆς. ἐπεὶ οὖν δοκεῖτε μὲν ἀπὸ τῶν γραφῶν ζωὴν αἰώνιον ἔχειν, οὐκ ἔχετε δὲ, διὰ τὴν ῥηθεῖσαν αἰτίαν, λοιπὸν ἐρευνᾶτε ταύτας εἰς βάθος, ἵνα εὑρόντες ἔχητε.

Verſ. 39. Καὶ — ἐμοῦ. Αἱ μαρτυροῦσαί, φησι, περὶ ἐμοῦ, προσώπῳ τοῦ πατρὸς, οἷα παρὰ τοῦ πατρὸς ἐμπνευσθεῖσαι ἀποῤῥήτως τοῖς γεγραφόσιν αὐτάς. περιττὸν δὲ ἐνταῦθα, τὸ καὶ, καθ' ἑβραϊκὸν ἰδίωμα.

Verſ. 40. Καὶ — ἔχητε. Ζωὴν αἰώνιον, δηλονότι. εἶτα, ἵνα μὴ ὑπολάβωσιν, ὅτι φιλοδοξῶν λέγει τὰ τοιαῦτα, φησιν.

Verſ. 41. Δόξαν — λαμβάνω. Οὐ φιλῶ, οἷα μὴ χρήζων αὐτῆς. οὐδὲ γὰρ ὁ ἥλιος δεῖται λυχνιαίου φωτός. καὶ τίνος ἕνεκεν τὰ τοιαῦτα ἔλεγεν; ἵνα παντοιοτρόπως ἐπισπάσηται αὐτοὺς εἰς πίστιν, δι' ἧς ἔμελλον ἔχειν ζωὴν αἰώνιον.

Verſ. 42. Ἀλλ' — ἑαυτοῖς. Ὑμεῖς μὲν, φησιν, ὡς δῆθεν ἀγαπῶντες τὸν θεὸν, ἀπωθεῖσθέ με, ὅτι ποιῶ ἐμαυτὸν ἴσον τῷ θεῷ· ἐλέγχεσθε δὲ ψευδόμενοι. ἔγνωκα γὰρ ὑμᾶς, ὅτι οὐκ ἀγαπᾶτε τὸν θεόν. πῶς; ὅτι περὶ οὗ ἐκεῖνος μαρτυρεῖ, καὶ διὰ τοῦ ἰωάννου, καὶ διὰ τῶν ἔργων,

ſcripturas, hunc vos non recipitis. Quemadmodum ergo primum arbitrati, quod eſſem Deo contrarius, me repellebatis: ita nunc, demonſtrata a dictis teſtibus veritate, debuiſſetis accurrere. Sed fruſtra iactatis, quod Dei zelo me auerſamini. Nam quum id inuidia faciatis, hoc modo iſtam occultare nitimini.

Verſ. 43. *Ego — me.* Nomine patris mei, ſiue miſſus a patre meo, ſicut ipſe teſtatur et ego confiteor, et non ſuſcipitis me.

Verſ. 43. *Si — recipietis.* De Antichriſto hoc dicit, qui veniet nomine proprio, ſiue a ſe ipſo, tanquam ipſe Deus eſſet, qui ſuper omnes eſt. Taxat ergo impudentiam Iudaeorum, quod eum repellerent, quum ſe diceret, noſſe Deum, et ab eo miſſum eſſe, nec conuinceretur Deo eſſe contrarius: illum vero, qui ſe diceret non noſſe Deum, et a ſeipſo venire ſe iactaret, ac manifeſtiſſime dignoſceretur eſſe Deo contrarius, reciperent.

Deinde ponit et cauſam infidelitatis eorum, quod propter gloriae amorem non crederent: nolentes enim Chriſtum ſupra ſe honorari a multitudine, obſurdeſcebant, et aures vltro claudebant ad veritatem: omniaque faciebant, ne a gloria, quam habebant apud multitudinem, exciderent.

Verſ. 44. *Quomodo — accipitis?* Nam ipſa impedimento eſt.

Verſ. 44. *Et — quaeritis?* Quam ſolam quaerere oportet, ea quae eſt ab hominibus poſthabita, etſi vos contrarium faciatis. Poſtquam ergo vndique ſilentium illis impoſuit, omnique venia

*) προτιθέναι αὐτὸν ὑπό. A.

καὶ διὰ τῶν γραφῶν, τοῦτον ὑμεῖς οὐ προσίεσθε. ὥσπερ οὖν πρότερον, νομίζοντες εἶναί με ἀντίθεον, ἠλαύνετε· οὕτω νῦν, ὑπὸ τῶν εἰρημένων μαρτυριῶν ἀποδειχθείσης τῆς ἀληθείας, ὠφείλετε προσδραμεῖν. ἀλλὰ μάτην κομπάζετε δι' ἀγάπην τοῦ θεοῦ ἀποστρέφεσθαί με. διὰ βασκανίαν γὰρ τοῦτο ποιοῦντες, συσκιάζειν ταύτην ἐπιχειρεῖτε.

Verſ. 43. Ἐγὼ — με. Ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ἤγουν, ἀποσταλεὶς παρὰ τοῦ πατρός μου, ὡς αὐτός τε μαρτυρεῖ, κἀγὼ ὁμολογῶ, καὶ οὐ δέχεσθέ με.

Verſ. 43. Ἐὰν — λήψεσθε. Περὶ τοῦ ἀντιχρίστου τοῦτό φησιν, ὃς ἐλεύσεται ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, τουτέστιν, ἀφ' ἑαυτοῦ, ὡς δῆθεν αὐτὸς ὢν ὁ ἐπὶ πάντων θεός. καθάπτεται οὖν τῆς ἀναισχυντίας τῶν ἰουδαίων, ὡς αὐτὸν μὲν, τὸν λέγοντα εἰδέναι τὸν θεὸν, καὶ ὁμολογοῦντα, ἀπεστάλθαι παρ' αὐτοῦ, καὶ μὴ ἐλεγχόμενον ἀντίθεον, ἀποσειομένων· τὸν δὲ φάσκοντα, μὴ εἰδέναι ἐκεῖνον, καὶ κομπάζοντα ἀφ' ἑαυτοῦ ἥκειν, καὶ προδηλότατα διαγινωσκόμενον ἀντίθεον, προσιεμένων.

Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς ἀπιστίας αὐτῶν, ὅτι διὰ φιλοδοξίαν οὐ πιστεύουσι. μὴ θέλοντες γὰρ[1]) προτιμηθῆναι αὐτῶν ὑπὸ τοῦ πλήθους τὸν χριστὸν, ἐκώφευον, καὶ ἔμυον ἐθελουσίως πρὸς τὴν ἀλήθειαν, καὶ πάντα ἐποίουν, ὑπὲρ τοῦ μὴ ἐκπεσεῖν τῆς δόξης, ἣν εἶχον παρὰ τοῦ πλήθους.

Verſ. 44. Πῶς — λαμβάνοντες; Ἐμποδίζει γὰρ αὕτη.

Verſ. 44. Καὶ — ζητεῖτε; Ἣν μόνην ἔδει ζητεῖν, τῆς παρὰ ἀνθρώπων καταφρονοῦντας, εἰ καὶ ὑμεῖς τοὐναντίον ποιεῖτε. πανταχόθεν τοίνυν ἐπιστομίσας αὐτοὺς, καὶ ἀποδείξας πάσης

nia indignos esse demonstrauit, accusatorem deinceps illis adhibet, puta ipsum Mosem legislatorem eorum.

Vers. 45. *Num — patrem.* Iuxta vsitatam ac consuetam interrogationem est hic sermo, ac si dicat, Etsi me id oportebat facere, non tamen faciam, quia clemens sum.

Vers. 45. *Est — Moses.* Vtpote non credentes his, quae de me scripsit: et ita nec illi credentes.

Vers. 45. *In — speratis.* Tanquam in ducto em populi, tutorem ac mediatorem in his, quae ad Deum sunt. Sicut autem de scripturis dicebat, Putatis in ipsis vitam aeternam habere: ita quoque nunc de Mose ait, In quem vos speratis. Nam ab his, quae ipsi sua ducebant, illos aggrediebatur.

Vers. 46. *Si — scripsit.* Si fide dignum eum duceretis, crederetis vtique mihi: vobis enim praecepit ille, vt me audiretis.

Vers. 47. *Si — credetis?* Si illius scriptis increduli estis, quem vehementer vos honorare ac laudare iactatis: quomodo meis verbis credetis, quem vehementer inhonoratis et contumeliis appetitis? Sicut ergo prius de Iohanne, quem admirari videbantur, conuicti sunt, quod eum despicerent: ita et nunc de Mose, cui credere sibi videbantur, ostendit, quod ei essent increduli: et sagaciter semper in caput illorum torquet, quaecunque pro ipsis facere videntur. Quis ergo transgressor est, isne, qui coaccusatorem habet ipsum legislatorem, an ii, qui illum habent contra se accusatorem?

Cap. VI.

συγγνώμης ἀναξίους, λοιπὸν ἐφίστησιν αὐτοῖς κατήγορον αὐτὸν τὸν μωϋσέα, τὸν νομοθέτην αὐτῶν.

Verſ. 45. Μὴ — πατέρα. Κατ' ἐρώτησιν ἠθικὴν ὁ λόγος, ὅτι εἰ καὶ ἔδει με τοῦτο ποιῆσαι, ἀλλ' οὐ ποιήσω, ἀνεξίκακος ὤν.

Verſ. 45. Ἔστιν — μωϋσῆς. Ὡς ἀπιστούντων, οἷς περὶ ἐμοῦ ἔγραψε, καὶ οὕτως ἀπειθούντων αὐτῷ.

Verſ. 45. Εἰς — ἠλπίκατε. Ὡς εἰς δημαγωγὸν καὶ προστάτην καὶ μεσίτην τὰ πρὸς θεόν. ὥσπερ δὲ περὶ τῶν γραφῶν ἔλεγε· δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· οὕτω καὶ περὶ μωϋσέως φησίν· εἰς ὃν ἠλπίκατε. ἀπὸ τῶν οἰκείων χειρούμενος αὐτούς.

Verſ. 46. Ει — ἔγραψεν. Εἰ πιστὸν ἐκεῖνον ἐνομίζετε, ἐπιστεύετε ἂν ἐμοί. ἐνετείλατο γὰρ ὑμῖν ἐμοῦ ἀκούειν.

Verſ. 47. Ει — πιστεύσετε; Ει ταῖς ἐκείνου συγγραφαῖς ἀπιστεῖτε, ὃν διαφερόντως τιμᾶν καὶ εὐφημεῖν κομπάζετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε, ὃν διαφερόντως ἀτιμάζετε καὶ βλασφημεῖτε; ὥσπερ οὖν πρότερον, ἐπὶ τοῦ ἰωάννου, δοκοῦντας αὐτὸν θαυμάζειν, ἤλεγξε καταφρονοῦντας· οὕτω καὶ νῦν ἐπὶ τοῦ μωϋσέως, δοκοῦντας αὐτῷ πιστεύειν, ἔδειξεν ἀπιστοῦντας· καὶ ἀεὶ εὐμηχάνως εἰς τὴν κεφαλὴν αὐτῶν περιτρέπει πάντα τὰ δοκοῦντα ὑπὲρ αὐτῶν. τίς οὖν παράνομος, ὁ συνήγορον ἔχων τὸν νομοθέτην, ἢ οἱ κατήγορον αὐτὸν ἔχοντες;

Cap. VI. v. 1. *Posthaec — Tiberiadis.*
Mare Galilaeae, siue Tiberiadis. Nam stagnum Tiberiadis vocat mare Galilaeae, sicut in euangelio iuxta Matthaeum dictum est. Abiit autem illuc, cedens furori principum populi, accenso ob praedicta verba.

Vers. 2. *Et — qui infirmabantur.* Quare signa particularius non enumerat? Quia hic euangelista circa doctrinas et conciones ac dogmata magis versatur. Propter signa autem, non propter dogmata turba haec sequebatur, crassius affecta: illa vero, de qua apud Matthaeum, obstupescebat in doctrina eius.

Vers. 3. *Ascendit — suis.* Ascendit in montem, docens nos requiescere a tumultu ac turbatione, quae in medio populi est. Nam ad philosophiam sacram apta est solitudo.

Frequenter quoque solus ipse montem petit, et pernoctans orat, docens nos, quod eum, qui maxime ad Deum accedit, oporteat ab omni liberum esse turbatione, et locum inquirere liberum a tumultu et turbatione.

Vers. 4. *Instabat autem — Iudaeorum.* Et quomodo non ascendit et ipse ad diem festum, sed quum omnes Ierosolyma proficiscerentur, ipse vadit in Galilaeam, nec solus ipse, sed et discipulos adducit? Quia figuratiuam legem tacite iam dissoluebat, occasione sumta ab inuidia Iudaeorum. Non post longum enim tempus finem erat impositurus figuratiuo paschae, vero deinceps tradito.

Cap.

*) ἠκολούθει. A.

Cap. VI. v. 1. Μετὰ ταῦτα — τιβεριάδος.

Τῆς θαλάσσης τῆς γαλιλαίας, ἤτοι, τῆς τιβεριάδος. θάλασσαν γὰρ τῆς γαλιλαίας, τὴν τιβεριάδα λίμνην φησὶν, ὡς ἐν τῷ κατὰ ματθαῖον δεδήλωται. ἀπῆλθε δὲ ἐκεῖ, ὑπεξιςάμενος τῷ θυμῷ τῶν ἀρχόντων τῷ λαῷ, ἀπὸ τῶν εἰρημένων λόγων ἀναφθέντι.

Verſ. 2. Καὶ — ἀσθενούντων. Διατί ἐκ ἀπαγγέλλει κατ' εἶδος τὰ σημεῖα; διότι ὁ εὐαγγελιςὴς οὗτος περὶ τὰς διδασκαλίας, καὶ δημηγορίας, καὶ τὰ δόγματα μᾶλλον καταγίνεται. διὰ τὰ σημεῖα δὲ, καὶ ἐ διὰ τὰς διδασκαλίας, ὁ ὄχλος οὗτος ἠκολέθησε,[l]) παχύτερον διακείμενος· ὁ δὲ παρὰ τῷ ματθαίῳ,[m]) ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ τῷ σωτῆρος. m) Matt. 7, 28. 22, 33.

Verſ. 3. Ἀνῆλθε — αὐτῷ. Ἀνῆλθεν εἰς τὸ ὄρος, παιδεύων ἡμᾶς διαναπαύεσθαι ἀπὸ τῶν θορύβων καὶ τῆς ἐν μέσῳ ταραχῆς. ἐπιτήδειον γὰρ πρὸς φιλοσοφίαν ἡ ἐρημία.

Πολλάκις δὲ καὶ μόνος αὐτὸς τὸ ὄρος καταλαμβάνει, καὶ διανυκτερεύει, καὶ εὔχεται, διδάσκων ἡμᾶς, ὅτι δεῖ τὸν μάλιςα θεῷ προσιόντα πάσης ἀπηλλάχθαι ταραχῆς, καὶ τόπον ἐπιζητεῖν καθαρὸν θορύβε καὶ ταραχῆς.

Verſ. 4. Ἦν δὲ ἐγγὺς — ἰουδαίων. Καὶ πῶς ἐκ ἀναβαίνει καὶ αὐτὸς εἰς τὴν ἑορτὴν, ἀλλὰ πάντων ἐπειγομένων εἰς τὰ ἱεροσόλυμα, αὐτὸς ἔρχεται εἰς τὴν γαλιλαίαν; καὶ ἐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐπαγόμενος; διότι ἠρέμα λοιπὸν ὑπεξέλυε τὸν τυπικὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τῷ φθόνου τῶν ἰεδαίων. καὶ γὰρ ἐκ εἰς μακρὰν ἔμελλε παυθῆναι τὸ τυπικὸν πάσχα, παραδιδομένου λοιπὸν τῷ ἀληθινῷ.

Κεφ.

Cap. VIII. De quinque panibus.

Verſ. 5. *Quum ſuſtuliſſet ergo — iſti?* Dictum eſt de his in fine vigeſimi quinti capitis euangelii iuxta Matthaeum, vbi habetur, Ieſus autem dixit eis: Non eſt illis neceſſe egredi, date vos illis, quod edant.

Verſ. 6. *Hoc — quid eſſet facturus.* Ibi quoque de hoc diſputatum eſt. Quod autem ait, Tentans eum, humano quidem modo intelligitur iuxta datam ibi enarrationem: diuino autem modo, vt tantundem ſit, ac ſi dicatur, In deſperationem de remedio eum coniiciens: vt deſperationem faſſus, diligentius cognoſceret, fuiſſe miraculum, quod ipſe facturus erat: nam ſi vtcunque factum eſſet, nequaquam tale apparuiſſet. Siquidem tanquam Deus nouerat, quid reſponſurus eſſet Philippus.

Aiunt autem quidam, quod Deus aliquem tentare dicitur duobus modis: vel vt imbecillitatem eius arguat, ſicut nunc in Philippo: vel vt illius fortitudinem oſtendat, quemadmodum olim in Abraham: ſcriptum eſt enim, quod etiam tentauerit Deus Abraham, quum offerre ei filium ſuum in holocauſtum praecepit.

Verſ. 7. *Reſpondit — accipiat.* Vide imbecillitatem mentis Philippi, qui virtutem diuinitatis eius intelligere non poterat.

Verſ. 8. *Dicit — v. 9. multos?* Vigeſimo ſexto capite euangelii iuxta Matthaeum etiam de hoc diſputatum eſt. Excelſiorem itaque mentem

3) αὐτῷ. A.
4) Incluſa exciderunt. A. mox legitur ibidem δείξει et ἀνδρίαν.

Κεφ. Η. Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.

Vers. 5. Ἐπάρας οὖν — οὗτοι; Εἴρηται περὶ τούτων ἐν τῷ τέλει τοῦ εἰκοστοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ ματθαῖον, ἔνθα κεῖται, τὸ ὁ δὲ[n]) ἰησοῦς εἶπεν[3]) αὐτοῖς, οὐ χρείαν ἔχουσιν ἀπελθεῖν. δότε αὐτοῖς ὑμεῖς φαγεῖν. n) Matt. 14, 16.

Vers. 6. Τοῦτο — τί ἔμελλε ποιεῖν. Ἐκεῖ καὶ περὶ τούτου διασεσάφηται. τὸ δὲ πειράζων αὐτὸν, ἀνθρωποπρεπῶς μὲν νοεῖται, κατὰ τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν· θεοπρεπῶς δὲ, ἀντὶ τοῦ εἰς ἀπορίαν ἐμβάλλων αὐτὸν, ἵνα τὴν ἀπορίαν ὁμολογήσας, ἀκριβέστερον καταμάθῃ τοῦ μέλλοντος γενέσθαι θαύματος τὸ μέγεθος. εἰ γὰρ ἁπλῶς ἐγένετο, οὐκ ἂν ἐφάνη τηλικοῦτον. ὡς θεὸς γὰρ ἐγίνωσκε, τί ἔμελλεν ὁ φίλιππος ἀποκριθῆναι.

Φασὶ δέ τινες, ὅτι λέγεται ὁ θεὸς πειράζειν τινὰ κατὰ δύο τρόπους, ἢ ἵνα [ἐλέγξῃ[4]) τὴν ἀσθένειαν αὐτοῦ, ὥσπερ νῦν ἐπὶ τοῦ φιλίππου, ἢ ἵνα] δείξῃ τὴν ἀνδρείαν αὐτοῦ, ὥσπερ πάλαι ἐπὶ τοῦ ἀβραάμ. γέγραπται γὰρ, ὅτι καὶ ἐπείραζεν[o]) ὁ θεὸς τὸν ἀβραὰμ, ὅτε δηλαδὴ ἀνενεγκεῖν αὐτῷ τὸν υἱὸν αὐτοῦ εἰς ὁλοκάρπωσιν[5]) ἐνετέλλετο. o) Gen. 22, 1.

Vers. 7. Ἀπεκρίθη — λάβῃ. Ὅρα τὴν ἀσθένειαν τῆς διανοίας τοῦ φιλίππου, μὴ δυνηθέντος ἐννοῆσαι τὴν δύναμιν τῆς θεότητος αὐτοῦ.

Vers. 8. Λέγει — v. 9. τοσούτους; Ἐν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ[6]) ματθαίου καὶ περὶ τούτου διείληπται. ὑψηλοτέραν μὲν οὖν ἔσχε

διά-

5) ἐντέλλεται. A.
6) τοῦ κατὰ ματθαῖον. A.

tum habebat Andreas quam Philippus: ad id tamen, quod perfectum erat, non attingebat. Cogitabat enim, quod ex paucioribus pauciora faceret, ex pluribus autem plura. Ideo etiam addebat, Sed haec, quid sunt inter tam multos?

Vers. 10. *Dixit — quinquies mille.* Praedicto capite latius de his dictum est. Non sunt autem turbati discipuli, sed protinus cognito, quod miraculum operaturus esset, absque vlla haesitantia obediuerunt.

Vers. 11. *Accepit — volebant.* In eo capite etiam de his inuenies.

Vers. 12. *Vt* — v. 23. *qui comederant,* Similiter et de his. Iussit autem colligi, quae superfuerant, non ostentationis gratia, sed ne phantasia appareret, quod factum erat. Ex subiecta autem materia et panes multiplicauit et pisces: non, quod materia indigeret: sicut neque post resurrectionem opus illi fuit materia, sed vt ora Marcionistarum obstrueret, qui creaturam calumniantur delirantes, asserendo non esse a Deo factam.

Vers. 14. *Illi — mundum.* O manifestam gulositatem! quum innumera prius vidissent, quae hoc erant mirabiliora, nihil tale confessi sunt: quum autem impleti sunt, tunc hunc esse prophetam dixerunt, qui ex Mosis promissione ab eis expectabatur.

Vers. 15. *Iesus — solus.* Papae! quanta est gulae tyrannis, quanta est mentis istorum leuitas ac mutabilitas? repleto enim ventre omnia illis erat, et propheta et regno dignus. Christus vere

7) ποιήσει, addit. A.

διάνοιαν ὁ ἀνδρέας παρὰ τὸν φίλιππον· οὐκ ἔφθασε δὲ πρὸς τὸ τέλειον. ἐνόμισε γὰρ, ὅτι ἀπὸ μὲν ἐλαττόνων ἐλάττονα ποιήσει· ἀπὸ δὲ πλειόνων πλείονα.[7]) διὰ τοῦτο προσέθηκεν· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;

Vers. 10. Εἶπε — πεντακισχίλιοι. Ἐν τῷ δηλωθέντι κεφαλαίῳ πλατύτερον περὶ τούτων εἴρηται. οὐκ ἐθορυβήθησαν δὲ οἱ μαθηταὶ, ἀλλ' αὐτίκα γνόντες, ὅτι θαυματουργῆσαι μέλλει, ἀδιστάκτως ὑπήκουσαν.

Vers. 11. Ἔλαβε — ἤθελον. Ἐν ἐκείνῳ καὶ περὶ τούτων εὑρήσεις.

Vers. 12. Ὡς — v. 13. βεβρωκόσιν. Ὁμοίως καὶ περὶ τούτων. ἐκέλευσε δὲ συναγαγεῖν τὰ περισσεύσαντα, οὐκ ἐπιδείξεως ἕνεκεν, ἀλλ' ἵνα μὴ δόξῃ φαντασία τις τὸ γενόμενον. ἐξ ὑποκειμένης δὲ ὕλης ἐπλήθυνε καὶ τοὺς ἄρτους καὶ τοὺς ἰχθύας, δι' αὐτό τε τοῦτο, καὶ ἵνα ἐμφραγῇ τὰ στόματα τῶν[8]) μαρκιωνιστῶν, οἵτινες διαβάλλουσι τὴν κτίσιν, ληροῦντες, ὅτι οὐκ ἔστιν αὕτη ποίημα τοῦ θεοῦ.

Vers. 14. Οἱ — κόσμον. Ὢ προδήλου γαστριμαργίας! μυρία μὲν πρότερον θαυμαστότερα τούτου θεασάμενοι, οὐδὲν τοιοῦτον ὡμολόγησαν· ὅτε δὲ ἐνεπλήσθησαν, τότε τοῦτον εἶναι τὸν προφήτην ἔλεγον, τὸν προσδοκώμενον αὐτοῖς ἀπὸ τῆς μωϋσέως ἐπαγγελίας.

Vers. 15. Ἰησοῦς — μόνος. Βαβαί, πόση τῆς γαστριμαργίας ἡ τυραννίς! πόση τῆς γνώμης τούτων ἡ εὐκολία! τῆς γαστρὸς γὰρ ἐμπλησθείσης, πάντα ἦν αὐτοῖς,[9]) καὶ προφήτης, καὶ βασι-

8) μαρκιανιστῶν. A.
9) αὐτός. A.

vero fugit: ostendens, fugiendas esse dignitates humanas, ac terrenos honores, et despiciendos esse, qui hic clari sunt.

Atqui propheta dixit, Ecce rex tuus venit tibi mansuetus. Sed regnum dixit coeleste, de quo ipse quoque Christus ait, Regnum meum non est ex hoc mundo.

Cap. IX. De ambulatione in mari.

Vers. 16. *At vbi* — v. 17. *Capernaum.* Descenderunt non sponte sua, sed ab eo coacti. Dixit enim Matthaeus praedicto vicesimo sexto capite, statimque compulit Iesus discipulos, vt conscenderent nauigium, et se praecederent in vlteriorem ripam, donec dimisisset turbas: quumque dimisisset turbas, ascendit in montem seorsim ad orandum. Facta autem vespera solus erat illic.

Horum omnium causas ibi significauimus, et illas lege: in quibus tamen omissum est, quod postquam turbas dimisisset, cum stupore signum admirati sunt, vbi ad se mente rediissent, et reuerti decreuerunt ac rapere eum, vt crearent ipsum regem.

Vers. 17. *Et iam tenebrae* — v. 21. *ibant.* Non venerat ad eos, hoc est, non apparuerat eis, sicut postmodum fecit, sed permisit eos tentari. In fine autem praememorati vigesimi sexti capitis euangelii secundum Matthaeum, et vigesimo septimo de his omnibus inuenies. Quae vero sequuntur, praetermisit Iohannes, vtpote ab aliis conscripta. Itaque ea scribit, quae ab aliis omissa erant.

Nos

*) παρελθόντα. A.

βασιλείας ἄξιος. ὁ δὲ χριστὸς φεύγει, παιδεύων φεύγειν τὰ ἀνθρώπινα ἀξιώματα, καὶ τὰς γηΐνας τιμὰς, καὶ καταφρονεῖν τῶν ἐνταῦθα λαμπρῶν.

Καὶ μὴν ὁ προφήτης εἶπεν· ἰδού p) ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς. ἀλλὰ βασιλείαν εἶπε, τὴν οὐράνιον, περὶ ἧς καὶ αὐτὸς ἔλεγεν ὁ χριστός· ἡ βασιλεία q) ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου.

p) Zach. 9, 9.

q) Io. 18, 36.

Κεφ. Θ. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

Verſ. 16. Ὡς δὲ — v. 17. καπερναούμ. Κατέβησαν οὐχ ἑκόντες, ἀλλ' ἀναγκασθέντες ὑπ' αὐτοῦ. εἴρηκε γὰρ ὁ ματθαῖος ἐν τῷ ῥηθέντι εἰκοστῷ ἕκτῳ κεφαλαίῳ, ὅτι καὶ r) εὐθέως ἠνάγκασεν ὁ ἰησοῦς τοὺς μαθητὰς, ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατιδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης, ἦν ἐκεῖ μόνος.

r) Matt. 14, 22. 23.

Τούτων δὲ πάντων τὰς αἰτίας ἐδηλώσαμεν ἐκεῖ. καὶ ἀνάγνωθι ταύτας. ἐπίστησον δὲ, ὅτι μεθὸ ἀπέλυσεν αὐτοὺς, ὑπερεξεπλάγησαν τὸ σημεῖον, καθ' ἑαυτοὺς γενόμενοι, καὶ λοιπὸν ἐβουλεύσαντο στραφῆναι, καὶ ἁρπάσαι αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα.

Verſ. 17. Καὶ σκοτία ἤδη — v. 21. ὑπῆγον. Οὐκ ἐληλύθει πρὸς αὐτοὺς, ἀντὶ τοῦ, οὐκ ἐπεφάνη αὐτοῖς, ὡς ἐποίησεν ὕστερον· ἀλλ' ἀφῆκεν αὐτοὺς πειράζεσθαι. ἐν τῷ τέλει δὲ τοῦ προμνημονευθέντος εἰκοστοῦ ἕκτου κεφαλαίου, καὶ ἐν τῷ εἰκοστῷ ἑβδόμῳ περὶ πάντων τούτων εὑρήσεις. τὰ ἑξῆς δὲ παρῆκεν ὁ ἰωάννης, ὡς τοῖς ἄλλοις ἱστορηθέντα. καὶ λοιπὸν ἱστορεῖ τὰ ἐκείνοις s) παρεθέντα.

Nos ergo alios enarratores sequuti, ostendimus hanc fuisse deambulationem super mare, quam Matthaeus et Marcus scripserunt.

Chrysostomus vero coniectans ait hanc aliam fuisse ab illa: verisimile enim esse, quod illa prius fuerit. Deinde post aliquot dies turbae decreuerunt, vt raperent eum, veluti dictum est: quo cognito rursus Christus in montem discessit cum discipulis, ibique solus secessit, siue in quiete fuit: discipuli vero inde descenderunt ad mare, de hoc admoniti: et conscensa naui venerunt Capernaum, putantes, eum pedestri itinere venturum: sed rursum non multo post in mari ad illos venit: et propter hoc, inquit, euangelista ait, Et iam tenebrae erant, nec venerat ad eos Iesus: ac deinceps accidisse dicit reliqua, sicut hic scripsit: et in illa quidem deambulatione exterritos discipulos exclamasse, in hac vero solum timuisse, quod timor iam assuetudine minor fuerit. Et ibi quum dixisset, Ego sum, nolite timere, nondum certiores factos fuisse, ideoque Petrus dicebat: Domine, si tu es, iube vt ego veniam ad te super aquas: hic autem protinus certiores factos esse, quod iam assueti essent. Et tunc non quieuit ventus donec ingressus esset in nauim: nunc vero, vbi tantum loquutus est, facta est tranquillitas: et ne nauim quidem ingressus est, sed quum vellent eum in nauim accipere, repente nauis peruenit ad terram, et ipse post illam.

Vers. 22. *Sequenti die* — v. 24. *Iesum.* Turbam, quae stabat ad mare, dicit eos, qui venerant,

[2]) Tom. VIII. p. 255. D.

Ἡμεῖς μὲν οὖν τοῖς ἄλλοις ἐξηγηταῖς ἀκολουθήσαντες, ἀπεδείξαμεν τὸν αὐτὸν εἶναι ἐπὶ τῆς θαλάσσης περίπατον, ὃν ὁ ματθαῖος καὶ ὁ μάρκος [s]) ἀνέγραψαν. s) Marc. 6, 47 seqq.

Ὁ δὲ [r]) χρυσόστομος στοχαζόμενός φησιν, ἕτερον εἶναι τοῦτον παρ' ἐκεῖνον. εἰκὸς γὰρ, ἐκεῖνον γενέσθαι πρότερον· εἶτα μεθ' ἡμέρας τινὰς τοὺς ὄχλους βουλεύσασθαι ἁρπάσαι αὐτὸν, ὡς εἴρηται, καὶ λοιπὸν, γνόντα τοῦτο τὸν χριστὸν, αὖθις διαπεράσαι πρὸς τὸ ὄρος μετὰ τῶν μαθητῶν, καὶ ἀναχωρῆσαι ἐκεῖ μόνον, ἤτουν, ἡσυχάσαι μόνον· τοὺς δὲ μαθητὰς ἐκεῖθεν καταβῆναι ἐπὶ τὴν θάλασσαν, προστραπέντας τοῦτο, καὶ ἐμβάντας εἰς τὸ πλοῖον, ἔρχεσθαι πρὸς τὴν καπερναοὺμ, οἰομένους, αὐτὸν πεζεῦσαι πάλιν ἐπὶ τῆς θαλάσσης, καὶ ἐλθεῖν πρὸς αὐτοὺς οὐκ εἰς μακράν· διὰ τοῦτο γὰρ καὶ τὸν εὐαγγελιστὴν εἰπεῖν, ὅτι καὶ [t]) σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ ἰησοῦς, καὶ τὰ λοιπὰ γενέσθαι, καθὼς οὗτος ἔγραψε. καὶ ἐπὶ μὲν ἐκείνου τοῦ περιπάτου τοὺς μαθητὰς φοβηθέντας ἀνακραγεῖν· ἐπὶ δὲ τούτου, φοβηθῆναι μόνον, ἐλάττονος φόβου γενομένου, διὰ τὴν ἤδη συνήθειαν· καὶ ἐκεῖ μὲν, εἰπόντος· ἐγώ [v]) εἰμι, μὴ φοβεῖσθε, οὔπω ἐπληροφορήθησαν· διὸ καὶ ὁ πέτρος ἔλεγεν, κύριε, [x]) εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα· ἐνταῦθα δὲ εὐθέως ἐπληροφορήθησαν, ἐθάδες λοιπὸν γενόμενοι· καὶ τότε μὲν οὐκ ἐκόπασεν ὁ ἄνεμος, ἄχρις ἂν εἰσῆλθεν εἰς τὸ πλοῖον· νῦν δὲ φωνήσαντος μόνον, γαλήνη γέγονε· καὶ οὐδὲ εἰσῆλθεν εἰς τὸ πλοῖον, ἀλλὰ θελόντων λαβεῖν αὐτὸν, αὐτό τε εἰς τὴν γῆν ἐξῆλθε, καὶ αὐτὸς ὀπίσω αὐτοῦ.

t) Io. 6, 17.

v) Matt. 14, 27.

x) Matt. 14, 28.

Verf. 22. Τῇ ἐπαύριον — v. 24. ἰησοῦν. Ὄχλον ἑστηκότα πέραν τῆς θαλάσσης λέγει, τοὺς

nerant, vt raptum ipſum crearent regem: nam quum illum non inueniſſent, ſtabant in littore cogitantes, quid actum eſſet. Videtur ergo mancus eſſe hic ſermo: nam quum illum nondum quieſcere fecerit euangeliſta, rurſus aliunde incepit dicens: Vbi ergo vidit turba, quod Ieſus non eſſet ibi et caetera. Eſt autem forma haec abbreuiationis.

Quod autem ſequitur, Aliae vero ſuperuenerant nauiculae a Tiberiade iuxta locum, vbi comederant panem, poſtquam gratias egerat dominus, interloquutio eſt ad ſignificandum, quod poſtmodum illae venerint: tandem enim deſperantes ſuſpicati ſunt, quod pedeſtri itinere circa mare abiiſſet: ideo et ipſi venerunt Capernaum quaerentes eum: nam ibi plurimum diuerſari ſolet.

Verſ. 25. *Quumque inueniſſent — veniſti?* Non interrogauerunt eum, quo modo veniſſet, vt tantum ſignum diſcerent, neque de regno dixerunt, ſed his relictis coeperunt aſſentari dicentes, Quando huc veniſti, ignorans, quod nos a te penderemus? Aſſentabantur autem, vt menſam iterum eis apponeret: nam ſemel ſatiati, et ligurientes, caeteris omnibus iam conſumtis, de ſecundariis cogitabant: quanquam non omnes in ſimilibus deliquerant. πέραν vero (ſicut et trans latine) dicitur de vtroque terminorum maris directe oppoſitorum, ſignificante huiusmodi vocabulo nunc hoc littus, nunc vero illud.

Verſ. 26. *Reſpondit — ſaturati eſtis.* Non expedit, vbique manſuetum eſſe ac lenem, ſed quum diſcipulus craſſus ac ſegnis fuerit, tunc praeceptori opus eſt ſtimulo ac ſermone obiurgatorio ad tangendum et excitandum illum, quod hic

3) ἰησῦ, pro κυρίου. A.
4) οὖν, abeſt. A.

τοὺς ἐλθόντας ἁρπάσαι αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα. μὴ εὑρόντες γὰρ αὐτὸν, ἵσταντο ἐν τῷ αἰγιαλῷ, διαλογιζόμενοι, τί γέγονε. δοκεῖ οὖν ἐλλείπειν ὁ λόγος. μήπω γὰρ ἀναπαύσας τοῦτον ὁ εὐαγγελιστὴς, αὖθις ἑτέρωθεν ἤρξατο, εἰπών· ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, καὶ τὰ ἑξῆς. σχῆμα δέ ἐστι τοῦτο συντομίας.

Τὸ δὲ, ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ τιβεριάδος, ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ [3]) κυρίου, μεταξυλογία ἐστὶν, εἰς δήλωσιν τοῦ ὕστερον ἐλθεῖν αὐτά. τέως δ' οὖν ἐξαπορηθέντες ὑπώπτευσαν, ὅτι ἐπέζευσεν ἐπὶ τῆς θαλάσσης. διὰ τοῦτο γὰρ καὶ ἦλθον εἰς καπερναοὺμ, ζητοῦντες αὐτόν. ἐκεῖ γὰρ τὰ πολλὰ διατρίβειν εἰώθει.

Verſ. 25. Καὶ εὑρόντες — γέγονας; Οὐκ ἠρώτησαν αὐτὸν, πῶς διέβη, ἵνα τὸ τηλικοῦτον σημεῖον μάθωσιν, οὐδὲ περὶ τῆς βασιλείας εἶπον, ἀλλὰ ταῦτα παρέντες, ἤρξαντο κολακεύειν, λέγοντες· πότε οὖν [4]) ὧδε παραγέγονας, λαθὼν ἡμᾶς τοὺς ἐκκρεμαμένους σου. ἐκολάκευον δὲ, ἵνα πάλιν τράπεζαν αὐτοῖς παραθήσει. ἅπαξ γὰρ ἐμπλησθέντες, καὶ λοιπὸν λιχνευσάμενοι, τἄλλα πάντα δεύτερα ἐνόμιζον. οὐ πάντες δὲ ἦσαν τὰ τοιαῦτα ἐξαμαρτάνοντες. πέραν δὲ λέγεται, ἑκάτερον τῶν ἐπ' εὐθείας ἀντικειμένων περάτων τῆς θαλάσσης, δηλοῦντος τοῦ τοιούτου ὀνόματος, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο.

Verſ. 26. Ἀπεκρίθη — ἐχορτάσθητε. Τὸ προσηνὲς καὶ ὁμαλὸν, οὐ πανταχοῦ χρήσιμον, ἀλλ' ὅταν ὁ μαθητὴς παχὺς εἴη καὶ νωθὴς, τότε κέντρου χρεία τῷ διδασκάλῳ, καὶ λόγου πληκτικωτέρου πρὸς τὸ καθικέσθαι καὶ διεγεῖραι αὐτὸν

hic fecit Iesus: simul quidem increpans eos, tanquam assentatores, simul etiam mentem eorum detegens, et vtrinque illos corrigens. Ait enim, Quaeritis me, non quod signa vobis ostenderim, sed quod vos pauerim ac saturauerim: non, vt visis signis credatis, sed vt cibos edentes saturemini, quod est mancipiorum ventris ac gulosorum. Leniter autem et parce illos arguit, nec in reprehensione instat, sed statim doctrinam adiungit.

Vers. 27. *Operemini — aeternam.* Curam habete, non cibi corruptibilis, sed incorruptibilis: non qui carnem pascat, sed animam nutriat: hic autem est fides, vt in progressu dicturus est. Operationem vero pereuntis cibi, hoc in loco appellat eam, quae necessaria non est, sed superflua, siue permanentem et continuam sollicitudinem cibi sensibilis, nam quae necessaria est, non prohibetur. Ideo etiam Paulus in multis epistolarum locis, non solum permisit propriis operari manibus, verum etiam praecepit dicens, Si quis non vult operari, is nec edat.

Sicut ergo de Martha dicens Christus, Martha, Martha, sollicita es ac tumultuaris circa multa, atqui vnum est necessarium, non prohibuit hospitalitatem, sed praeposuit diuinorum sermonum auditionem: ita et nunc dicens, Operemini non cibum, qui perit, sed qui manet in vitam aeternam, non praecipit tantum operari cibum animae, quanquam sit magis necessarius, sed admonuit, corporalem cibum obiter curare, animae vero, toto studio. Operemini, inquit, toto animo, omni cura,

τῶν, ὅπερ ὁ Ἰησοῦς ἐνταῦθα πεποίηκεν, ἅμα μὲν ἐπιπλήττων αὐτοῖς, ὡς κόλαξιν, ἅμα δὲ καὶ τὴν γνώμην αὐτῶν ἀνακαλύπτων, καὶ ἀμφοτέρωθεν αὐτοὺς διορθούμενος. λέγει γάρ, ὅτι ζητεῖτέ με, οὐχ ὡς σημεῖα δείξαντα ὑμῖν, ἀλλ' ὡς θρέψαντα καὶ χορτάσαντα ὑμᾶς· οὐχ ἵνα σημεῖα βλέποντες πιστεύητε, ἀλλ' ἵνα βρώματα ἐσθίοντες χορτάζησθε, ὅπερ ἐστὶ κοιλιοδούλων καὶ γαστριμάργων. προσηνῶς δὲ καὶ μετὰ φειδοῦς ἐλέγχει, καὶ οὐχ ἵσταται μέχρι τῶν ἐλέγχων, ἀλλὰ καὶ διδασκαλίαν προστίθησιν.

Vers. 27. Ἐργάζεσθε — αἰώνιον. Φροντίζετε, μὴ τῆς βρώσεως τῆς φθειρομένης, ἀλλὰ τῆς ἀφθάρτου, μὴ τῆς τρεφούσης τὴν σάρκα, ἀλλὰ τῆς τρεφούσης τὴν ψυχήν. αὕτη δέ ἐστιν ἡ πίστις, ὡς προϊὼν ἐρεῖ. ἐργασίαν γὰρ νῦν λέγει, οὐ τὴν ἀναγκαίαν, ἀλλὰ τὴν περιττήν, ἤτοι, τὴν ἔμμονον καὶ διηνεκῆ φροντίδα τῆς βρώσεως τῆς αἰσθητῆς. ἡ ἀναγκαία γὰρ ἀκώλυτος. διὸ καὶ ὁ Παῦλος πολλαχοῦ τῶν ἐπιστολῶν, οὐ μόνον ἐπέτρεψεν ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν, ἀλλὰ καὶ διαῤῥήδην ἐνετείλατο, ὅτι εἴ τις [y]) οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

y) 2 Thes. 3,10.

Ὥσπερ οὖν ἐπὶ τῆς Μάρθας εἰπὼν ὁ Χριστός· Μάρθα, [z]) Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· οὐκ ἐκώλυσε τὴν φιλοξενίαν, ἀλλὰ προετίμησε τὴν τῶν θείων λογίων ἀκρόασιν· οὕτω καὶ νῦν, εἰπών· ἐργάζεσθε, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· οὐκ ἐκώλυσε τὸ ἐργάζεσθαι τὴν βρῶσιν τῆς σαρκός· ἀναγκαία γάρ· ἀλλὰ προετίμησε τὸ ἐργάζεσθαι τὴν τῆς ψυχῆς· ἀναγκαιοτέρα γάρ· καὶ παρῄνεσεν ἔχειν πάρεργον μὲν τὴν σωματικὴν βρῶσιν· ἔργον δὲ τὴν ψυχικήν. ἐργάζεσθε, φησιν, ὁλοψύχως, παντοιοτρό-

z) Luc. 10,41.

ra, continue: non iam hoc, iam illud, sed hoc amplius, illud vero minus.

Verſ. 27. *Quem — dabit.* Quem ego dabo vobis ad operandum, quem ipſe demonſtrabo acquirendum. Ne autem iactare ſe videatur, rurſum ad patrem recurrit, dicens.

Verſ. 27. *Hunc — Deus.* Conſignauit, ſiue in hoc appoſuit, vt hunc cibum daret vobis. Vel, demonſtrauit, ſuoque teſtimonio manifeſtauit. Nam et oſtendere quoque dicitur ſignare, ac ſi videlicet ſuo teſtimonio ſignauerit verum eſſe Deum.

Verſ. 28. *Dixerunt — Dei?* Opera Dei vocant, quae Deo accepta ſunt. Interrogant autem, non vt ea operentur, ſed vt etiam ipſi videantur diſcipuli, et ita ad cibi ſuppeditationem attrahant.

Verſ. 29. *Reſpondit — ille.* Nam prius variis in locis docuit, quod a Deo miſſus eſſet.

Verſ. 30. *Dixerunt — operaris?* Conſidera magnam dementiam: paulo ante cibo ſaturauit illos, et protinus obliti tanti miraculi ſignum requirunt: deinde genus etiam requiſiti ſigni addunt.

Verſ. 31. *Patres — ad edendum.* Scriptum eſt in libro Pſalmorum. Quum autem multa ſigna coram patribus ipſorum facta eſſent, huius maxime meminerunt propter ventris tyrannidem, exiſtimantes fore, vt ipſum quoque ad ſimile ſignum faciendum irritarent, puta, vt et ſe cibo

2) οὖν, abeſt. A.
3) ὁ Θεὸς, abeſt. A.

πως, διηνεκῶς, μὴ τόδε, ἀλλὰ τῦδε· μᾶλλον μὲν[7]) ὂν τῦτο, ἔλαττον δὲ ἐκεῖνο.

Verſ. 27. Ἣν — δώσει. Ἣν ἐγὼ δώσω ὑμῖν ἐργάζεσθαι, ἣν αὐτὸς ὑποδείξω κτᾶσθαι. ἵνα δὲ μὴ δόξῃ κομπάζειν, ἐπὶ τὸν πατέρα πάλιν ἀνατρέχει, λέγων.

Verſ. 27. Τῦτον — Θεός. Ἐσφράγισεν, ἤγουν, προεχειρίσατο εἰς τῦτο, εἰς τὸ διδόναι ταύτην ὑμῖν. ἢ ἀπέδειξεν, ἐφανέρωσε, διὰ τῆς ἑαυτῦ μαρτυρίας. σφραγίζειν γὰρ λέγεται καὶ τὸ ἀποδεικνύειν, ὡς τό· ὁ λαβὼν[a]) αὐτῦ τὴν μαρτυρίαν, ἐσφράγισεν, ὅτι ὁ Θεὸς[6]) ἀληθής ἐςι. a) Io. 3, 33.

Verſ. 28. Εἶπον — Θεῦ; Ἔργα τοῦ Θεῦ καλῦσι, τὴν εὐαρέςησιν τῦ Θεῦ. ἐρωτῶσι δὲ, ὐχ ἵνα ἐργάσωνται αὐτὰ, ἀλλὰ κολακεύοντες, ἵνα δόξωσι μαθηταὶ καὶ αὐτοὶ, καὶ οὕτως ἐπισπάσωνται[7]) πρὸς χορηγίαν τροφῆς.

Verſ. 29. Ἀπεκρίθη — ἐκεῖνος. Προεδίδαξε γὰρ διαφόρως, ὅτι παρὰ τοῦ Θεοῦ ἀπέςαλται.

Verſ. 30. Εἶπον — ἐργάζῃ; Ὅρα, πολλὴν ἄνοιαν. πρὸ βραχέος ἐχόρτασεν αὐτῦς τροφῆς, καὶ τῦ τοιύτυ θαύματος αὐτίκα ἐπιλαθόμενοι, σημεῖον ἐπιζητῦσιν· εἶτα καὶ τὸ εἶδος λέγυσι τῦ ἐπιζητυμένου σημείου.

Verſ. 31. Οἱ πατέρες — φαγεῖν. Γέγραπται ἐν τῇ βίβλῳ[b]) τῶν ψαλμῶν. πολλῶν δὲ σημείων γεγονότων ἐπὶ τῶν πατέρων αὐτῶν, τύτου μάλιςα μνημονεύουσι, διὰ τὴν τῆς γαςρὸς τυραννίδα, νομίζοντες ἐρεθίζειν αὐτὸν, εἰς τὸ ποιῆσαι καὶ αὐτὸν τοιῦτον σημεῖον, ὅπερ ἔμελλεν b) Pſ. 78, 24.

R 5 ἐμπλή-

7) τὸν χρηστόν.

ho satiaret. Sed o obliuiosi ac ingrati! nonne paulo ante panes et pisces ad satietatem in loco deserto edistis?

Simul quoque mihi hic obserua et adulationem ipsorum et inuidam malitiam. Neque enim dixerunt, quod Moses illud fecisset signum, ne hunc deprimere viderentur, si Mosem ei compararent: neque, quod Deus ipsum edidisset, ne hunc Deo aequarent: sed absolute dixerunt, Patres nostri comederunt manna in deserto. Quid ergo is, qui disponit sermones suos in iudicio? Non arguit eos, sed blande respondet: Oportet enim, vt praedictum est, interdum quidem arguere, interdum vero dispensatiue clementem esse.

Vers. 32. *Dixit — coelo.* Quia putabant, manna esse panem ab eo quod proprie coelum appellatur, eo, quod scriptum esset, Panem de coelo dedit eis; corrigit erroneam eorum opinionem. Nam ibi Scriptura aërem improprie vocauit coelum: quemadmodum etiam dicuntur volucres coeli, Et rursum, Intonuit de coelo dominus.

Ait ergo, Non Moses dedit tunc nationi vestrae panem, qui proprie de coelo sit, sed pater meus nunc dat vobis panem ab eo, quod proprie coelum appellatur. Nam sicut pater proprie dicitur coelestis, ita et filius coelestis, et proprie panis, vtpote cor hominis confirmans.

Vers. 32. *Eum qui verus est.* Siquidem ille panis figuratiuus erat, me, inquit, praefigurans qui sum ipsa veritas. Quemadmodum enim

⁸) ὁ, abest. A.
⁹) ἔφαγον τὸ μάννα. A.
¹) ὀρανῦ κυρίως. A.

ἐμπλήσειν αὐτοὺς τροφῆς. ἀλλ', ὦ ἀμνήμονες καὶ ἀχάριστοι! οὐ καὶ αὐτοὶ πρὸ μικροῦ ἄρτους καὶ ἰχθύας εἰς κόρον ἐφάγετε ἐν ἐρήμῳ τόπῳ;

Καὶ παρατήρει μοι κἀνταῦθα τὴν κολακείαν αὐτῶν, ἀλλὰ καὶ πονηρίαν. οὐκ εἶπον γὰρ, οὔτε ὅτι ὁ a) μωϋσῆς ἐποίησε τὸ σημεῖον, οἰόμενοι πλήξειν αὐτὸν, εἰ τὸν μωϋσέα τούτῳ συγκρίνουσιν, οὔτε ὅτι ὁ θεὸς αὐτὸ πεποίηκεν, ἵνα μὴ δόξωσιν ἐξισοῦν αὐτὸν τῷ θεῷ. διὰ τοῦτο ἀπολύτως εἶπον· οἱ πατέρες ἡμῶν τὸ b) μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ. τί οὖν ὁ οἰκονομῶν τοὺς λόγους αὐτοῦ ἐν κρίσει; οὐκ ἐλέγχει τούτους, ἀλλ' ὁμαλῶς ἀποκρίνεται. χρὴ γὰρ, ὡς προείρηται, ποτὲ μὲν ἐλέγχειν, ποτὲ δὲ ἀνεξικακεῖν οἰκονομικῶς.

Vers. 32. Εἶπεν — οὐρανοῦ. Ἐπεὶ ὑπελάμβανον, τὸ μάννα ἄρτον εἶναι ἐκ τοῦ κυρίως οὐρανοῦ, διὰ τὸ γεγράφθαι, ἄρτον ἐκ τοῦ οὐρανοῦ· διορθοῦται τὴν ἐσφαλμένην ὑπόληψιν αὐτῶν. οὐρανὸν γὰρ ἐκεῖ, τὸν ἀέρα εἶπε καταχρηστικῶς ἡ γραφή. ὡς καὶ, ὅταν λέγῃ, τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ πάλιν, καὶ c) ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύριος. c) Ps. 17, 14.

Φησὶν οὖν, ὅτι οὐ μωϋσῆς δέδωκε τότε τῷ γένει ὑμῶν τὸν ἄρτον ἐκ τοῦ κυρίως[1]) οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου[2]) νῦν δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ κυρίως οὐρανοῦ. ὥσπερ γὰρ ὁ πατὴρ, οὐράνιος· οὕτω καὶ ὁ υἱὸς οὐράνιος, καὶ κυρίως ἄρτος, [ὡς[3]) στηρίζων καρδίαν ἀνθρώπου.

Vers. 32. Τὸν ἀληθινόν. Ἐκεῖνος γὰρ ὁ ἄρτος,] τυπικὸς ἦν, προτυπῶν, φησὶν, ἐμὲ τὸν[4]) αὐτοαλήθειαν ὄντα. καθάπερ γὰρ ἐκεῖνος ἄνωθεν

2) οὖν, pro νῦν. B.
3) Inclusa omittit. A.
4) τὸν αὐτὸν ἀλήθειαν. A.

enim ille desuper descendens, eos, qui participabant, pascebat ac roborabat, ita et ego. Sed ille ab aëre, ego autem a vero coelo: ille quidem corpora pascebat ac roborabat, ego vero animas. In sequentibus autem ponit generaliorem differentiam inter figuratiuum panem, et eum, qui verus est.

Vers. 33. *Panis enim — mundo.* Proprie panis Dei, siue diuinus est, qui vere de coelo descendit, et vitam aeternam dat mundo credenti: quum ille vitam ad tempus daret, non mundo, sed solis Hebraeis. Vitam autem aeternam intellige, non simpliciter, qua viuent communiter omnes homines, sed beatam, quae erit in continua requie.

Vers. 34. *Dixerunt — istum.* Adhuc sensibilem intelligentes huiusmodi panem prae ventris ingluuie hunc petebant, non semel, sed semper accipere.

Vers. 35. *Ait — vitae.* Panis viuificans, et qui, vt dictum est, dat vitam aeternam: nam ea proprie dicitur vita, quae aeterna est: quae enim ad tempus durat, non vita est, sed vitae imago. Panem autem vitae, suam vocat diuinitatem: siquidem ipsa panis est, qui de coelo descendit. Tandem vero etiam corpus suum vocat panem.

Vers. 35. *Qui — vnquam.* Venit quispiam ad eum per fidem: ipsa enim est via ad illum. Non esuriet, inquit, fame, quae ab infidelitate procedit, et non sitiet vnquam, siti, quae ab incredulitate nascitur, sed gratia diuina repletus, et ipse deinceps nullius indigebit, sed aliis potius

5) Inclusa absunt. A.
6) τοῦτον τὸν ἄρτον. A.

ἄνωθεν καταβὰς ἔτρεφε καὶ ἐῤῥώννυε τοὺς μεταλαμβάνοντας· οὕτω κἀγώ. ἀλλ' ἐκεῖνος μὲν [ἐκ 6) τοῦ ἀέρος· ἐγὼ δὲ ἐκ τοῦ ὄντως οὐρανοῦ. κἀκεῖνος μὲν] ἔτρεφε καὶ ἐῤῥώννυε σώματα· ἐγὼ δὲ ψυχάς. προϊὼν δὲ λέγει καὶ τὴν καθολικωτέραν διαφορὰν τοῦ τε τυπικοῦ ἄρτου καὶ τοῦ ἀληθινοῦ.

Verſ. 33. Ὁ γὰρ ἄρτος — κόσμῳ. Ὁ κυρίως ἄρτος τοῦ θεοῦ, ἤτουν, ὁ θεῖος ἄρτος ἐστὶν, ὁ ἐκ τοῦ ὄντως οὐρανοῦ καταβὰς, καὶ ζωὴν αἰώνιον διδοὺς τῷ κόσμῳ τῷ 'πιστεύοντι. ἐκεῖνος γὰρ ζωὴν πρόσκαιρον ἐδίδου, καὶ οὐ τῷ κόσμῳ, ἀλλὰ μόνοις τοῖς ἑβραίοις. ζωὴν δὲ αἰώνιον νόει, μὴ τὴν ἁπλῶς, ἣν ζήσουσι κοινῶς πάντες ἄνθρωποι, ἀλλὰ τὴν μακαρίαν, τὴν ἐν ἀπολαύσει διηνεκεῖ.

Verſ. 34. Εἶπον — τοῦτον. Ἔτι αἰσθητὸν νομίζοντες τὸν τοιοῦτον 6) ἄρτον, ὑπὸ λαιμαργίας ἐζήτησαν αὐτὸν, οὐχ ἅπαξ λαβεῖν, ἀλλὰ πάντοτε.

Verſ. 35. Εἶπε — ζωῆς. Ὁ ἄρτος ὁ ζωηρὸς, ὁ ζωὴν αἰώνιον διδοὺς, ὡς εἴρηται. ζωὴ γὰρ κυρίως, ἡ αἰώνιος. ἡ γὰρ πρόσκαιρος, οὐ κυρίως ζωὴ, ἀλλ' εἰκὼν ζωῆς. ἄρτον 7) δὲ ζωῆς, τὴν θεότητα ἑαυτοῦ λέγει νῦν. αὕτη γὰρ ἄρτος ἐκ τοῦ οὐρανοῦ καταβάς. πρὸς τῷ τέλει δὲ, καὶ τὸ ἑαυτοῦ σῶμα ἄρτον καλεῖ.

Verſ. 35. Ὁ — πώποτε. Ἔρχεταί τις πρὸς αὐτὸν, διὰ τῆς πίστεως. αὕτη γὰρ 8) ἡ ὁδὸς πρὸς αὐτόν. οὐ μὴ πεινάσῃ, φησὶ, τὴν ἀπὸ τῆς ἀπιστίας πεῖναν· καὶ οὐ μὴ διψήσῃ πώποτε, τὴν ἀπὸ τῆς ἀπιστίας δίψαν· ἀλλὰ πλησθεὶς τῆς θείας χάριτος, αὐτός τε ἀπροσδεὴς ἔσται λοιπὸν, καὶ

7) δὲ, omittit. A.
8) ἡ, abeſt. A.

potius necessaria subministrabit, docens ac erudiens illos.

Vers. 36. *Sed — credidistis.* Vidistis me, siue, cognouistis quis ego sim, et a testimonio Iohannis, et a signis, quae edidi, et a testimonio scripturarum, quas vobis aperui, sed voluntarie malum operantes non creditis. Quando autem hoc illis dixit? Verisimile quidem est, hoc dictum esse, etsi scriptum non sit.

Vers. 37. *Omne — veniet.* Hoc sermone demonstrat, quod pater adducit ei credentes. Siquidem dicit et Paulus. Per quem vocati estis in societatem filii eius. Ait ergo, Omne illud ad me veniet, quod dat mihi pater: hoc est, Omnis qui datus fuerit mihi a patre, omnis, qui deductus ab eo fuerit, hic veniet ad me, hic credet in me, et non quilibet simpliciter. Inde autem confirmat, quod vult pater, vt credant in eum. Itaque, qui in eum non credit, aduersatur Dei voluntati. Dat autem et pater filio, ducens eos ad fidem eius: et filius patri, adducens eos ad illum per fidem.

Verum, si venit is ad filium, qui datur a patre, culpa ergo carebit, qui non venit, vtpote non datus a patre. Sed pater illos dat, in quibus praecedit bona voluntas: neque enim haec per se facere potest, vt credant, absente Dei adminiculo, neque illud auxilium, nisi praesens sit et bona voluntas.

Vers. 37. *Et — foras.* Neque hic, a mea familiaritate, neque ibi, a regno coelorum: eum,

9) πατρὸς, pro Θεῦ. A.

καὶ ἑτέροις μᾶλλον ἐπαρκέσαι, διδάσκων καὶ κατηχῶν αὐτούς.

Verf. 36. Ἀλλ' — πιϛεύετε. Ἑωράκατέ με, ἤγουν, ἐγνώκατε, τίς εἰμι, ἀπό τε τῆς μαρτυρίας Ἰωάννου, ἀπό τε τῶν σημείων, ὧν ἐποίησα, καὶ ἀπὸ τῆς μαρτυρίας τῶν γραφῶν, ἃς ὑμῖν ἀνέπτυξα· ἀλλ' ἐθελοκακοῦντες, ὐ πιϛεύετε. πότε δὲ τοῦτο εἶπεν αὐτοῖς; εἰκὸς, τῦτο ῥηθῆναι μὲν, μὴ γραφῆναι δέ.

Verf. 37. Πᾶν — ἥξει. Τῦτο παρίϛησιν ὁ λόγος, ὅτι ὁ πατὴρ προσάγει αὐτῷ τοὺς πιϛεύοντας. Φησὶ γὰρ καὶ Παῦλος· δι' ὗ [d]) ἐκλήθητε εἰς κοινωνίαν τῦ υἱῦ αὐτῦ. λέγει τοίνυν, ὅτι πᾶν ἐκεῖνο πρὸς ἐμὲ ἥξει, ὃ δίδωσί μοι ὁ πατὴρ, τυτέϛι, πᾶς, ὃς δοθῇ μοι παρὰ τῦ [9]) θεῦ, ὃς ὁδηγηθῇ παρ' [1]) αὐτοῦ, οὗτος ἥξει πρός με, οὗτος πιϛεύσει μοι, καὶ οὐχ ἁπλῶς, ὁ τυχών. ἐντεῦθεν δὲ κατασκευάζει, ὅτι θέλει ὁ πατὴρ, ἵνα πιϛεύσωσιν εἰς αὐτὸν, καὶ λοιπὸν, ὁ μὴ πιϛεύων εἰς αὐτὸν ἐναντιοῦται τῷ θελήματι τῦ θεῦ. δίδωσι δὲ καὶ ὁ πατὴρ τῷ υἱῷ, ὁδηγῶν αὐτοὺς εἰς τὴν πίϛιν αὐτῦ· καὶ ὁ υἱὸς τῷ πατρὶ, προσάγων αὐτοὺς αὐτῷ, διὰ τῆς πίϛεως.

d) 1 Cor. 1, 9.

Ἀλλ' εἰ ἐκεῖνος ἔρχεται πρὸς τὸν υἱὸν, ὁ δοθεὶς παρὰ τῦ πατρὸς, ἀναίτιος ἄρα ὁ μὴ ἐλθὼν, ὡς μὴ δοθεὶς παρὰ τῦ πατρός· ἀλλ' ὁ πατὴρ ἐκείνους δίδωσιν, ὧν ἡ προαίρεσις ἀγαθή. ὔτε γὰρ αὕτη δύναται ποιῆσαι πιϛὸν, ἀπούσης τῆς παρὰ τῦ θεῦ χειραγωγίας· ὔτε μὴν ἐκείνη συνεργεῖ, μὴ παρύσης ἀγαθῆς προαιρέσεως.

Verf. 37. Καὶ — ἔξω. Οὔτ' ἐνταῦθα, ἔξω τῆς ἐμῆς οἰκειώσεως, ὔτε ἐκεῖ, ἔξω τῆς βασιλείας

1) παρὰ τῦ πατρός. A.

eum, qui non vtcunque, sed recto animo ad me venit.

Vers. 38. *Quia — me.* Non, vt faciam voluntatem, quae mea est, siue propriam, neque enim habeo propriam, sed voluntatem eius, qui misit me, hoc est communem, quae et mea est et illius, quorum sicut est vna diuinitas, ita est et vna voluntas. Descendit autem de coelo secundum diuinitatem.

Vers. 39. *Haec — die.* Atqui omnes tunc resuscitabit, et qui salui erunt, et qui peribunt, tam fideles, quam infideles. Sed resurrectionem hoc in loco appellant eam, quae erit ad requiem, non quae ad supplicium. Et ex his ostendit, communem esse patris et filii voluntatem, vt omnes salui fiant: ob id namque et ille misit, et hic aduenit: ille dat credentes, et hic seruat acceptos.

† † Ne perdam, hoc est, ne mea culpa aliquis pereat. Nam et superius dixit: venientem ad me non expellam foras. Relinquitur ergo, vt, si quis voluntarie exeat et voluntarie pereat, sua culpa hoc patiatur. Neminem enim deus vi trahit.

Vers. 40. *Haec — die.* Eundem declarat sermonem, frequentius eum inducens, ne facile reiiciatur, et vt firmius discant, futuram esse resurrectionem, ac fidei, quae in ipsum est, repensionem, spiritualiumque certaminum, quae hic tolerantur retributionem, qua si non sunt fruituri in praesenti vita, at saltem in futura. Omnis autem,

2) ἐγὼ, addit. A.
3) Inclusa Codex vterque in margine exhibet. Hentenius non habet.

σιλείας τῶν οὐρανῶν. τὸν ἐρχόμενον δὲ, οὐχ ἁπλῶς, ἀλλ' ὀρθῶς.

Vers. 38. Ὅτι — με. Οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἤτοι, τὸ ἴδιον· οὐδὲ γὰρ [2]) ἔχω ἴδιον· ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, τουτέστι, τὸ κοινὸν ἐκείνου τε καὶ ἐμοῦ, ὧν ὡς μία θεότης, οὕτω καὶ ἓν θέλημα. καταβέβηκε δὲ ἐκ τοῦ οὐρανοῦ, τῇ θεότητι,

Vers. 39. Τοῦτο — ἡμέρᾳ. Καὶ μὴν πάντας ἀναστήσει τότε, καὶ τοὺς σωθέντας, καὶ τοὺς ἀπολωλότας, καὶ τοὺς πιστοὺς, καὶ τοὺς ἀπίστους· ἀλλ' ἀνάστασιν ἐνταῦθα λέγει, τὴν ἐπὶ ἀπολαύσει, οὐ τὴν ἐπὶ κολάσει. ἀφ' ὧν δέ φησιν, δείκνυσιν, ὅτι κοινὸν θέλημα καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τὸ σωθῆναι πάντας. διὰ τοῦτο γὰρ ὁ μὲν ἀπέστειλεν, ὁ δὲ παρεγένετο. καὶ ὁ μὲν δίδωσι τοὺς πιστεύοντας· ὁ δὲ παραλαμβάνων σώζει.

[Ἵνα [3]) μὴ ἀπολέσω, τουτέστιν, ἵνα μὴ ἐξ ἐμῆς αἰτίας ἀπόληταί τις. καὶ ἀνωτέρω γὰρ εἶπεν· ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. λοιπὸν οὖν, εἴ τις ἂν ἑκουσίως ἐξέλθῃ, καὶ ἑκουσίως ἀπόληται, παρὰ τὴν ἑαυτοῦ αἰτίαν τοῦτο πάσχει. οὐδένα γὰρ ὁ θεὸς πρὸς ἀνάγκην ἕλκει.]

Vers. 40. Τοῦτο — ἡμέρᾳ. Τὸν αὐτὸν λόγον σαφηνίζει, συνεχέστερον αὐτὸν ἐνηχῶν, ἵνα μὴ εὐαπόβλητος γένηται, καὶ ἵνα βεβαιότερον μάθωσιν, ὅτι ἀνάστασίς ἐστι, καὶ τῆς εἰς αὐτὸν πίστεως ἀμοιβὴ, καὶ τῶν ἐνταῦθα πνευματικῶν ἀγώνων ἀνταπόδοσις, καὶ εἰ μὴ κατὰ τὸν παρόντα βίον ἀπολαύσειαν, ἀλλά γε κατὰ τὸν μέλ-

autem, qui videt filium, oculis videlicet fidei, hoc est, qui credit in eum.

Vers. 41. *Murmurabant* — v. 42. *descendi?* Quando panem dedit eis, impleuitque ventrem, et prophetam esse dicebant, et regem creare volebant: vbi vero de coelesti pane et spirituali cibo, vitaque aeterna disseruit, turbabantur ac genus ipsius attenuabant; de quibus bene dixit Paulus: Quorum Deus venter est. Nam fingebant se indignari, quod dixisset, De coelo descendi: quum verius indignarentur, quod rursum eos non pauisset, sicut sperauerant. Si enim ob illud indignati fuissent, interrogassent vtique, quomodo panis esset, quomodo de coelo descendisset?

Christus autem non dixit, Non sum filius Ioseph, neque quicquam de genere suo docuit, sciens, quod illi nondum audire poterant admirandum sui partum, et multo minus aeternam sui generationem ac natiuitatem: ideo dispensatorie de his rebus sermonem praetermisit, ne vno offendiculo sublato aliud excitaret.

Vers. 43. *Respondit* — v. 44. *eum.* Accessum ad se dicit, non qualemcunque: siquidem et illi, et multi alii ad ipsum veniebant: sed eum, qui ex fide est. Quod autem dicit, hoc est: Merito non creditis mihi, neque enim attracti estis a patre, vtpote indigni: nemo enim potest venire ad me, siue credere in me, nisi pater, qui misit me, traxerit eum. Nam et superius dixit: Omne, quod dat mihi pater, ad me veniet: et illius dicti lege enarrationem, quum etiam ad propositum verbum conferat.

Vers. 44.

4) τῆς addendum, aut τοῦ paullo ante omittendum.

λονται. πᾶς δὲ ὁ θεωρῶν τὸν υἱὸν, τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς, ὅ ἐστιν, ὁ πιστεύων εἰς αὐτόν.

Vers. 41. Ἐγόγγυζον — v. 42. καταβέβηκα; Ὅτε μὲν ἄρτον ἔδωκεν αὐτοῖς, καὶ τὴν γαστέρα ἐνέπλησε, καὶ προφήτην ἔλεγον εἶναι, καὶ βασιλέα ποιῆσαι ἤθελον· ὅτε δὲ περὶ τοῦ οὐρανίου ἄρτου καὶ [4]) πνευματικῆς τροφῆς καὶ ζωῆς αἰωνίου διελέγετο, ἐταράσσοντο, καὶ ἐξηυτέλιζον τὸ γένος αὐτοῦ, ὧν [e]) θεὸς ἡ κοιλία [5]) καλῶς εἶπε παῦλος. καὶ προσεποιοῦντο μὲν ἀγανακτεῖν, διότι εἶπεν, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα· τὸ δὲ ἀληθὲς, ἠγανάκτουν, διότι οὐκ ἔθρεψε πάλιν αὐτοὺς, ὡς προσεδόκων. εἰ γὰρ δι' ἐκεῖνο ἐγόγγυζον, ἠρώτησαν ἂν, πῶς ἄρτος ἐστὶ, πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν; e) Phil. 3, 19.

Ὁ δὲ χριστὸς, οὐκ εἶπεν, ὅτι οὐκ εἰμὶ υἱὸς ἰωσὴφ, οὐδὲ ἐδίδαξέ τι περὶ τοῦ γένους αὐτοῦ, γινώσκων αὐτοὺς οὔπω δυναμένους ἀκοῦσαι τὸν θαυμαστὸν τόκον αὐτοῦ, καὶ πολλῷ μᾶλλον τὴν προαιώνιον αὐτοῦ γέννησιν. οἰκονομικῶς οὖν παρέδραμε τὸν περὶ τούτου λόγον, ἵνα μὴ ἕτερον σκάνδαλον ἀναιρῶν, ἕτερον ἐμβάλῃ.

Vers. 43. Ἀπεκρίθη — v. 44. αὐτόν. Ἕλευσιν πρὸς ἑαυτόν φησιν, οὐ τὴν ἁπλῶς· ἐπεὶ καὶ αὐτοὶ, καὶ ἄλλοι πολλοὶ ἤρχοντο πρὸς αὐτόν· ἀλλὰ τὴν ἐκ πίστεως. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. εἰκότως οὐ πιστεύετέ μοι. οὐ γὰρ εἱλκύσθητε παρὰ τοῦ πατρὸς, ὡς ἀνάξιοι. οὐδεὶς γὰρ δύναται ἐλθεῖν πρὸς ἐμὲ, ἤτοι, πιστεῦσαι εἰς ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. εἴρηκε γὰρ καὶ ἀνωτέρω· ὅτι [f]) πᾶν, ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει· καὶ ἀνάγνωθι τοῦ τοιούτου ῥητοῦ τὴν ἐξήγησιν, συμβαλλομένην εἰς τὸ προκείμενον. f) Io. 6, 37.

 Vers. 44.

[5]) Forte, ὡς καλῶς, aut ὧν θεὸν τὴν κοιλίαν.

Vers. 44. *Et — die.* Eum videlicet, qui ad me venerit, vel in me crediderit. Rursum ergo repetens, Et ego resuscitabo eum, propriam demonstrat dignitatem, et per talium sermonum frequentiam, carpit illorum insensibilitatem.

Vers. 45. *Scriptum est — Deo.* Addidit hoc confirmans, quod pater illos attrahat, qui ad se veniunt. Omnes, inquit, puta ad eum venientes, et in eum credentes ac volentes: Siquidem nullum attrahit nolentem.

Vers. 45. *Omnis — me.* Qui audiuit intellectuali modo. Ne enim suspicarentur, ipsi rudes et crassi, quod sensuali modo audiat quisquam a patre, videns eum humano modo, ait:

Vers. 46. *Non — viderit.* Vt sensibiliter ab eo audire possit: Deum enim nemo vidit vnquam.

Vers. 46. *Nisi — Deo.* Nisi is, qui natus est a Deo. Hoc enim nunc significat, Esse a Deo. Cur quare id non posuit manifestius? Propter illorum insensibilitatem: si enim, quum dixisset, De coelo descendi, offendiculum passi sunt, quidnam illis accidisset, si id etiam planius dixisset?

Vers. 46. *Hic vidit patrem.* Vtpote eiusdem naturae, substantiae, et scientiae, et qui est in sinu patris. Atqui etiam spiritus sanctus videt eum, tanquam et ipse eiusdem naturae, substantiae et scientiae, et quae est in patre: sed nondum tempus erat, vt de spiritu sancto doceret: nam qui de

6) Inclusa absunt. A.
7) ὁ, omittit. A.
8) ὃν, pro ὢν. B.
9) Inclusa absunt. A.

Verſ. 44. Καὶ — ἡμέρᾳ. Τὸν ἐλθόντα, δηλαδὴ, πρὸς ἐμὲ, εἴτουν, τὸν πιςεύσαντα εἰς ἐμέ. πάλιν οὖν, τὸ καὶ ἐγὼ ἀναςήσω αὐτόν. παραδεικνύει γὰρ τὸ οἰκεῖον ἀξίωμα, καὶ τῇ συνεχείᾳ τῶν τοιέτων λόγων καθικνεῖται τῆς ἀναισθησίας αὐτῶν.

Verſ. 45. Ἔςι γεγραμμένον — Θεοῦ. Τῦτο τέθεικε, βεβαιῶν, ὅτι ὁ πατὴρ ἑλκύει τὺς ἐρχομένους πρὸς αὐτόν. πάντες δὲ, οἱ ἐρχόμενοι δηλονότι πρὸς αὐτὸν, οἱ πιςεύοντες εἰς αὐτὸν, ἢ οἱ βουλόμενοι. [οὐδένα γὰρ [6]) μὴ βουλόμενον] ἑλκύει.

Verſ. 45. Πᾶς — με. Ὁ ἀκούων, νοερῶς περὶ ἐμοῦ. ἵνα γὰρ μὴ ὑπολάβωσι, παχεῖς ὄντες, ὅτι αἰσθητῶς ἀκούει τις παρὰ τῦ πατρὸς, ὁρῶν αὐτὸν ἀνθρωποπρεπῶς, φησίν·

Verſ. 46. Οὐχ — ἑώρακεν. Ἵνα καὶ αἰσθητῶς ἀκούῃ παρ' αὐτῦ. Θεὸν [g]) γὰρ οὐδεὶς ἑώρακε πώποτε. g) Io. I, 18.

Verſ. 46. Εἰ μὴ — Θεῦ. Εἰ μὴ ὁ γεννηθεὶς ἐκ τῦ Θεῦ. τῦτο γὰρ δηλοῖ νῦν, τὸ [7]) ὁ ὢν παρὰ τῦ Θεῦ. καὶ διατί μὴ τρανότερον αὐτὸ τέθεικε; διὰ τὴν ἐκείνων ἀσθένειαν. εἰ γὰρ, εἰπόντος, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, ἐσκανδαλίσθησαν, τί οὐκ ἂν ἐποίησαν, εἰ καὶ τοῦτο φανερῶς εἶπεν;

Verſ. 46. Αὐτὸς ἑώρακε τὸν πατέρα. Ὡς τῆς αὐτῆς ὐσίας καὶ φύσεως καὶ γνώσεως, καὶ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός. καὶ μὴν καὶ τὸ πνεῦμα τὸ ἅγιον ὁρᾷ αὐτὸν, ὡς καὶ αὐτὸ τῆς αὐτῆς ὐσίας καὶ φύσεως καὶ γνώσεως, καὶ [8]) ὢν ἐν τῷ πατρί. ἀλλ' ὔπω καιρὸς ἦν διδάσκειν περὶ τοῦ ἁγίου πνεύματος. [οἱ γὰρ [9]) μήπω περὶ τοῦ υἱοῦ πιςεύ-

de filio adhuc non crediderant, nequaquam de spiritu sancto credidissent.

Vers. 47. *Amen — aeternam*. Hoc etiam superius dixit, quum ait, Vt omnis qui videt filium, et credit in eum, habeat vitam aeternam.

Vers. 48. *Ego — vitae*. Praeterea et hoc in superioribus dixit. Est autem panis vitae, tanquam doctrina nutriens animas, vitamque conseruans, et hanc aeternam. Paulatim autem hos adducit, ac leniter, quae ad diuinitatem suam spectant, aperit.

Vers. 49. *Patres — mortui sunt*. Quia in superioribus dixerant, Patres nostri manna comederunt in deserto, nunc comparationem facit inter illud manna et hunc panem, qui videlicet de coelo descendit, et est panis vitae.

Vers. 50. *Hic — moriatur*. Qui de coelo descendit, vt nutriat, ac immortales reddat. Deinde sermonem explanat, et docet, quis sit panis, quem dicit.

Vers. 51. *Ego — vitae*. — Semper viuens ac vitam praebens.

Vers. 51. *Qui — descendit*. Quoad diuinitatem. Superius quoque idem de seipso variis in locis dixit, iteratione excitans eos, vt interrogarent, quomodo esset panis viuus seu viuificans, et quonam modo de coelo descendisset. Verum illi solam ventris curam spectantes, caetera omnia superflua ducebant, quemadmodum praediximus.

Vers. 51. *Si — aeternum*. Si quis doctrinae illius particeps fuerit. Nam qui eam participat, ex eo comedit: siquidem et ipsa cibus est animam

σαντας, οὐκ ἂν ἐπίστευσαν περὶ τοῦ ἁγίου πνεύματος.]

Vers. 47. Ἀμὴν — αἰώνιον. Καὶ ἀνωτέρω εἶπε τοῦτο, λέγων· ἵνα[h]) πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον. h) Io. 6, 40.

Vers. 48. Ἐγώ — ζωῆς. Ἔτι ἀνωτέρω εἶπε καὶ τοῦτο. ἄρτος δέ ἐστι τῆς ζωῆς, ὡς τρέφων τῇ διδασκαλίᾳ τὰς ψυχὰς, καὶ συγκρατῶν τὴν ζωὴν, καὶ ταύτην, καὶ τὴν αἰώνιον. κατὰ μικρὸν δὲ ἀνάγει τούτους, καὶ ὁμαλῶς ἀποκαλύπτει τὰ περὶ τῆς ἑαυτοῦ θεότητος.

Vers. 49. Οἱ πατέρες — ἀπέθανον. Ἐπεὶ προλαβόντες εἶπον αὐτῷ· ὅτι[i]) οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ· ποιεῖται νῦν σύγκρισιν ἐκείνου τε τοῦ μάννα καὶ τούτου τοῦ ἄρτου, τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος, ἤτοι, τοῦ ἄρτου τῆς ζωῆς. i) Io. 6, 31.

Vers. 50. Οὗτός — ἀποθάνῃ. Ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἕνεκεν τοῦ θρέψαι καὶ ἀθανατίσαι. εἶτα σαφηνίζει τὸν λόγον, καὶ διδάσκει, τίς ἐστιν ὁ ἄρτος, ὃν λέγει.

Vers. 51. Ἐγώ — ὁ ζῶν. Ὁ ζῶν ἀεὶ, καὶ ζωὴν παρέχων.

Vers. 51. Ὁ — καταβάς. Τῇ θεότητι. καὶ ἀνωτέρω δὲ ταῦτα περὶ ἑαυτοῦ διαφόρως εἶπε, τῇ συνεχείᾳ διερεθίζων αὐτοὺς εἰς τὸ ἐρωτῆσαι, πῶς ἄρτος ἐστὶ ζωηρὸς, καὶ πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν· ἀλλ' ἐκεῖνοι πρὸς μόνην ὁρῶντες τὴν θεραπείαν τῆς γαστρὸς, πάντα τἆλλα περιττὰ ἐνόμιζον, ὡς προειρήκαμεν.

Vers. 51. Ἐάν — αἰῶνα. Ἐάν τις μετάσχῃ τῆς διδασκαλίας αὐτοῦ. ἐσθίει γὰρ ἐξ αὐτοῦ, ὁ μεταλαμβάνων ταύτης. βρῶσις γὰρ καὶ

animam nutriens. Viuet in aeternum, siue semper, vtpote nunquam moriturus morte animae: mors autem animae est separatio a Deo; quemadmodum etiam mors corporis est ipsius ab anima separatio. Nam ipsa anima corpus viuificat, animam vero Deus.

Atqui plures perierunt, qui doctrinae Christi fuerunt participes: sed illi tali participatione male vsi sunt: nunc autem de his est sermo, qui ea bene vsi sunt, non de illis, qui eam prauorum commixtione dogmatum, aut conuersationis prauitate corruperunt. Ostendit ergo, quod praestantiorem illis cibum tribuat, quam fuerit manna, quod comederunt patres eorum in deserto: illi siquidem, postquam comederunt, mortui sunt: qui vero ex hoc edunt, viuent in aeternum.

Vers. 51. *Et — est.* Duobus modis Christus dicitur esse panis, secundum diuinitatem videlicet et humanitatem. Postquam ergo docuit de modo, qui secundum diuinitatem est, nunc etiam docet de modo, qui est secundum humanitatem.

Non autem dixit, Quem do, sed quem dabo: daturus namque erat in vltima coena, quando sumtum panem actis gratiis fregit, deditque discipulis, et ait, Accipite, comedite: hoc est corpus meum.

Quaere ergo sexagesimum quartum caput euangelii secundum Matthaeum: et vbi positum est, In remissionem peccatorum, lege totam enarrationem: ac inuenies, quomodo corpus eius fit panis.

Vers. 51.

[1]) πολλοὶ μὲν ἔλαβον. A.
[2]) Forte χρησαμένων, vt antea, et mox διαφθεράντων.

αὐτῇ, τρέφουσα τὴν ψυχήν. ζήσεται δὲ εἰς τὸν αἰῶνα, ἤγουν, ἀεὶ, ὡς μηδέποτε ἀποθνήσκων τὸν ψυχικὸν θάνατον. ψυχικὸς δὲ θάνατος, ὁ ἀπὸ τοῦ θεοῦ χωρισμός· ὥσπερ καὶ σωματικὸς θάνατος, ὁ ἀπὸ τῆς ψυχῆς χωρισμός. ζωοῖ γὰρ τὸ σῶμα μὲν, ἡ ψυχή· τὴν ψυχὴν δὲ, ὁ θεός.

Καὶ μὴν, πολλοὶ[1]) μετέλαβον τῆς διδασκαλίας τοῦ χριστοῦ, καὶ ἀπώλοντο· ἀλλὰ κακῶς ἐχρήσαντο τῇ μεταλήψει· νῦν δὲ περὶ τῶν καλῶς αὐτῇ[2]) χρωμένων ὁ λόγος, οὐ περὶ τῶν διαφθειράντων αὐτὴν, ἐπιμιξίᾳ δογμάτων πονηρῶν, ἢ φαυλότητι πολιτείας. ἔδειξεν οὖν, ὅτι κρείττονα ἄρτον τούτοις δίδωσι παρὰ τὸ μάννα, ὃ ἔφαγον οἱ πατέρες αὐτῶν ἐν τῇ ἐρήμῳ. ἐκεῖνο μὲν γὰρ οἱ φαγόντες ἀπέθανον, ἐκ τούτου δὲ οἱ τρώγοντες ζήσονται εἰς τὸν αἰῶνα.

Verſ. 51. Καὶ — ἐστί. Κατὰ δύο τρόπους ἄρτος ἐστὶν ὁ χριστὸς, κατά τε τὴν θεότητα, καὶ κατὰ τὴν ἀνθρωπότητα. διδάξας οὖν περὶ τοῦ κατὰ τὴν θεότητα, νῦν διδάσκει καὶ περὶ τοῦ κατὰ τὴν ἀνθρωπότητα.

Οὐκ εἶπε δὲ, ὅτι ὃν δίδωμι, ἀλλ᾽ ὅτι ὃν δώσω. ἔμελλε γὰρ αὐτὸν δώσειν ἐν τῷ τελευταίῳ δείπνῳ, ὅτε[k]) λαβὼν τὸν ἄρτον, καὶ[3]) εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. k) Matt. 26,26.

Ζήτησον οὖν τὸ ἑξηκοστὸν τέταρτον κεφάλαιον τοῦ κατὰ ματθαῖον,[4]) καὶ, ἔνθα κεῖται, τὸ εἰς ἄφεσιν[l]) ἁμαρτιῶν, ἀνάγνωθι τὴν ἐξήγησιν ὅλην, l) Matt. 26,28.
καὶ εὑρήσεις πῶς ἐστι τὸ σῶμα αὐτοῦ ἄρτος.

3) Etenim εὐχαριστήσας illo in loco, non εὐλογήσας, habent Codd. Euthym. et alii permulti.

4) καὶ, abeſt. A.

Vers. 51. *Quam — vita.* Dabo in mortem. Hic enim crucifixionem suam praesignat. Dicens autem, Quam ego dabo, vltroneam fuisse significat huiusmodi passionem.

Vers. 52. *Decertabant — ad comedendum?* Turbabantur, non potentes sermoni credere, quod hoc impossibile videretur. Nam quum omnia secundum naturam inquirerent, nihil, quod supra naturam erat, admittebant.

Vers. 53 *Dixit — vobis.* Illi quidem hoc impossibile iudicabant: ipse vero omnino possibile ostendit: neque id tantum, sed etiam necessarium: quod etiam fecit ad Nicodemum. Addit autem et de sanguine, significans de pane ac poculo, quae, vt dictum est, daturus erat discipulis in vltima coena. Rursus autem vitam dicit aeternam siue beatam.

Vers. 54. *Qui — aeternam.* Continue in sermone de sacramentis immoratur, rei necessitatem ostendens, puta, quod hoc omnino fieri oporteat.

Vers. 54. *Et — die.* Crebro sermonem de vita et resurrectione repetit, cupiens eum menti auditorum inprimi. Quae ergo variis in locis praemisimus, ea nunc in summam colligenda sunt. Ex quo omnes homines resuscitandi sunt, omnesque perpetuo victuri, intelligere conuenit resurrectionem iustorum quidem, eam, quae erit in fruitione: peccatorum vero, quae in supplicio. Rursum vitam aeternam iustorum, eam, quae erit in requie: peccatorum autem, quae in tormentis.

Vers. 55.

5) ὑπερφυῶς παραδέχονται. A.
6) σφόδρα ἀδύνατον. B.
7) Malim, προσημαίνων.

Verſ. 51. Ἣν — ζωῆς. Δώσω, εἰς θάνατον. ἐνταῦθα γὰρ τὴν ςαύρωσιν αὐτȣ͂ προσημαίνει. τὸ δὲ, ἣν ἐγὼ δώσω, τὸ ἑκούσιον ἐμφαίνει τȣ͂ τοιȣ́τȣ πάθους.

Verſ. 52. Ἐμάχοντο — φαγεῖν; Ἐταράττοντο, μὴ δυνάμενοι πιςεύειν τῷ λόγῳ, διὰ τὸ δοκεῖν ἀδύνατον. πάντα γὰρ κατὰ φύσιν ἐξετάζοντες, ȣ̓δὲν ὑπερφυὲς [5]) παρεδέχοντο.

Verſ. 53. Εἶπεν — ἑαυτοῖς. Ἐκεῖνοι μὲν, ἀδύνατον τȣ͂το ὑπελάμβανον· αὐτὸς δὲ δείκνυσιν αὐτὸ καὶ σφόδρα [6]) δυνατόν· καὶ ȣ̓ τȣ͂το μόνον, ἀλλὰ καὶ ἀναγκαῖον, ὅπερ καὶ ἐπὶ τȣ͂ νικοδήμου πεποίηκε. προστίθησι δὲ καὶ περὶ τȣ͂ αἵματος, σημαίνων [7]) περὶ τȣ͂ ἄρτου καὶ τȣ͂ ποτηρίȣ, ἃ ἔμελλεν, ὡς εἴρηται, δȣ͂ναι τοῖς μαθηταῖς ἐν τῷ τελευταίῳ δείπνῳ. ζωὴν δὲ πάλιν λέγει, τὴν αἰώνιον, ἤτοι, τὴν μακαρίαν.

Verſ. 54. Ὁ — αἰώνιον. Συνεχῶς ςρέφει τὸν περὶ τῶν μυςηρίων λόγον, δεικνὺς τὸ ἀναγκαῖον τȣ͂ πράγματος, ὅτι πάντως γενέσθαι τȣ͂το χρή.

Verſ. 54. Καὶ — ἡμέρᾳ. Πυκνῶς [8]) ἐλίττει καὶ τὸν περὶ τῆς ζωῆς, καὶ τῆς ἀναςάσεως λόγον, βȣλόμενος αὐτὸν ἐντυπῶσαι τῇ διανοίᾳ τῶν ἀκουόντων. ἃ δὲ διαφόρως προεςειλάμεθα, ταῦτα νῦν συλλήβδην ἀνακεφαλαιωτέον· ὅτι ἐπεὶ πάντες ἄνθρωποι ἀναςήσονται, καὶ πάντες ζήσονται αἰωνίως, προσήκει νοεῖν ἀνάςασιν, ἐπὶ τῶν δικαίων μὲν, τὴν ἐπὶ ἀπολαύσει ἐπὶ τῶν ἁμαρτωλῶν δὲ, τὴν ἐπὶ κολάσει· καὶ αὖ ζωὴν μὲν αἰώνιον, ἐπὶ τῶν δικαίων, τὴν ἐν ἀπολαύσει· ἐπὶ δὲ τῶν ἁμαρτωλῶν, τὴν ἐν κολάσει.

Verſ. 55.

8) Plerumque ſpiritu leni ſcribunt Codices, vt hic vterque.

Verſ. 55. *Caro enim — potus.* Verus eſt cibus, ſiue aptiſſimus, vtpote animam, quae propriiſſima hominis pars eſt, nutriens: et ſimiliter de ſanguine. Aut hoc dixit, confirmans, quod non aenigmatice, neque parabolice loqueretur.

Verſ. 56. *Qui — illo.* In me manet, vnitur mihi per tranſumtionem et communicationem meae carnis meique ſanguinis, et vnum corpus mecum efficitur, ac particeps vitae, quae in me eſt: quod ſi ille in me eſt, vtique et ego in illo.

Verſ. 57. *Sicut — patrem.* Sicut, qui ſemper viuit pater, miſit me, ita et ego immutabiliter viuo, eo quod à viuente patre natus ſim.

† In cognitionem nos inducit, quod principium habeat, et non ſit absque principio ſicut pater. Aut etiam alio modo: Propter patrem, id eſt, quia pater viuit: niſi enim ille viueret, neque ego viuerem, quia vero ille viuit et ego viuo: et niſi ille haberet, quaecunque habet, neque ego haberem, quaecunque habeo. Siquidem nobis omnia ſunt eadem, exceptis perſonalibus proprietatibus.

Verſ. 57. *Et — me.* Quemadmodum ego viuo, quia natus ſum a viuente patre, ita et qui edit me, ipſe quoque viuet, eo quod me, qui vita ſum, ederit, vitamque participauerit.

Verſ. 58. *Hic — qui deſcendit.* Hic, puta, qui vitam praeſtat ſempiternam.

Verſ. 58. *Non — mortui ſunt.* Non mortui ſunt, qui illum ederunt, videlicet. Sicut patres veſtri comederunt manna et mortui ſunt. Verum ſicut hi, qui manna illud comederunt, carne

9) ἀληθὴς enim, non ἀληθῶς, legit.

r) ζῶν omittit. A. Malim tollere prius ζῶν.

Vers. 55. Ἡ γὰρ σάρξ — πόσις. Ἀληθής[9]) ἐςι βρῶσις, ἤτοι, κυριωτάτη, ὡς τὸ κυριώτατον μέρος τῦ ἀνθρώπου τρέφουσα, τὴν ψυχήν· καὶ τὸ αἷμα δὲ, ὁμοίως. ἢ ταῦτα εἶπε, βεβαιῶν, ὅτι οὐκ αἴνιγμα λέγει, ὐδὲ παραβολήν.

Vers. 56. Ὁ — αὐτῷ. Ἐν ἐμοὶ μένει, ἑνοῦταί μοι, διὰ τῆς μεταλήψεως καὶ κοινωνίας τῆς ἐμῆς σαρκὸς καὶ τῦ ἐμῦ αἵματος, καὶ σύσσωμός μοι γίνεται, καὶ μέτοχος τῆς ἐν ἐμοὶ ζωῆς· εἰ δ' ἐκεῖνος ἐν ἐμοὶ, πάντως κἀγὼ ἐν αὐτῷ.

Vers. 57. Καθὼς — πατέρα. Καθὼς ζῶν ἀπέςειλέ με ὁ[1]) ζῶν πατὴρ, ὕτω κἀγὼ ζῶ ἀπαραλλάκτως, διὰ τὸ γεννηθῆναι ἐκ ζῶντος πατρός.

[Γνῶσιν[2]) ἡμῖν[3]) εἰσάγει, τῦ ἔχειν ἀρχὴν, καὶ μὴ εἶναι ἄναρχος, ὥσπερ ὁ πατήρ. ἢ καὶ ἑτέρως, διὰ τὸ ζῆν τὸν πατέρα.[4]) εἰ μὴ γὰρ ἐκεῖνος ἔζη, οὐδὲ ἐγὼ ἔζων· ἐπεὶ δὲ ἐκεῖνος ζῇ, ζῶ κἀγώ, καὶ εἰ μὴ ἐκεῖνος εἶχεν, ὅσα ἔχει, ὐδὲ ἐγὼ εἶχον, ὅσα ἔχω. ἴσα γὰρ ἡμῖν πάντα, χωρὶς τῶν προσωπικῶν ἰδιοτήτων.]

Vers. 57. Καὶ ὁ τρώγων ἐμέ. Ὥσπερ ἐγὼ ζῶ, διὰ τὸ γεννηθῆναι ἐκ ζῶντος πατρὸς· ὕτω καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται, διὰ τὸ τρώγειν ἐμὲ τὴν ζωὴν, καὶ μεταλαμβάνειν τῆς ζωῆς.

Vers. 58. Οὗτος — καταβάς. Οὗτος, ὁ ζωὴν αἰώνιον χορηγῶν.

Vers. 58. Οὐ — ἀπέθανον. Οὐκ ἀποθανῦνται, οἱ τρώγοντες αὐτὸν δηλονότι, καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον, καὶ μὴν, ὥσπερ οἱ τὸ μάννα ἐκεῖνο φαγόντες ἀπέ-

[2]) Haec in margine habent Codices.

[3]) Hentenius reddidit, ac si legerit: εἰς γνῶσιν ἡμᾶς εἰσάγει.

[4]) Intellige, ζῶ κἀγώ.

ne mortui sunt, ita et qui panem hunc edunt, carne moriuntur. Sed hi soli, quum in spe vitae aeternae moriantur, non videntur mori, sed obdormire.

Vers. 58. *Qui — aeternum.* Merito sermoni de pane ac de vita immoratus est, sciens illum quidem necessarium, hanc vero dulcem hominibus: panem sane corporalem corporalibus, spiritualem autem spiritualibus: similiter et vitam corporalem corporalibus, spiritualem vero spiritualibus.

Vers. 59. *Haec* — v. 60. *audire?* Durus est, hoc est, aegre admitti potest: Hic sermo, puta, de ipso comedendo: quis illum potest admittere? Qui vero hoc dicebant, e discipulis quidem eius erant, non tamen e duodecim, sed e septuaginta.

Quidam vero ex his fuisse aiunt, qui alias ab eo edocti erant: nam et alii multi frequenter sequebantur illum. Qui ergo discessuri erant, sibi scilicet patrocinabantur; quum potius conuenienti tempore remansisse oportuerit ac obedisse in eo, quod difficile videbatur et non desperasse: nam ita duodecim illi fecerunt. Candidi siquidem discipuli est, omnia, quae iubet praeceptor, absque curiositate excipere, et vbi sese offert opportunitas, verecunde de his interrogare, quae eius excedunt intelligentiam.

Vers. 61. *Sciens — offendiculo?* Sane et hoc diuinitatem eius demonstrabat, puta, quae apud illos occulta erant, ferre in medium: nam occulta apud se murmurauerant.

Vers. 62.

ἀπέθανον τῇ σαρκὶ, οὕτω καὶ οἱ τὸν ἄρτον τοῦτον τρώγοντες ἀποθνήσκουσι τῇ σαρκί· ἀλλ᾽ οὗτοι μόνοι ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου ἀποθνήσκοντες, οὐ δοκοῦσιν ἀποθανεῖν, ἀλλ᾽ ὑπνοῦν.

Vers. 58: Ὁ — αἰῶνα. Ἱκανῶς ἐνδιέτριψε τῷ περὶ τοῦ ἄρτου καὶ περὶ τῆς ζωῆς λόγῳ, γινώσκων, τὸν μὲν ἀναγκαῖον, τὴν δὲ γλυκεῖαν τοῖς ἀνθρώποις· τὸν μὲν σωματικὸν ἄρτον, τοῖς σωματικοῖς· τὸν δὲ πνευματικὸν, τοῖς πνευματικοῖς· καὶ τὴν μὲν σωματικὴν ζωὴν, τοῖς σωματικοῖς· τὴν δὲ πνευματικὴν, τοῖς πνευματικοῖς.

Vers. 59. Ταῦτα — v. 60. ἀκούειν; Σκληρός ἐστιν, ἤτοι, δυσπαράδεκτος οὗτος ὁ λόγος, ὁ τοῦ τρώγειν αὐτὸν, τίς δύναται αὐτὸν παραδέχεσθαι; οἱ τοῦτο δὲ εἰπόντες, μαθηταὶ μὲν αὐτοῦ ἦσαν· οὐκ ἐκ τῶν δώδεκα δέ· ἀλλ᾽ ἐκ τῶν ἑβδομήκοντα.

Τινὲς δὲ φασιν, ὅτι ἐκ τῶν ἄλλως [5]) μαθητευομένων αὐτῷ. πολλοὶ γὰρ καὶ ἕτεροι ἠκολούθουν αὐτῷ πολλάκις. μέλλοντες οὖν ἀποπηδᾷν, ὑπεραπολογοῦνται δῆθεν ἑαυτῶν. ἔδει δὲ αὐτοὺς ἀναμεῖναι τὸν προσήκοντα καιρὸν, καὶ πυθέσθαι περὶ τοῦ δοκοῦντος δυσχεροῦς, καὶ μὴ ἀπαγορεύειν. οὕτω γὰρ οἱ δώδεκα μαθηταὶ πεποιήκασι. μαθητοῦ γὰρ εὐγνώμονος, ἀπεριέργως πάντα δέχεσθαι τὰ τοῦ διδασκάλου, καὶ καιροῦ καλοῦντος, εὐλαβῶς ἐρωτᾷν περὶ τῶν ὑπερβαινόντων τὴν αὐτοῦ διάνοιαν.

Vers. 61. Εἰδὼς — σκανδαλίζει; Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ θεότητος ἀπόδειξις, τὸ τὰ ἀπόρρητα αὐτοῖς φέρειν εἰς μέσον. καθ᾽ ἑαυτοὺς γὰρ ἀπορρήτως ἐγόγγυζον.

Vers. 62.

[5]) Extra numerum duodecim et septuaginta, οἱ ἐν τάξει μαθητῶν ἠκολούθησαν αὐτῷ.

Verſ. 62. *Si — erat?* Deficit, quid Dicetis? Loquitur autem de futura ſui in coelum aſſumtione. Aſcendentem, quoad humanitatem: vbi prius erat, quoad diuinitatem. Qui enim potest hanc carnem reddere coeleſtem, poteſt vtique et ipſam cibum hominum efficere.

Verſ. 63. *Spiritus — quicquam.* Spiritum nunc vocat intellectum ſpiritualem eorum, quae dicta ſunt. Similiter et carnem, intelligere ea carnaliter: non enim de carne ipſius, quae viuificat, nunc ſermo eſt. Ait ergo, Haec ſpiritualiter intelligere, vitam praebet, quam ſupra dixi: carnaliter vero ea intelligere non prodeſt quicquam.

Verſ. 63. *Verba — ſunt.* Spiritualia et viuifica ſunt: oportet namque non ſimpliciter ea intueri, id enim eſt carnaliter intelligere, ſed aliud quippiam imaginari, et interioribus oculis ea aſpicere, tanquam myſteria, nam hoc eſt ſpiritualiter intelligere,

Verſ. 64. *Sed — ipſum.* Non ſolum praeſcientiam, ſed et clementiam ſuam oſtendit: quia non a tempore, quo murmurare coeperunt, verum etiam ab initio cognoſcebat credentes, et tamen omnes pariter docebat.

Verſ. 65. *Et — meo.* Propterea, quia videlicet ſunt quidam, qui non credunt. Continue autem Deum patrem ſuum nominat, docens, quod non ſit filius Ioſeph, ſicut illi putabant.

Verſ. 66. *Ex — ambulabant.* Ex hoc, id eſt, ab eo tempore, abierunt retrorſum, hoc eſt, abſciſſi ſunt ab eo, qui videlicet antea murmura-

Verſ. 62. Ἐὰν — πρότερον; Λείπει τὸ, τί ἐρεῖτε; ἔλεγε δὲ περὶ τῆς ἐς ὕστερον εἰς οὐρανὸν ἀναλήψεως αὐτοῦ. ἀναβαίνοντα, τῇ ἀνθρωπότητι· ὅπου ἦν τὸ πρότερον, τῇ θεότητι. ὁ γὰρ δυνάμενος τὴν σάρκα ταύτην οὐράνιον ποιῆσαι, δύναται πάντως αὐτὴν καὶ τροφὴν ἀνθρώπων ἀπεργάσασθαι.

Verſ. 63. Τὸ πνεῦμα — οὐδέν. Πνεῦμα λέγει νῦν, τὸ πνευματικῶς νοεῖν τὰ ῥηθέντα. ὁμοίως δὲ καὶ σάρκα, τὸ σαρκικῶς νοεῖν αὐτά. οὐ γὰρ περὶ τῆς ζωοποιοῦ σαρκὸς αὐτοῦ νῦν ὁ λόγος. Φησὶ τοίνυν, ὅτι τὸ μὲν πνευματικῶς νοεῖν ταῦτα, ζωὴν παρέχει, τὴν ἀνωτέρω λεχθεῖσαν· τὸ δὲ σαρκικῶς νοεῖν αὐτὰ, οὐδὲν ὠφελεῖ.

Verſ. 63. Τὰ ῥήματα — ἐστι. Πνευματικά ἐστι καὶ ζωηρά ἐστι, διὸ χρὴ, μὴ ἁπλῶς εἰς αὐτὰ βλέπειν· τοῦτο γάρ ἐστι τὸ σαρκικῶς νοεῖν· ἀλλ᾽ ὑψηλότερόν τι φαντάζεσθαι, καὶ τοῖς ἔνδον ὀφθαλμοῖς αὐτὰ κατοπτεύειν, ὡς μυστήρια· τοῦτο γάρ ἐστι τὸ πνευματικῶς νοεῖν.

Verſ. 64. Ἀλλ᾽ — αὐτόν. Οὐ μόνον τὴν πρόγνωσιν, ἀλλὰ καὶ τὸ ἀνεξίκακον αὐτοῦ δείκνυσιν, ὅτι οὐκ ἀπὸ τοῦ γογγύσαι, ἀλλ᾽ ἐξ ἀρχῆς, καὶ ἄνωθεν ἐγίνωσκε, καὶ τοὺς πιστεύοντας, καὶ τοὺς μὴ πιστεύοντας, καὶ ὅμως κοινῶς πάντας ἐδίδασκε.

Verſ. 65. Καὶ — μου. Διὰ τοῦτο, ποῖον; διὰ τὸ εἶναί τινας, οἳ οὐ πιστεύουσι. συνεχῶς δὲ πατέρα ἑαυτοῦ, τὸν θεὸν ὀνομάζει, διδάσκων, ὅτι οὐκ ἔστιν υἱὸς τοῦ Ἰωσὴφ, ὡς ἐκεῖνοι ᾤοντο.

Verſ. 66. Ἐκ — περιεπάτουν. Ἐκ τούτου, ἀντὶ τοῦ, ἔκτοτε. ἀπῆλθον δὲ εἰς τὰ ὀπίσω, εἴτουν, ἀπεσχίσθησαν, οἱ ἀνωτέρω γογγύσαντες.

murabant. Retrorsum autem intellige mihi, ad vitam priorem, ad quam reuersi sunt.

Vers. 67. *Ait — abire?* Non dixit, Abite et vos: nam id repellentis esset, sed blande interrogauit, ostendens sibi opus non esse ministerio illorum, neque se circumducere illos ad ostentationem, quodque nullum velit inuitum retinere. Sed neque aegre tulit aut redarguit illos, qui retrorsum abierant, veluti facere solemus, ducentes huiusmodi factum, contemtum aut iniuriam: quia omnia gloriae amore facimus.

Vers. 68. *Respondit — abibimus?* Petrus fratrum amator, pro fratribus omnibus respondet. Domine, ad quem abibimus? vehementem erga illum amorem demonstrans, quod videlicet neminem habeant, quem ei praeponant, non parentes, non cognatos, non amicos, et, vt semel dicam, neminem inter omnes. Deinde ne hoc dixisse videatur, quasi non sit, qui eos suscipiat, subiunxit.

Vers. 68. *Verba — habes.* Verba, quae vitam concilient aeternam. Vides, quod verba non erant quae praebuerant offendiculum, sed auditorum segnities: et quia carnaliter ea intelligebant, non spiritualiter. Consequens etenim ac necessarium fuerat, vt illa dicerentur propter Iudaeorum de manna sermonem. Oportuit autem auditores aut spiritualiter ea intelligere, aut, si id necdum poterant, his primum susceptis, postmodum de his diligenter interrogare.

Vers. 69. *Et — viui.* Trigesimo tertio iuxta Matthaeum capite dixit idem, Tu es Christus filius Dei viui. Sed tunc quidem Christus illum beatum praedicauit propter causam ibi dictam: nunc vero,

ὀπίσω δὲ νόει μοι, καὶ τὸν πρότερον βίον αὐτῶν, εἰς ὃν πάλιν ὑπέστρεψαν.

Verſ. 67. Εἶπεν — ὑπάγειν; Οὐκ εἶπεν, ἀπέλθετε καὶ ὑμεῖς· τοῦτο γὰρ ἀπωθουμένου ἦν· ἀλλ' ὁμαλῶς ἠρώτησε, δεικνὺς, ὅτι οὐ δεῖται τῆς διακονίας αὐτῶν, οὐδὲ περιάγει τούτους, ἐπιδεικνύμενος, καὶ ὅτι οὐδένα, μὴ βουλόμενον, βούλεται κατέχειν. οὔτε δὲ ἐδεινοπάθησεν, οὔτε κατηγόρησε τῶν ἀπελθόντων εἰς τὰ ὀπίσω, ὅπερ ποιεῖν εἰώθαμεν ἡμεῖς, καταφρόνησιν καὶ ὕβριν τὸ πρᾶγμα κρίνοντες, διότι μετὰ φιλοδοξίας ἅπαντα πράττομεν.

Verſ. 68. Ἀπεκρίθη — ἀπελευσόμεθα; Ὁ πέτρος, ὁ φιλάδελφος, ὑπεραπολογεῖται πάντων τῶν ἀδελφῶν· κύριε, πρὸς τίνα ἀπελευσόμεθα; τὸ πρὸς αὐτὸν φιλόστοργον ἐμφαίνων, ὅτι οὐκ ἔχουσιν ἕτερον τιμιώτερον αὐτοῦ, οὐ γονεῖς, οὐ συγγενεῖς, οὐ φίλους, οὐχ ἁπλῶς τινα τῶν ἁπάντων. εἶτα, ἵνα μὴ δοκῇ τοῦτο εἰπεῖν, ὡς οὐκ ὄντος τοῦ ὑποδεξομένου αὐτοὺς, ἐπήγαγε.

Verſ. 68. Ῥήματα — ἔχεις. Ῥήματα ζωὴν αἰώνιον προξενοῦντα. ὁρᾷς, ὅτι οὐ τὰ ῥήματα ἦν τὰ σκανδαλίζοντα, ἀλλ' ἡ ἀπροσεξία τῶν ἀκουόντων, καὶ τὸ σαρκικῶς νοεῖν αὐτὰ, καὶ μὴ πνευματικῶς. ἀκόλουθον μὲν γὰρ, καὶ ἀναγκαῖον ἦν, ἐκεῖνα ῥηθῆναι, διὰ τὸν περὶ τοῦ μάννα λόγον τῶν ἰουδαίων· ἔδει δὲ τοὺς ἀκούοντας, ἢ πνευματικῶς ἀκούειν αὐτὰ, ἢ μὴ τοῦτο δυναμένους, δέχεσθαι μὲν ταῦτα, ὕστερον δὲ φιλομαθῶς ἐρωτῆσαι περὶ τούτων.

Verſ. 69. Καὶ — ζῶντος. Καὶ ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον τὸ αὐτὸ εἶπε· σὺ εἶ [m]) ὁ χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ἀλλὰ τότε μὲν ἐμακάρισεν αὐτὸν ὁ χρι-

m) Matt. 16, 16.

vero, quia communiter dixit, Nos credidimus et cognouimus, separat ab illis Iscarioten, tanquam iam fluctuantem.

Verſ. 70. *Respondit — elegi?* Hoc interrogatiue legendum est.

Verſ. 70. *Et* — v. 71. *duodecim.* Num ego vos, inquit, duodecim elegi? et tamen vnus ex vobis in nullo mea adiutus electione, vtpote liberum habens arbitrium ad virtutem et vitium, diabolus est, siue diabolicus, et diaboli minister. Significat itaque in voluntate ac electione hominis situm esse, vt saluetur, aut pereat.

Quidam vero diabolum hoc in loco intellexerunt insidiatorem. Nihil ergo nouum, quod Iudas quum eligeretur bonam habuerit voluntatem, postea autem sit immutatus, tanquam libero vsus arbitrio.

Cap. VII. v. 1. *Et — interficere.*

Non enim poterat, id est, non erat securus, vt versaretur in Iudaea: tanquam de homine enim hoc dixit euangelista: nam sicut homo nunc formidat, non mortem fugiens, sed homicidis parcens, et quia tempus suae passionis nondum aduenerat. Siquidem oportebat eum interdum quidem manere inexpugnabilem, vtpote Deum, quandoque vero tanquam hominem dispensatorie cedere.

Verſ. 2. *Erat — Scenopegia.* Haec celebrabatur in memoriam diei, quo primum Moses

6) *εἰς ἀρετὴν.* A.
7) *δὲ,* interponit. A.
8) Interpretatur ergo lectionem Chrysostomi, *εἶχεν ἐξουσίαν,* pro *ἤθελε,* quam recte hoc loco repudiauit

ὁ χριστὸς, διὰ τὴν ἐκεῖ ἀληθεῖσαν αἰτίαν· νῦν δὲ, ἐπειδὴ κοινῶς εἶπεν, ὅτι πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, διαστέλλει τὸν ἰσκαριώτην ἀπ' αὐτῶν, ἤδη σαλευόμενον.

Verſ. 70. Ἀπεκρίθη — ἐξελεξάμην; Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον.

Verſ. 70. Καὶ — v. 71. δώδεκα. Οὐκ ἐγώ, φησιν, ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ὅμως ἐξ ὑμῶν εἷς, οὐδὲν τῆς παρ' ἐμοῦ ἐκλογῆς ἀπονάμενος, ὡς αὐτεξούσιος[6]) πρὸς ἀρετὴν καὶ κακίαν, διάβολός ἐστιν, ἤγουν, διαβολικὸς, τοῦ διαβόλου ὑπουργός. δῆλον οὖν, ὅτι ἐν τῇ προαιρέσει τοῦ ἀνθρώπου κεῖται, τὸ σώζεσθαι ἢ ἀπολλυσθαι.

Τινὲς δὲ διάβολον νῦν, τὸν ἐπίβουλον ἐνόησαν. οὐδὲν[7]) οὖν καινὸν, ἐν τῷ ἐκλέγεσθαι μὲν, ἀγαθὴν προαίρεσιν ἔχειν τὸν ἰούδαν· ὕστερον δὲ μεταβληθῆναι τοῦτον, ὡς αὐτεξούσιον.

Cap. VII. v. I. Καὶ — ἀποκτεῖναι.

Οὐ γὰρ εἶχεν[8]) ἐξουσίαν, ἤγουν, οὐκ εἶχεν ἄδειαν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν. ὡς περὶ ἀνθρώπου γὰρ τοῦτο εἶπεν ὁ εὐαγγελιστής. ὡς γὰρ ἄνθρωπος ὑπεστέλλετο νῦν, οὐ φεύγων τὸν θάνατον, ἀλλὰ φειδόμενος τῶν φονέων, καὶ ὅτι οὔπω καιρὸς ἦν τοῦ πάθους αὐτοῦ. ἔδει γὰρ αὐτὸν ποτὲ μὲν, ὡς θεὸν, μένειν ἀχείρωτον, ποτὲ δὲ, ὡς ἄνθρωπον, ὑποχωρεῖν οἰκονομικῶς.

Verſ. 2. Ἦν — σκηνοπηγία. Αὕτη ἑορτάζετο εἰς μνήμην τῆς ἡμέρας, καθ' ἣν ὁ μωϋσῆς

diauit Theophylactus. Flumen orationis hic abripuit Chryſoſtomum, deceptum fortaſſe loco ſimili Marc. 6, 5. Largior certe erat dicendi materia, explicandis illis, οὐκ εἶχεν ἐξουσίαν.

ses diuinum fixit tentorium, quod a Beseleel fabricatum est.

Vers. 3. *Dixerunt — eius.* Filii Ioseph, qui adoptione pater eius erat.

Vers. 3. *Transi — facis.* Fingunt quidem de bonis suadere tanquam cognati et amici familiares, finis vero eorum prauus erat, ab inuidia procedens: conabantur siquidem illum in Iudaeam pellicere, vt ab illis occideretur, qui eum quaerebant interficere. Causam autem praetexebant, quod oporteret discipulos quoque eius, qui ibi erant, siue turbas, quae illum in Iudaea sequebantur, intueri signa, quae ipse ederet.

Vers. 4. *Nemo — esse.* Iuxta faciliorem intellectum et qui in promtu est, videntur illum incitare, vt transeat, iuxta profundiorem vero, scommata in eum iaciebant, tanquam in timidum simul et gloriae cupidum. Siquidem in occulto quidem quippiam facere, timidi est; quaerere autem palam esse, siue manifestum et gloriosum, gloriae cupidi est.

Vers. 4. *Si — mundo.* Si haec signa vere et non apparenter facis, manifesta teipsum omnibus Iudaeis. Suspicabantur namque signa haec phantastice fieri.

Hinc ergo manifestum est, quod etiam ibi miracula ediderit, quae omnia praetercurrit Iohannes, quemadmodum alia multa: festinans magis ad ea, quae nouam aliquam afferebant narrationem, et quorum alii nullam fecerant mentionem. Deinde causam etiam dicit talis suspicionis.

Vers. 5. *Neque — eum.* Neque ipsi credebant in eum, tanquam in Deum. Attamen hi,

ἧς ἔπηξε πρῶτον τὴν κατασκευαθεῖσαν ὑπὸ τοῦ Βεσελεὴλ θείαν σκηνήν.

Verſ. 3. Εἶπον — αὐτοῦ. Οἱ τοῦ Ἰωσὴφ υἱοὶ, τοῦ θέσει πατρὸς αὐτοῦ.

Verſ. 3. Μετάβηθι — ποιεῖς. Προσποιοῦνται μὲν ἐπ' ἀγαθῷ συμβουλεύειν, ὡς συγγενεῖς δῆθεν καὶ οἰκειότατοι· σκοπὸς δὲ αὐτοῖς πονηρὸς, ἐκ φθόνου τεχθείς. πειρώμενοι γὰρ μεταγαγεῖν τοῦτον εἰς τὴν Ἰουδαίαν, ἵνα ἀναιρεθῇ παρὰ τῶν ζητούντων ἀποκτεῖναι αὐτὸν, προβάλλονται, τὸ δεῖν καὶ τοὺς ἐκεῖσε ὄντας μαθητὰς αὐτοῦ, ἤτοι, τοὺς ὄχλους, τοὺς ἐν Ἰουδαίᾳ, παρεπομένους αὐτῷ, θεωρεῖν τὰ σημεῖα, ἃ ποιεῖ.

Verſ. 4. Οὐδεὶς — εἶναι. Κατὰ μὲν τὸ προχείρως νοούμενον, δοκοῦσι παραινίζειν αὐτὸν, ἵνα μεταβῇ· κατὰ δὲ τὸ βαθύτερον ἀποσκώπτουσιν, ὡς δειλὸν ἅμα καὶ φιλόδοξον. τὸ μὲν γὰρ ἐν κρυπτῷ τι ποιεῖν, δειλοῦ· τὸ δὲ ζητεῖν ἐν παῤῥησίᾳ εἶναι, ἤτοι, φανερὸν, ἀπόβλεπτον, φιλοδόξου.

Verſ. 4. Εἰ — κόσμῳ. Εἰ ταῦτα τὰ σημεῖα ποιεῖς, καὶ οὐ φαντάζεις, φανέρωσον σεαυτὸν πᾶσιν Ἰουδαίοις. ὑπώπτευον γὰρ καὶ *) τὰ σημεῖα, ὡς φαντασίαν.

Δῆλον οὖν ἐντεῦθεν, ὅτι σημεῖα ἐποίησε κἀκεῖ, ἃ πάντα παρέδραμεν ὁ Ἰωάννης, ὥσπερ καὶ ἄλλα πολλὰ, σπεύδων μᾶλλον ἐπὶ τὰ φέροντα ξένην τινὰ διήγησιν, καὶ ὧν οἱ ἄλλοι οὐκ ἐπεμνήσθησαν. εἶτα λέγει καὶ τὸ αἴτιον τῆς τοιαύτης ὑποψίας.

Verſ. 5. Οὐδὲ — αὐτόν. Οὐδ' αὐτοὶ ἐπίστευον εἰς αὐτὸν, ὡς εἰς Θεὸν, ἀλλ' ὅμως οἱ νῦν τοι-

*) καὶ γάρ. B.

hi, qui tunc tales erant, magni postmodum effecti sunt, multaque a multis pro illo passi sunt, Iacobus videlicet et Iudas. Quid ergo is, qui eorum corda nouerat? Non reprehendit illos, tanquam malos et insidiatores, sed patienter respondet ad intentionem ipsorum.

Vers. 6. *Ait — adest.* Tempus, quo conuenit, vt ego in Iudaeam vadam occidendus, ad quod vos laboratis, nondum adest: quid me vrgetis ante huiusmodi tempus?

Vers. 6. *Tempus autem — paratum.* Tempus, quo vos in Iudaeam abeatis, semper in promtu est, mihi impedimento est tempus, quod nondum adest: vobis autem nihil est impedimento, quum iam vna cum Iudaeis sentiatis.

Vers. 7. *Non — vos.* Vtpote amicos suos et vna secum sentientes: quia vos ad eum acceditis. Mundum autem dicit, Iudaeos mundana sapientes.

Vers. 7. *Me — sint.* Mihi autem inimicus est, quia ego ostendo, quod opera eius mala sint: ideo ego nunc non accedo ad ipsum occidendus, sed quum tempus aduenerit. Ostendit ergo, quod ob id potius oderant ipsum Iudaei, quod illos argueret, quanquam ipsi dicerent se eum odisse, quod legis transgressor esset, Deoque contrarius: et quod non solum sabbathum solueret, sed et patrem suum diceret Deum, aequalem sese faciens Deo.

Tu vero mihi considera, quam mansuete tulerit fratrum consilium, quo insidiis appetebatur. Nos vero non ita, sed statim indignamur ac moleste ferimus, omnibusque modis tales vlciscimur: quo ergo pacto discipuli eius erimus?

Vers. 8.

τοιοῦτοι, μεγάλοι γεγόνασιν ὕστερον, καὶ πολλὰ παρὰ πολλῶν ὑπὲρ αὐτοῦ πεπόνθασιν, ἰάκωβος καὶ ἰούδας. τί οὖν ὁ τὰς καρδίας αὐτῶν εἰδώς; οὐκ ἤλεγξεν αὐτοὺς πονηροὺς καὶ ἐπιβούλους, ἀλλὰ μακροθύμως ἀποκρίνεται πρὸς τὸν σκοπὸν αὐτῶν.

Vers. 6. Λέγει — πάρεστιν. Ὁ καιρὸς ὁ ἐμὸς, ὁ τοῦ ἀπελθεῖν με εἰς τὴν ἰουδαίαν, ἀναιρεθησόμενον, ὡς σπουδάζετε, οὔπω πάρεστι, τί με κατεπείγετε πρὸ τοῦ τοιούτου καιροῦ;

Vers. 6. Ὁ δὲ καιρὸς — ἕτοιμος. Ὁ καιρὸς ὁ ὑμέτερος, ὁ τοῦ ἀπελθεῖν ὑμᾶς εἰς τὴν ἰουδαίαν πάντοτέ ἐστιν εὐχερής. ἐμοὶ μὲν γὰρ ἐμποδίζει, τὸ μήπω παρεῖναι αὐτόν· ὑμῖν δὲ, οὐδὲν, συμφρονοῦσιν ἤδη τοῖς ἰουδαίοις.

Vers. 7. Οὐ — ὑμᾶς. Ὡς φίλους αὐτοῦ, καὶ ὁμόφρονας. διὸ ὑμεῖς ὑπάγετε εἰς αὐτόν. κόσμον γὰρ λέγει, τοὺς κοσμικὰ φρονοῦντας ἰουδαίους.

Vers. 7. Ἐμὲ — ἐστιν. Ἐμοὶ δὲ ἐχθραίνει, διότι ἐγὼ ἀποδεικνύω, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστι. διὸ ἐγὼ οὐχ ὑπάγω εἰς [1]) αὐτὸν ἄρτι, ἀναιρεθησόμενος· ἀλλ᾽ ὅτε ὁ καιρὸς ἐπιστῇ. ἔδειξεν οὖν, ὅτι διὰ τὸ ἐλέγχειν τοὺς ἰουδαίους μᾶλλον ἐμισεῖτο, εἰ καὶ ἐκεῖνοι ἔλεγον, μισεῖν αὐτὸν, ὡς παράνομον, καὶ ἀντίθεον, ὅτι [n]) οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. n) Io. 5, 18.

Σὺ δέ μοι σκόπει, πῶς πρᾴως ἤνεγκε τὴν ἐπίβουλον συμβουλὴν τῶν ἀδελφῶν· ἀλλ᾽ οὐχ ἡμεῖς οὕτως, ἀλλ᾽ εὐθέως ἀγανακτοῦμεν καὶ σχετλιάζομεν καὶ πᾶσι τρόποις ἀμυνόμεθα τοὺς τοιούτους. πῶς οὖν ἐσόμεθα μαθηταὶ αὐτοῦ;

[1]) εἰς αὐτήν. A.

Verſ. 8. *Vos — iſtum.* Hoc eſt praedictum, puta, ſcenopegiorum. Vos qui amici eſtis Iudaeorum, qui periculum nullum timetis.

Verſ. 8. *Ego — iſtum.* Non dixit, Non aſcendam, ſed Nondum aſcendam, hoc eſt, non nunc aſcendam, eo quod nunc viuat ac vigeat excandeſcentia Iudaeorum. Irrationalis namque temeritatis eſt, ſeſe in manifeſtum coniicere periculum.

Verſ. 8. *Quia — impletum eſt.* Tempus vitae meae, qua in terra viuo. Quanquam enim circa futurum paſcha crucifigendus erat; adhuc tamen oportebat miracula operari ac docere, multosque ad fidem attrahere. Non eſt ergo ſermo timoris, ſed diſpenſationis; nam ſi tunc in Iudaeam abiiſſet, omnino ipſum occidere tentaſſent; quod ſi captus tanquam homo occiſus fuiſſet, datum fuiſſet impedimentum his, quae dicturus aut facturus erat: ſi vero non fuiſſet captus, ſed tanquam Deus euaſiſſet, incarnationi eius non fuiſſet habita fides. Tempus itaque debito modo diſponit.

Verſ. 9. *Haec — v. 10. feſtum.* Cum eis non aſcendit, propter dictam cauſam, et ne manifeſtarent eum Iudaeis; poſtmodum autem aſcendit, quum iam furor illorum reprimi inciperet, vt ſcirent, qui timorem eius arguebant, quod timidus non eſſet, ſed congrua diſpenſatione vteretur.

Verſ. 10. *Non — occulto.* Quaſi latenter: adhuc enim verebatur, expectans donec perfecte

*) Repudiauit ergo Chryſoſtomi lectionem, qui οὐκ, loco οὔπω habet. Vide Chryſoſt. T. VIII. p. 285. E. Cyril.

Verf. 8. Ὑμεῖς — ταύτην. Τὴν προειρημένην, τὴν τῶν σκηνοπηγιῶν. ὑμεῖς, οἱ φίλοι τῶν ἰουδαίων, οἱ μηδένα κίνδυνον ὑποπτεύοντες.

Verf. 8. Ἐγὼ — ταύτην. Οὐκ εἶπεν, ȣ̓κ[2]) ἀναβαίνω, ἀλλ᾽ ȣ̓πω ἀναβαίνω, τȣτέςιν, ȣ̓ νῦν ἀναβαίνω, διὰ τὸ ζέειν καὶ ἀκμάζειν νῦν τὸν θυμὸν τῶν ἰουδαίων. θρασύτητος γὰρ ἀλογίςου τὸ ἐπιῤῥίπτειν ἑαυτὸν εἰς πρόδηλον κίνδυνον.

Verf. 8. Ὅτι — πεπλήρωται. Ὁ καιρὸς τῆς ἐμῆς ἐν τῇ γῇ ζωῆς. εἰ γὰρ καὶ κατὰ τὸ μέλλον πάσχειν ςαυρȣ͂σθαι ἔμελλεν, ἀλλ᾽ ἔδει αὐτὸν ἔτι καὶ θαυματουργῆσαι, καὶ διδάξαι, καὶ πολλȣ̀ς εἰς πίςιν ἐπισπάσασθαι. ȣ̓ δειλίας τοίνυν ὁ λόγος, ἀλλ᾽ οἰκονομίας. εἰ γὰρ ἀπῆλθε τότε εἰς τὴν ἰουδαίαν, πάντως ἂν ἐπεχείρησαν ἀνελεῖν αὐτόν. καὶ εἰ μὲν χειρωθεὶς, ὡς ἄνθρωπος,[3]) ἀνῃρέθη, ἐνεποδίσθησαν ἂν, ἃ λέγειν καὶ ποιεῖν ἔμελλεν· εἰ δὲ μὴ χειρωθεὶς, ὡς θεὸς, διέδρα, ἠπιςήθη ἂν ἡ ἐνανθρώπησις αὐτȣ͂. λοιπὸν ȣ̓͂ν οἰκονομεῖ[4]) τὸν καιρόν.

Verf. 9. Ταῦτα — v. 10. ἑορτήν. Σὺν αὐτοῖς μὲν ȣ̓κ ἀνέβη, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ ἵνα μὴ φανερώσωσιν αὐτὸν τοῖς ἰουδαίοις· ὕςερον δὲ ἀνῆλθεν, ἀρξαμένου λοιπὸν τȣ͂ θυμȣ͂ αὐτῶν καταςέλλεσθαι, καὶ ἵνα γνῶσιν οἱ δειλίαν αὐτȣ͂ καταγινώσκοντες, ὅτι ȣ̓κ ἔςι δειλὸς, ἀλλ᾽ οἰκονομικός.

Verf. 10. Οὐ — κρυπτῷ. Ὡς κρυφίως. ἔτι γὰρ ὑπεςέλλετο, περιμένων χαυνωθῆναι

τέλεον

[2]) Cyrillus habet etiam οὐκ. Tom. IV. p. 401. B. ac deinceps.

[3]) ἀφηρέθη. B.

[4]) i. e. οἰκονομικῶς τηρεῖ.

secte deferbuisset ferocitas illorum, et ne cognosceretur etiam a fratribus suis.

Vers. 11. *Iudaei ergo — festo.* Pulchra sane illorum opera in diebus festis, quum illos caedis facerent occasionem. Quum enim in festo occidere eum proposuissent, vtpote tunc etiam aduenturum propter publicum conuentum, eo non inuento, hinc inde errabant.

Vers. 11. *Et — ille?* Neque eum suo nomine volebant appellare propter odium: ostendit tamen sermo quendam irae tumorem.

Vers. 12. *Et — turbis.* Turbatio et contradictio.

Vers. 12. *Quidam — est.* Qui videlicet mente corrupti non erant.

Vers. 12. *Alii — mundum.* Qui mente corrupti erant. Mundum autem dicit multitudinem.

Vers. 13. *Nullus — Iudaeorum.* Nullus eorum, qui dicebant, Bonus est, loquebatur de eo palam, sine audientibus magistratibus, propter timorem illorum.

Vers. 14. *Quum autem iam — templum et docebat.* Ascendit quidem, quum cognouisset extinctam esse illorum ferocitatem. Docebat autem, ostendens sui admirationem. Postquam dimidium festi peractum erat, quarto videlicet die scenopegiorum: nam septem diebus illa celebrabant.

Vers. 15.

5) κατακλέγει αὐτῶν. At lectionem receptam comprobat etiam Chrysost. Tom. VIII. p. 288. B.

6) Malim, ποιουμένων. Potest tamen et hoc defendi. Ex Chrysostomo, qui hic constructionem mutauit, nihil efficitur.

τέλεσαι τὸν θυμόν, καὶ ἵνα μήπω γνωσθῇ μηδὲ τοῖς ἀδελφοῖς αὐτοῦ.

Vers. 11. Οἱ οὖν Ἰουδαῖοι — ἑορτῇ. Καλά γε[5]) αὐτῶν τὰ ἐν ταῖς ἑορταῖς κατορθώματα, ἀφορμὴν φόνου ποιουμένοις[6]) αὐτάς. προμελετήσαντες γὰρ ἐν τῇ ἑορτῇ τοῦτον ἀνελεῖν, ὡς τηνικαῦτα διὰ τὴν πανήγυριν καὶ αὐτὸν συμπαρεσόμενον, ἠπόρησαν, μὴ εὑρισκομένου.

Vers. 11. Καὶ — ἐκεῖνος; Οὐδ᾽ ὀνόματι τοῦτον βούλονται καλεῖν, διὰ τὸ μῖσος, ὅμως ὁ λόγος ἐμφαίνει χαύνωσίν τινα τοῦ θυμοῦ.

Vers. 12. Καὶ — ὄχλοις. Τάραχος, ἀντιλογία.

Vers. 12. Οἱ — ἐστιν. Οἱ ἀδιάφθοροι τὸν νοῦν.

Vers. 12. Ἄλλοι — κόσμον. Οἱ διεφθαρμένοι. κόσμον[7]) δὲ λέγουσι, τὸ πλῆθος.

Vers. 13. Οὐδεὶς — Ἰουδαίων. Οὐδεὶς τῶν λεγόντων, ὅτι ἀγαθός ἐστι, παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ, ἤγουν, εἰς ἐπήκοον τῶν ἀρχόντων, διὰ τὸν φόβον αὐτῶν.

Vers. 14. Ἤδη δὲ — ἱερόν.[8]) Ἀνέβη μὲν, ὅτε ἔγνω σβεσθέντα τὸν θυμὸν αὐτῶν· ἐδίδασκε δὲ, δεικνύων τὸ ἀπτόητον ἑαυτοῦ. μεσούσης δὲ τῆς ἑορτῆς τῶν σκηνοπηγιῶν, ἤγουν, τῇ τετάρτῃ ἡμέρᾳ. ἑπτὰ γὰρ ἡμέρας ἑώρταζον αὐτήν.

Vers. 15.

7) Scilicet, loco ὄχλον, legit κόσμον. Negligentia id accidit. Nam et Chrysost. vulgatum habet. Tom. VIII. p. 288. C. bis. et E. et 289. A.

8) Neuter meorum agnoscit vocabula καὶ ἐδίδασκε.

Verſ. 15. *Et — quum non didicerit?* Admirabantur, non ea, quae docebat, ſed quomodo litteras noſſet, quum non didiciſſet. Conſiderabant enim ea, quae docebat, omni ſapientia eſſe plena: nec talia eum poſſe docere exiſtimabant absque cognitione literarum. Oportuit autem cognoſcere, quod Deus eſſet, ipſa ſapientia, et qui omnem adinuenerat viam prudentiae.

Verſ. 16. *Reſpondit — me.* Quod dicit Mea, veritatem oſtendit: quod autem ait, Non mea, diſpenſationem ad honorandum patrem ac Deum, et ad oſtendendam modeſtiam, vtque facilius ipſa reciperetur. Neque tamen ob id falſum eſt, quia diſpenſatorium: nam quae filii ſunt, omnino ſunt et patris: ſicut etiam, quae patris, omnino ſunt et filii: vtraque enim ſunt ambobus communia, vtpote aequalibus.

Alio quoque profundiore intellectu. Quae mea apparet eſſe doctrina, non eſt mea propria, neque enim vllam habeo propriam, ſed patris eſt, vtpote illo eadem per me docente, propter naturae ac voluntatis identitatem: et quia verbum illius ſum, quanquam enim ego alia ſim hypoſtaſis, ita tamen dico ac facio omnia, vt nos vnum eſſe intelligatis.

Verſ. 17. *Si — loquar.* Voluntatem Dei vocat nunc, operari virtutem, et prophetiis, quae de ipſo ſunt, attendere: virtus ſiquidem purgat mentem, prophetiae vero ipſam lucide docent. A ſeipſo autem loquitur, qui ea, quae ſuae ſunt voluntatis, loquitur. Deinde etiam ſyllogiſmum inducit, cui nullatenus poſſit contradici.

Verſ. 18.

9) μετὰ πάσης σοφίας. A.

Vers. 15. Καὶ — μὴ μεμαθηκώς; Ἐθαύμαζον, οὐχ ἃ ἐδίδασκεν, ἀλλὰ, πῶς γράμματα οἶδε, μὴ μεμαθηκώς. κατενόουν γὰρ, ἃ ἐδίδασκε, πάσης [o]) μεςὰ σοφίας, καὶ οὐκ ἄνευ εἰδήσεως γραμμάτων τοιαῦτα δύνασθαι διδάσκειν ὑπελάμβανον. ἔδει δὲ αὐτοὺς κἀντεῦθεν συνιδεῖν, ὅτι θεός ἐςιν [1]) αὐτοσοφία, αὐτὸς [o]) ἐξευρὼν πᾶσαν ὁδὸν ἐπιςήμης. o) Baruch. 3, 37.

Vers. 16. Ἀπεκρίθη — με. Τὸ μὲν, ἐμὴ, ἀληθές· τὸ δὲ, οὐκ ἐμὴ, οἰκονομικόν. εἰς τιμὴν δὲ τοῦ πατρὸς καὶ θεοῦ, καὶ εἰς ἀπόδειξιν μετριοφροσύνης, καὶ εἰς τὸ γενέσθαι αὐτὴν εὐπαραδεκτοτέραν. οὐκ ἐπειδὴ δὲ οἰκονομικὸν, διὰ τοῦτο καὶ ψευδές. τὰ γὰρ τοῦ υἱοῦ πάντως καὶ τοῦ πατρός· ὥσπερ καὶ τὰ τοῦ πατρὸς, πάντως καὶ τοῦ υἱοῦ. κοινὰ γὰρ ἀμφοῖν, ὡς ἴσοις.

Καὶ καθ᾽ ἕτερον δὲ τρόπον βαθύτερον. ἡ φαινομένη ἐμὴ διδαχὴ, οὐκ ἔςιν ἐμὴ ἰδίως. οὐδὲ γὰρ ἔχω ἰδίαν, ἀλλὰ τοῦ πατρός ἐςιν, ὡς ἐμοῦ τὰ αὐτὰ ἐκείνῳ διδάσκοντος, διὰ τὸ ταὐτὸν τῆς φύσεως καὶ [2]) θελήσεως, καὶ διὰ τὸ εἶναί με λόγον αὐτοῦ. εἰ γὰρ καὶ ἄλλη ὑπόςασις ἐγὼ, ἀλλ᾽ οὕτω λέγω καὶ πράττω, ὡς νομίζεσθαι ἡμᾶς ἕν.

Vers. 17. Ἐὰν — λαλῶ. Θέλημα τοῦ θεοῦ λέγει νῦν, τὸ ἐργάζεσθαι τὴν ἀρετὴν καὶ προσέχειν ταῖς περὶ αὐτοῦ προφητείαις. ἡ ἀρετὴ μὲν γὰρ καθαίρει τὸν νοῦν· αἱ προφητεῖαι δὲ διδάσκουσιν αὐτὸν τηλαυγῶς. ἀφ᾽ ἑαυτοῦ δὲ λαλεῖ, ὁ τὰ τοῦ ἰδίου θελήματος λαλῶν. εἶτα ἐπάγει καὶ συλλογισμὸν ἀναντίῤῥητον,

Vers. 18.

[1]) Malim, ἐςιν, ἡ αὐτοσοφία.
[2]) καὶ θελήσεως. Absunt. A.

Verf. 18. *Qui — est.* Gloriam intelligit hoc in loco honorem: nam vbique patrem ac Deum praeponebat, et ad illum omnia referebat, etiam propria opera: qui ergo gloriam fuam non quaerebat, quam ob caufam aliena docturus erat: qui autem aliena non docet, fed quae illius funt, qui mifit ipfum, omnino verax eft.

Et vide quomodo omnes ad fidem, quae in fe eft, attrahebat, ac dicebat, Qui non honorat filium, non honorat patrem, qui mifit illum. Siquidem ex hoc propriam gloriam quaerere videbatur: non tamen, quafi propriae amator gloriae, haec dicebat aut faciebat, fed quafi hominum cupiens falutem: nam hanc per fidem, quae in ipfum erat, procurare oportebat. Pater namque dixit, Hic eft filius meus dilectus, in quo mihi complacitum eft, ipfum audite, aliaque multa huiusmodi per prophetas.

Verf. 18. *Et — est.* Neque enim iniuftus eft, qui eius quaerit gloriam, qui mifit illum. Quidam autem iniuftitiam hoc in loco mendacium intellexerunt. Plurimae itaque erant caufae, cur humilia Chriftus loqueretur: tum ne ingenitus effe putaretur: aut Deo contrarius crederetur: ad haec, propter auditorum imbecillitatem: praeterea, vt homines doceret modeftos effe, et nihil de fe ipfis magnificum dicere: demum, vt tanquam homo loqueretur, ac propter alia huiusmodi. Vnica autem caufa erat, cur fublimia loqueretur, celfitudo videlicet diuinitatis.

Quia vero hi Iudaei duo crimina ipfi impingebant, puta, legis transgreffionem, et quod Deo effet

3) Hentenius ante πῶς interponit ὅρα, quo tamen non eft opus.

4) ηὐδόκησα. A.

Verſ. 18. Ὁ — ἐστιν. Δόξαν ἐνταῦθα, τὴν τιμήν φησι. πανταχοῦ γὰρ τὸν πατέρα καὶ θεὸν προστίθει, καὶ αὐτῷ πάντα ἀνετίθει, καὶ τὰ ἑαυτοῦ κατορθώματα. μὴ ζητῶν οὖν δόξαν ἰδίαν, τίνος ἕνεκεν ἔμελλεν ἕτερα διδάσκειν; μὴ διδάσκων δὲ ἕτερα, ἀλλὰ τὰ τοῦ πέμψαντος αὐτὸν, ἀληθής ἐστι πάντως.

Καὶ πῶς [3]) πάντας εἷλκε πρὸς τὴν εἰς ἑαυτὸν πίστιν, καὶ ἔλεγεν, ὁ [p]) μὴ τιμῶν τὸν υἱὸν, p) Io. 5, 23. οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν; δοκεῖ γὰρ ἐντεῦθεν δόξαν ἰδίαν ζητεῖν· ἀλλ' οὐχ, ὡς δόξης ἰδίας ἐρῶν, ταῦτα ἐποίει καὶ ἔλεγεν· ἀλλ', ὡς θέλων τὴν σωτηρίαν τῶν ἀνθρώπων. αὕτη γὰρ διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ οὐχ ἑτέρως, ἔμελλε γίνεσθαι. εἴρηκε γὰρ ὁ πατήρ· οὗτός [q]) ἐστιν ὁ q) Matth. 17, 5 υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ [4]) εὐδόκησα· αὐτοῦ ἀκούετε· καὶ ἄλλα πολλὰ τοιαῦτα διὰ τῶν προφητῶν.

Verſ. 18. Καὶ — ἐστιν. Οὐκ ἄδικος γὰρ ὁ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν. τινὲς δὲ ἀδικίαν ἐπὶ τοῦ παρόντος, τὸ ψεῦδος ἐνόησαν. τοῦ μὲν οὖν ταπεινὰ φθέγγεσθαι τὸν χριστὸν, πολλὰ τὰ αἴτια, τὸ μὴ νομισθῆναι ἀγέννητον, τὸ μὴ δόξαι ἀντίθεον, τὸ ἀσθενὲς τῶν ἀκουόντων, τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριοφρονεῖν καὶ μηδὲν μέγα λέγειν περὶ ἑαυτῶν, τὸ ὡς ἄνθρωπον λέγειν, καὶ ἄλλα τοιαῦτα· τοῦ δὲ ὑψηλὰ [5]) φθέγγεσθαι μία αἰτία, τὸ ὕψος τῆς θεότητος.

Ἐπεὶ δὲ οἱ ἰουδαῖοι οὗτοι [6]) δύο ἐγκλήματα ἐπῆγον αὐτῷ, παρανομίαν καὶ ἀντιθείαν, ὅτι τε ἔλυε

5) ὑψηλόν. A.
6) οὗτοι abeſt. A.

esset contrarius: quod Sabbathum solueret, ac patrem suum diceret esse Deum, aequalem sese faciens Deo, veluti septimo capite praedictum est. De vno quidem ibi respondit eis, ostenso, quod Deo contrarius non esset: de altero autem nunc respondet, et ostendit, illos potius esse legis transgressores.

Vers. 19. *Nonne — legem?* Legem vniuersaliter appellat, legalia praecepta, quae dedit Moses, quum a Deo ipsa detulisset, et ea illis scripsisset. Interrogat ergo, Nonne Moses dedit vobis legem, quem honoratis, et pro quo belligeratis, cui loquutus est Deus?

Vers. 19. *Et — legem.* Facit, siue, seruat. Deinde etiam addit, quomodo non seruent legem.

Vers. 19. *Quid — interficere?* Quum lex dicat, Non occides, quid me occidere nitimini: neque legem seruantes, neque Mosen veriti, qui eam vobis tradidit? impudentiae siquidem est, legis accusare transgressores alia legis transgressione.

Vers. 20. *Respondit — interficere.* Hoc dicit turba, volens rem gratam praestare magistratibus, et eum, qui omnem excedit honorem, iniuria afficiunt, in gratiam primatum, qui iniuria digni erant. Negant autem, se illi procurare caedem propter sceleris grauitatem: et vt incaute deinceps ambulans, traderetur insidiatoribus. († † Sciens autem, eos impudentes esse ac rursus ad iram incitari, omittit quidem magis eos arguere, ne impudentiores fiant. Nolebat enim continuo eos ad iram inflammare. Incipit autem defensionem propter sabbatum.)

Vers. 21.

7) *αὐτοὶ*, abest. A.
8) *διέδωκε*. A. 9) *δέδωκεν*. A.

ἔλυε[r]) τὸ σάββατον, καὶ ὅτι πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ, καθὼς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ προείρηται· περὶ μὲν τοῦ ἑνὸς ἐκεῖ τούτοις ἀπελογήσατο, δείξας, ὅτι οὐκ ἔστιν ἀντίθεος· περὶ δὲ τοῦ ἑτέρου, νῦν ἀπολογεῖται, καὶ δείκνυσιν, ὅτι αὐτοὶ[7]) μᾶλλόν εἰσι παράνομοι. r) Io. 5, 18.

Verſ. 19. Οὐ — νόμον; Καθολικῶς λέγει νόμον, τὰς νομικὰς ἐντολὰς, ἃς δέδωκε[8]) μωϋσῆς, ἐκ τοῦ Θεοῦ κομίσας αὐτὰς, καὶ γράψας ταύτας αὐτοῖς. ἐρωτᾷ οὖν, οὐ μωϋσῆς ἔδωκεν[9]) ὑμῖν τὸν νόμον, ὁ παρ' ὑμῖν τιμώμενος καὶ ἐκδικούμενος, ᾧ λελάληκεν ὁ Θεός;

Verſ. 19. Καὶ — νόμον. Ποιεῖ, ἤγουν, τηρεῖ. εἶτα προστίθησι, καὶ πῶς οὐ τηροῦσι τὸν νόμον.

Verſ. 19. Τί — ἀποκτεῖναι; Τοῦ νόμου λέγοντος, οὐ φονεύσεις, τί με σπουδάζετε φονεῦσαι, μήτε[1]) αὐτὸν τηροῦντες, μήτε τὸν μωϋσέα αἰδούμενοι, τὸν δεδωκότα ὑμῖν αὐτόν; ἀναιδὲς γὰρ, τοὺς παρανόμους ἐγκαλεῖν ἑτέρῳ παρανομίαν.

Verſ. 20. Ἀπεκρίθη — ἀποκτεῖναι; Ὁ ὄχλος τοῦτό φησι, χαριζόμενος τοῖς ἄρχουσι. καὶ ὑβρίζουσι μὲν τὸν τιμῆς ἐπέκεινα, εἰς τιμὴν δῆθεν τῶν ὕβρεως ἀξίων ἀρχόντων. ἀρνοῦνται δὲ τὸν φόνον, διὰ τὸ μύσος, καὶ ἵνα ἀφύλακτος λοιπὸν καταστῇ τοῖς ἐπιβουλεύουσι.[2]) γνοὺς δὲ αὐτοὺς ἀναισχυντοῦντας καὶ εἰς ὀργὴν πάλιν ὑποκινουμένους, ἀφίησι μὲν ἐπὶ πλέον ἐλέγξαι τούτους, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. καὶ γὰρ οὐκ ἐβούλετο συνεχῶς τὸν θυμὸν αὐτῶν ἐξάπτειν. ἅπτεται δὲ τῆς ἀπολογίας τῆς περὶ τοῦ σαββάτου.

[1]) τὸν νόμον.
[2]) Ab γνοὺς ad finem ſcholii omittit Hentenius.

Verſ. 21. *Reſpondit — miramini.* Vnum opus dicit, illius in ſabbatho curationem, qui triginta et octo annos in infirmitate vixerat, de quo ſeptimum narrat caput. Et omnes miramini, ſiue turbamini, aut tumultuamini: nam hi erant, qui ex eo tempore inſanientes quaerebant eum interficere. Deinde ait, Moſes tradidit vobis circumciſionem, et ſabbatho circumciduntˆ, quando videlicet octauus infantis dies ſabbatho occurrerit. Iam ergo argumentatur. Si ſabbatho circumciditur homo, quomodo ergo de circumciſionis opere Moſen non accuſatis, quod opus fieri praeceperit in ſabbatho?

Verſ. 22. *Propterea — hominem.* Dictio Propterea, non eſt hic cauſae redditiua, ſed vulgari modo ac ſuperflue Hebraico more ponitur. Dicit ergo, Moſes tradidit vobis circumciſionem, et in ſabbatho circumciditis hominem. Quae autem in medio ſunt verba, addidit, oſtendens quod licet Moſes illam tradiderit, attamen ante illum fuerat. Ait enim. Non quod ex Moſe ſit. Tradidit vobis illam, non quod a ſua legislatione principium ſumat: non quod tunc inceperit: ſed ex patribus eſt, qui tempore Abraham fuerunt: nam illi primum data eſt in praeceptum: et tamen, quum aliunde aſcititia videatur, firmior ſabbatho efficitur.

Verſ. 23. *Si — ſabbatho?* Vt non contemnatur lex Moſis, quae de circumciſione eſt. Ipſam autem dixit Moſis, tanquam ab eo traditam, ſicuti diximus. Ait ergo, ſi circumciſionem accipit homo in ſabbatho, mihi iraſcimini, quod totum hominem ſanum reddiderim in ſabbatho: quum Moſi non ſitis indignati, qui ante me permiſit circumciſionem fieri in ſabbatho?

Totum

Verſ. 21. Ἀπεκρίθη — θαυμάζετε. Ἓν ἔργον λέγει, τὴν ἐν σαββάτῳ ὑγείαν τοῦ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ, περὶ οὗ τὸ ἕβδομον ἱστορεῖ κεφάλαιον. καὶ πάντες θαυμάζετε, ἤγουν, θορυβεῖσθε, ταράττεσθε. αὐτοὶ γὰρ ἦσαν οἱ τότε μανέντες καὶ ἔκτοτε ζητοῦντες αὐτὸν ἀποκτεῖναι. εἶτα λέγει, ὅτι μωϋσῆς παρέδωκεν αὐτοῖς τὴν περιτομὴν, καὶ ἐν σαββάτῳ περιτέμνουσιν, ὅταν δηλαδὴ ἡ ὀγδόη ἡμέρα τοῦ παιδίου εἰς σάββατον καταντήσῃ· ἔπειτα συλλογίζεται, ὅτι εἰ περιτέμνεται ἄνθρωπος ἐν σαββάτῳ, τὸ δὲ περιτέμνειν ἔργον, πῶς οὐκ ἐγκαλεῖτε μωϋσεῖ τῷ ἐντειλαμένῳ ἔργον ἐν σαββάτῳ;

Verſ. 22. Διὰ — ἄνθρωπον. Τὸ διὰ τοῦτο, οὐκ ἔστι νῦν αἰτιολογικὸν, ἀλλ' ἁπλῶς κεῖται κατὰ συνήθειαν ἑβραϊκήν. λέγει δὲ, ὅτι μωϋσῆς παρέδωκεν ὑμῖν τὴν περιτομὴν, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον· τὰ δ' ἐν τῷ μέσῳ ῥητὰ τέθεικε, δεικνύων, ὅτι εἰ καὶ μωϋσῆς παρέδωκεν ὑμῖν αὐτὴν, ἀλλ' οὖν παλαιοτέρα αὐτοῦ ἦν. Φησὶ γάρ· οὐχ ὅτι ἐκ τοῦ μωϋσέως ἐστὶ, τουτέστι, παρέδωκεν ὑμῖν αὐτὴν, οὐχ ὅτι ἐκ τῆς αὐτοῦ νομοθεσίας ἀρχὴν λαμβάνει, οὐχ ὅτι ἔκτοτε ἄρχεται, ἀλλ' ἐκ τῶν πατέρων ἐστὶ, τῶν περὶ ἀβραάμ. ἐκείνῳ γὰρ πρώτῳ ἐνετάλη. καὶ ὅμως, ἐπείσακτον δοκοῦν, κυριώτερον γίνεται τοῦ σαββάτου.

Verſ. 23. Εἰ — σαββάτῳ; Ἵνα μὴ ἀθετηθῇ ὁ νόμος μωϋσέως, ὁ περὶ τῆς περιτομῆς. τοῦ μωϋσέως δὲ αὐτὸν εἶπεν, ὡς ὑπ' αὐτοῦ παραδοθέντα, καθὼς εἰρήκαμεν. Φησὶ τοίνυν, ὅτι εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἐμοὶ ὀργίζεσθε, ὅτι ὅλου ἀνθρώπου ὑγείαν εἰργασάμην, ἀφέντες χολᾶν μωϋσεῖ πρὸ ἐμοῦ, τῷ ἐπιτρέψαντι ἐργάζεσθαι περιτομὴν ἐν σαββάτοις;

Totum autem hominem dixit: nam quum totum eius corpus paralysi dissolutum fuisset, totum reddidit sanum. Aut ostendit, quod non corpus tantum, sed et animam eius curauerit.

Vers. 24. *Nolite — aspectum.* Ne iudicaueritis ex acceptione personarum, illi quidem, tanquam apud vos magno et praeclaro remittentes accusationes, me vero, quasi vilem et inglorium, accusantes.

Vers. 24. *Sed — iudicate.* Non ad personas spectantes, sed ad res ipsas. Item et aliter. Circumcisio quidem solum Hebraeis signum erat: quod autem a me factum est, integra fuit sanitas ac veritas eius, quod significabatur.

Vers. 25. *Dicebant — v. 26. dicunt.* Siquidem silentium illis imposuerat.

Vers. 26. *Num — Christus?* Tunc enim et principes in turba erant.

Vers. 27. *Sed — erit.* Atqui principes vestri interrogati ab Herode, vbi nasciturus esset Christus, dixerunt ei, In Bethlehem Iudaeae: quin et prophetiam, quae hoc significaret, addiderunt: quomodo ergo nugamini, dicentes quod Christus, quum venerit, nemo cognoscit vnde erit? Praeterea, si hunc nostis vnde sit, quomodo quidam ex vobis dicunt, Hunc non nouimus vnde sit? Hoc modo malitia non intelligit, quod sibiipsi contradicat ac plane mentiatur: nam est quaedam animae ebrietas.

Quod si quis dictum illud, Vnde sit, non de loco et patria, sed de genere et patre intellexerit, dicere poterit, eos dixisse: Huius quidem genus

et

Ὅλον δὲ ἄνθρωπον εἴρηκε, διότι ὅλον τὸ σῶμα αὐτοῦ παραλελυμένον, ὅλον ὑγιὲς ἐποίησεν· ἢ ἐνέφηνεν, ὅτι οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτοῦ ἐθεράπευσε.

Vers. 24. Μὴ — ὄψιν. Μὴ κρίνετε προσωποληπτικῶς, ἐκεῖνον μὲν, ὡς παρ' ὑμῖν μέγαν καὶ ἔνδοξον, ἀφιέντες αἰτίας, ἐμὲ δὲ, ὡς εὐτελῆ καὶ ἄδοξον, αἰτιώμενοι.

Vers. 24. Ἀλλὰ — κρίνατε. Μὴ πρὸς τὰ πρόσωπα βλέποντες, ἀλλὰ πρὸς τὰ πράγματα. καὶ ἑτέρως γάρ. ἡ μὲν περιτομὴ, σημεῖον ἦν μόνον ἑβραίου· τὸ δὲ παρ' ἐμοῦ ἐργασθὲν, ὁλόκληρος ὑγεία τοῦ σεσημασμένου.

Vers. 25. Ἔλεγον — v. 26. λέγουσι. Καὶ γὰρ ἐπεστόμισεν αὐτούς.

Vers. 26. Μήποτε — χριστός; Ἐν τῷ ὄχλῳ γὰρ οἱ ἄρχοντες ἦσαν τότε.

Vers. 27. Ἀλλὰ — ἐστί. Καὶ μὴν, οἱ ἄρχοντες ὑμῶν, ἐρωτηθέντες παρὰ ἡρώδου, ποῦ ὁ χριστὸς γεννᾶται, εἶπον αὐτῷ· ἐν s) βηθλεὲμ τῆς s) Matth. 2. 5.
ἰουδαίας. καὶ προσέθηκαν καὶ τὴν τοῦτο δηλοῦσαν προφητείαν. πῶς οὖν φλυαρεῖτε, ὅτι ὁ χριστὸς, ὅταν ἔρχηται, οὐδεὶς γινώσκει, πόθεν ἐστίν· ἀλλὰ καὶ, εἰ τοῦτον[3]) οἴδατε, πόθεν ἐστὶ, πῶς ἐξ ὑμῶν ἄλλοι λέγουσιν, ὅτι τοῦτον t) οὐκ οἴδαμεν, πόθεν t) Io. 9. 29.
ἐστί· τοιοῦτον ἡ πονηρία, ἐναντιολογοῦσα καὶ ψευδομένη προφανῶς, οὐ συνίησι. μέθη γὰρ καὶ αὕτη ψυχῆς.

Εἰ δέ τις τὸ, πόθεν, οὐ περὶ τόπου καὶ πατρίδος, ἀλλὰ περὶ γένους καὶ πατρὸς νοήσῃ, εἴποι ἂν, αὐτοὺς λέγειν, ὅτι τούτου μὲν οἴδαμεν τὸ γένος

3) τοῦτο. B.

et patrem nouimus, puta Ioſeph, vt credebatur: Chriſti vero genus et patrem nemo cognoſcit, eo quod non ſint haec literis prodita, vt dici poſſint.

Verſ. 28. *Clamabat — ſim.* Clamabat, confundens eos, dum illi de induſtria male agerent: ſimul etiam omnibus manifeſtans, quae ab ipſis occulte dicebantur. Dicit autem, Et me noſtis, quis ſim, quia Deus: et noſtis vnde ſim, quia a patre Deo: quanquam vos ſcire fingatis, quod a Ioſeph ſim progenitus. Dicebat autem, quod illi ipſum nouerant a teſtimonio Iohannis, de quo dixit, Alius eſt, qui teſtimonium perhibet de me: ab operibus ſuis, de quibus ait, Ipſa opera, quae ego facio, teſtimonium perhibent de me: et a ſcripturis, de quibus ſimiliter ait: Illae ſunt quae teſtimonium perhibent de me.

Et quomodo dixit vigeſimo iuxta Matthaeum capite, Nemo nouit filium niſi pater? Quia illud de natura diuinitatis ſuae dixit, hoc autem ſimpliciter de notitia, quod Deus ſit Deique filius.

Verſ. 28. *Et — veni.* Etiam hoc, inquit, noſtis: nam et id praedicta docent teſtimonia, et maxime, quia gloriam propriam non quaero, ſed gloriam eius, qui miſit me.

Verſ. 28. *Sed — me.* Pater ac Deus, qui videlicet miſit me, ſicut promiſerat per prophetas: quod ſi verax eſt, qui miſit, vtique et verax eſt, qui miſſus eſt, quum eiusdem ſint naturae.

Verſ. 28. *Quem — nouiſtis.* Vtpote negantes illum operibus. Ait enim et Apoſtolus;

4) Incluſa exciderunt. A.
5) *δὲ*, loco *καί*. B.
6) *εἰδέναι με ἐκ τοῦ ἰωσὴφ προσποιεῖσθε.* A
7) *ὅτι*, abeſt. A.

καὶ τὸν πατέρα, [δηλαδὴ τὸν [4]) ἰωσήφ, ὡς ἐδόκει· τὸ δὲ χριςῦ τὸ γένος καὶ τὸν πατέρα,] ὐδεὶς γινώσκει, διὰ τὸ μὴ ῥητῶς ἀναγεγράφθαι.

Verſ. 28. Ἔκραξεν — εἰμί. Ἔκραξεν ἐντρέπων αὐτοὺς, ὡς ἐθελοκακῦντας, ἅμα δὲ καὶ πᾶσι φανερῶν, τὰ κρυφίως παρ' αὐτῶν λεγόμενα. λέγει δὲ, ὅτι κἀμὲ οἴδατε, τίς εἰμι· ὅτι θεός· καὶ οἴδατε, πόθεν εἰμί· ὅτι ἐκ πατρὸς θεῦ, ἃ [5]) καὶ ἐκ [6]) τῦ ἰωσὴφ εἰδέναι με προσποιεῖσθε. εἰδέναι δὲ αὐτὸν αὐτὺς ἔλεγεν· ἀπό τε τῆς μαρτυρίας ἰωάννου, περὶ ὗ εἴρηκεν· ὅτι v) ἄλλος ἐςὶν ὁ μαρτυρῶν περὶ ἐμῦ· ἀπό τε τῶν ἔργων αὐτῦ, περὶ ὧν εἶπεν· ὅτι x) αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμῦ· καὶ ἀπὸ τῶν γραφῶν, περὶ ὧν ὁμοίως ἔφη· ὅτι ἐκεῖναι y) εἰσιν αἱ μαρτυρῦσαι περὶ ἐμῦ.

v) Io. 5, 32.
x) Io. 5, 36.
y) Io. 5, 39.

Καὶ πῶς ἐν τῷ εἰκοςῷ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον, εἴρηκεν, ὅτι ὐδεὶς z) ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ; ὅτι ἐκεῖνο μὲν εἶπε περὶ τῆς φύσεως τῆς θεότητος αὐτῦ· τῦτο δὲ, περὶ τοῦ εἰδέναι ἁπλῶς, ὅτι ἐςὶ θεὸς καὶ υἱὸς θεῦ.

z) Matt. 11, 27.

Verſ. 28. Καὶ — ἐλήλυθα. Οἴδατε καὶ τῦτό, φησι. καὶ τῦτο γὰρ αἱ δηλωθεῖσαι μαρτυρίαι διδάσκουσιν. ἄλλως τε, καὶ [7]) ὅτι a) οὐ τὴν δόξαν τὴν ἰδίαν ζητῶ, ἀλλὰ τὴν δόξαν τῦ πέμψαντός με.

a) Io. 7, 18.

Verſ. 28. Ἀλλ' — με. Ὁ πατὴρ καὶ θεὸς, ὡς πέμψας με, καθὼς διὰ τῶν προφητῶν ἐπηγγείλατο. εἰ δὲ ἀληθινὸς ὁ πέμψας, ἀληθινὸς ἄρα καὶ ὁ πεμφθεὶς, τῆς [8]) αὐτῦ φύσεως ὤν.

Verſ. 28. Ὃν — οἴδατε. Ὡς τοῖς ἔργοις ἀρνούμενοι αὐτόν. φησὶ γὰρ καὶ ὁ ἀπόςολος· ὅτι

8) τῆς αὐτῆς. A. quod Hentenius etiam habet.

lus, Confitentur, se nosse Deum, factis autem negant.

Vers. 29. *Ego — sum.* Quia ex ipso sum, ex ipso natus sum. Nam et in superioribus dixit, Non, quod patrem quispiam viderit, nisi is, qui a Deo est.

Vers. 29. *Et ille me misit.* Continue de missione loquitur, volens illis persuadere, quod a Deo missus esset, nec Deo contrarius esset, sicut antea diximus. Simul etiam ad medendum diuinis verbis quibus illos offenderat, quae frequenter verbis humano more dictis permiscebat.

Vers. 30. *Quaerebant — apprehendere.* Nam aegre audierant dicentem, Quem vos non nouistis.

Vers. 30. *Et — manum.* Tenebantur siquidem ab vnita ipsi diuina virtute.

Vers. 30. *Quia — eius.* Qua teneri ac pati decreuerat.

Vers. 31. *Multi — illum.* A praedictis signis, et a sermonibus modo dictis capti.

Vers. 31. *Et — fecit?* Crediderunt quidem, non tamen perfecte: nam dicentes, Christus quum venerit, ostendebant se non firmiter credidisse, eum esse Christum, sed dubio modo, vtpote abiecti et leues.

Aut id ex suppositione dixerunt: Ponamus postmodum venturum esse Christum, veluti dicunt principes sacerdotum: Christus ille, quem ipsi dicunt, quum venerit, num hoc magis admirandus erit? nequaquam.

Vers. 32.

9) ἐνδεσης. A. Tale quid videtur reperisse Hentenius. Sed ita corrigendum esset ἐνυθέσης.

ὅτι b) θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. b) Tit. 1, 16.

Verf. 29. Ἐγὼ — εἰμί. Διότι ἐξ αὐτοῦ εἰμι, ἐξ αὐτοῦ γεγέννημαι. καὶ ὀπίσω δὲ εἴρηκεν, οὐχ c) ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ. c) Io. 6, 46.

Verf. 29. Κἀκεῖνός με ἀπέστειλε. Συνεχῶς λέγει περὶ τῆς ἀποστολῆς, βουλόμενος πεῖσαι αὐτούς, ὅτι ἐκ τοῦ θεοῦ ἀπέσταλται, καὶ οὐκ ἔστιν ἀντίθεος, ὡς προλαβόντες εἰρήκαμεν. ἅμα δὲ καὶ εἰς θεραπείαν τῶν προσισταμένων αὐτοῖς θεοπρεπῶν ῥημάτων, ἃ παραμίγνυσι πολλάκις τοῖς ἀνθρωποπρεπέσιν αὐτοῦ.

Verf. 30. Ἐζήτουν — πιάσαι. Ἐπλήγησαν γάρ, ἀκούσαντες, ὅτι ὃν ὑμεῖς οὐκ οἴδατε.

Verf. 30. Καὶ — χεῖρα. Ἐπείχοντο γὰρ ἀοράτως, ὑπὸ τῆς ἐνούσης a) αὐτῷ θείας δυνάμεως.

Verf. 30. Ὅτι — αὐτοῦ. Ἡ τοῦ συλληφθῆναι καὶ παθεῖν αὐτόν.

Verf. 31. Πολλοὶ — αὐτόν. Ὑπό τε τῶν προλαβόντων σημείων, ὑπό τε τῶν ἄρτι ῥηθέντων λόγων ἑαλωκότες.

Verf. 31. Καὶ — ἐποίησεν; Εἰ καὶ ἐπίστευσαν, ἀλλ᾽ οὐχ ὑγιῶς. εἰπόντες γάρ, ὅτι ὁ χριστός, ὅταν ἔλθῃ· ἔδειξαν, ὅτι οὐκ ἐπίστευσαν βεβαίως, αὐτὸν εἶναι τὸν χριστόν, ἀλλ᾽ ἀμφιβόλως, ὡς ἀγελαῖοι καὶ κοῦφοι.

Ἢ καὶ καθ᾽ ὑπόθεσιν τοῦτο εἶπον, ὅτι θῶμεν, ἕτερον εἶναι τὸν χριστόν, ὡς οἱ ἄρχοντες λέγουσιν, ὁ χριστός, ὃν αὐτοί φασιν, ὅταν ἔλθῃ, μή τι δυνατώτερος ἔσται τούτου; οὐχί.

Verf. 32.

Verſ. 32. *Audierunt — haec.* Audierunt ſequenti videlicet die. Murmurantem vero, ſiue eum murmure aduerſus principes loquentem.

Verſ. 32. *Et — eum.* Tanquam commouentem populum ad ſeditionem. O dementiam, magis autem inſaniam! Quum ipſi frequenter tentaſſent, nec potuiſſent, miniſtris rem commiſerunt: vt de furore conſolationem acciperent, ſuam autem imbecillitatem occultarent.

Verſ. 33. *Dixit — ſum.* Multitudini quidem loquebatur: intendebat autem ad miniſtros, qui miſſi erant: eſt enim placationis verbum ad correptionem inſaniae illorum, Adhuc modico tempore vobiscum ſum, ſignificans tempus vsque ad paſcha: hoc ergo ſolum expectate.

Verſ. 33. *Et — me.* Quum aſſumar in coelum.

Verſ. 34. *Quaeretis — inuenietis.* Siquidem veriſimile eſt, quod multi eorum recordati ipſius quaeſierunt eum auxiliatorem, et maxime dum Ieroſolyma caperentur.

Verſ. 34. *Et — venire.* Vbi tunc ero. Significat autem ſeſſionem ad dexteram patris.

Verſ. 35. *Dixerunt — v. 36. venire?* Affecti quodammodo ſunt ad ſermones eius, quibus placabantur, et quaerunt inter ſeſe, non intelligentes ea, quae dicebantur. Diſperſionem vero Graecorum dicebant Gentes, quae vbique terrarum diſperſae erant, et nullo prohibente inter ſe commiſcebantur, quum ipſi ſolam inhabitarent Palaeſtinam, et a lege prohiberentur caeteris commiſceri gentibus.

Verſ. 37.

Vers. 32. Ἤκουσαν — ταῦτα. Ἤκουσαν, ἐν ἑτέρᾳ ἡμέρᾳ, δηλονότι. γογγύζοντος δὲ, ἤγουν, σὺν γογγυσμῷ τῷ κατὰ τῶν ἀρχόντων, λέγοντος·

Vers. 32. Καὶ — αὐτόν. Ὡς ἀποσχίζοντα τὸν λαόν. ὢ τῆς μανίας, μᾶλλον δὲ τῆς ἀνοίας! αὐτοὶ πολλάκις ἐπιχειρήσαντες, καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέταις τὸ πρᾶγμα ἐπέτρεψαν, τόν τε θυμὸν παραμυθέμενοι, καὶ τὴν ἀσθένειαν ἑαυτῶν συγκαλύπτοντες.

Vers. 33. Εἶπεν — εἰμι. Ἔλεγε μὲν πρὸς τὸ πλῆθος, ἀπετείνετο δὲ πρὸς τοὺς ἀποςείλαντας τοὺς ὑπηρέτας. δυσωπητικὸν δὲ τὸ ῥῆμα, πρὸς καταςολὴν τῆς μανίας αὐτῶν. ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, τὸν ἄχρι τοῦ πάσχα δηλῶν. τοῦτον μόνον ἀναμείνατε.

Vers. 33. Καὶ — με. Ὅτε ἀναληφθῶ εἰς τὸν οὐρανόν.

Vers. 34. Ζητήσετέ — εὑρήσετε. Εἰκὸς γὰρ, πολλοὺς ἐξ αὐτῶν μνημονεύειν αὐτοῦ, καὶ ζητεῖν αὐτὸν βοηθὸν, καὶ μᾶλλον, ἁλισκομένων τῶν ἱεροσολύμων.

Vers. 34. Καὶ — ἐλθεῖν. Ὅπου εἰμὶ τότε. δηλοῖ δὲ τὴν ἐπὶ τοῦ οὐρανοῦ ἐν δεξιᾷ τοῦ πατρὸς καθέδραν.

Vers. 35. Εἶπον — v. 36. ἐλθεῖν; Ἐπαθόν τι πρὸς τοὺς λόγους αὐτοῦ, δυσωπηθέντες αὐτοὺς, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς, μὴ νοοῦντες τὰ ῥηθέντα. διασποράν δὲ τῶν ἑλλήνων ἔλεγον, τὰ ἔθνη, διὰ τὸ διεσπάρθαι πανταχοῦ, καὶ ἀκωλύτως ἀλλήλοις ἐπιμίγνυσθαι, αὐτοὶ μόνην οἰκοῦντες τὴν παλαιςίνην, καὶ παρὰ τοῦ νόμου κωλυόμενοι ἐπιμίγνυσθαι τοῖς ἀλλογενέσιν.

Vers. 37.

Verſ. 37. *In — bibat.* Primus ac poſtremus dies dicti feſti ſcenopegiorum magni habebantur, quia in his ſtudioſius in vnum collecti diuinis vacabant, eos, qui in medio erant, in deliciis conſumentes. Tunc ergo, quum vnusquiſque completo iam feſto in domum ſuam receſſurus erat, decreuit volentibus dare viaticum ad ſalutem: et clamauit, oſtendens, qua libertate loqueretur, et vt omnes audirent: multi enim erant. Dixit autem, ſi quis ſitit, ſiti doctrinae, veniat ad me et bibat potionem ſpiritualem: neque enim eos conuoco, qui non ſitiunt, ſed qui ardenter appetunt huiusmodi potionem.

Verſ. 38. *Qui — viuae.* Ventrem hic dicit, cor: veluti quum dicitur, Et legem tuam in medio ventris mei: flumina vero aquae, ſpiritus abundantiam, diuinae gratiae plenitudinem: Viuae autem, hoc eſt, ſemper operantis, ſemper motae: nam quum diuina gratia animae inſederit, fons efficitur, ſemperque ſcaturit. Petrus ſiquidem et Paulus, et quotquot illorum ſimiles fuerunt, diuinam gratiam in corde inundantem habentes, non flumen, ſed flumina concipiebant, multo fluxu ſcaturientia, quae quicquid accederet, attrahebant, et infidelium vaniloquia vndis obruebant ac demergebant.

Quinto autem capite dixit ad Samaritanam, Aqua quam ego dabo, fiet in eo fons aquae ſalientis in vitam aeternam: et ibi rurſum lege ſimilium verborum enarrationem.

Poſt

[r]) *διδασκαλικόν.* A.
[s]) Videtur aliquid deeſſe. Ex Hentenio colligas, illum legiſſe, *ἐγένοντο, τήν.* Poteſt tamen intelligi.
[t]) *πουτίζοντας.* B.

Verſ. 37. Ἐν — πινέτω. Καὶ ἡ πρώτη ἡμέρα τῆς δηλωθείσης ἑορτῆς τῶν σκηνοπηγιῶν καὶ ἡ ἐσχάτη μεγάλαι ἐνομίζοντο. διὸ καὶ σπουδαιότερον ἐν ταύταις συλλεγόμενοι, τοῖς θείοις ἐσχόλαζον, τὰς ἐν τῷ μέσῳ μᾶλλον εἰς τρυφὰς ἀναλίσκοντες. τότε τοίνυν, ὅτε, συμπληρουμένης ἤδη τῆς ἑορτῆς, ἔμελλεν ἀναχωρεῖν ἕκαστος οἴκαδε, βούλεται δοῦναι τοῖς βουλομένοις ἐφόδια πρὸς σωτηρίαν· καὶ ἔκραξε μὲν, δηλῶν τὴν παῤῥησίαν αὐτοῦ, καὶ ἵνα πάντες ἀκούσωσι, πολλοὶ ὄντες. εἶπε δὲ, ἐάν τις διψᾷ, δίψαν διδασκαλίας, ἐρχέσθω πρός με, καὶ πινέτω πόμα [1]) πνευματικόν. τοὺς γὰρ οὐ διψῶντας οὐ συγκαλῶ, ἀλλὰ τοὺς διακαῶς ἐρῶντας τοῦ τοιούτου πόματος.

Verſ. 38. Ὁ — ζῶντος. Κοιλίαν ἐνταῦθα λέγει, τὴν καρδίαν, ὡς τό· καὶ τὸν d) νόμον d) Pſ. 39. 9.
σου ἐν μέσῳ τῆς κοιλίας μου· ποταμοὺς δὲ ὕδατος, τὴν δαψίλειαν τοῦ πνεύματος, τὴν πλημμύραν τῆς θείας χάριτος· ζῶντος δὲ, ἤγουν, ἀεὶ ἐνεργοῦντος, ἀεικινήτου. ὅταν γὰρ ἡ θεία χάρις ἐνιδρυνθῇ ψυχῇ, πηγὴ γίνεται, καὶ βλύζει διαπαντός. καὶ γὰρ καὶ πέτρος, καὶ παῦλος, καὶ ὅσοι κατ᾽ ἐκείνους, [2]) τὴν θείαν χάριν ἐν τῇ καρδίᾳ πλημμυροῦσαν ἔχοντες, οὐ ποταμὸν, ἀλλὰ ποταμοὺς λόγων ἠφίεσαν, πολλῷ τῷ ῥοίζῳ φερομένους, καὶ πᾶν τὸ προστυχὸν παρασύροντας, καὶ τὰς τῶν ἀπίστων κενοφωνίας ἐπικλύζοντας, καὶ [3]) καταποντίζοντας.

Καὶ ἐν τῷ πέμπτῳ δὲ κεφαλαίῳ πρὸς τὴν σαμαρεῖτιν εἶπεν, ὅτι e) τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, e) Io. 4, 14.
γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. καὶ ἀνάγνωθι πάλιν τὴν ἐξήγησιν τῶν τοιούτων ῥητῶν.

Μετὰ

Poſt dictum autem, ſicut ait ſcriptura, ponenda eſt diſtinctio. Multifariam enim praecepit ſcriptura credere in illum.

Verſ. 39. *Hoc — eum.* Hoc, puta, Flumina de ventre eius fluent aquae viuae. De ſpiritu vero, ſiue de ſpiritualibus gratiis.

Verſ. 39. *Nondum — ſanctus.* Nondum erat in illis, qui in ipſum credebant: nondum datus erat diſcipulis eius.

Verſ. 39. *Quia — glorificatus.* Quia nondum glorificatus erat per crucem: nam crucem vocat gloriam, ſiquidem quum caeteris omnibus eſſet opprobrium, vtpote magnorum criminum ſupplicium, ſoli Chriſto gloria facta eſt: vltio videlicet magni amoris, quo nos dilexit. Quis namque, modo grato ſit animo, audito, quod is, qui omnem excedebat honorem, tantam propter hominum ſalutem ſuſtinuit ignominiam, non glorificabit eum?

Ante crucem itaque diſcipulis non dedit ſpiritum ſanctum, ſed poteſtatem ſpirituum immundorum, vt illos eiicerent et curarent omnem morbum omnemque languorem: poſt crucem vero dedit ſpiritum ſanctum. Quum enim peccaſſemus ac Deo aduerſati fuiſſemus, inimici eius eramus: gratia vero ſpiritus ſancti, donum eſt, donum autem amicis datur: oportebat ergo primum offerri pro nobis victimam, fierique reconciliationem ac inimi-

4) Ita Chryſoſt. Tom. VIII. p. 299. D.
5) ῥεύσονται. B.
6) ἅγιον, abeſt A.
7) Haec nullo modo pendere poſſunt ex vocabulo προσενεχθῆναι. Hentenius habet, *fieri.* Puto ergo, legendum eſſe, καὶ γενέσθαι καταλλαγήν. Chry-

Μετὰ δὲ τὸ, καθὼς εἶπεν ἡ γραφὴ,[4]) ὑποστικτέον. διαφόρως γὰρ ἐνετείλατο ἡ γραφὴ πιστεύειν εἰς αὐτόν.

Verſ. 39. Τοῦτο — αὐτόν. Τοῦτο, ποῖον; τὸ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν[5]) ὕδατος ζῶντος. περὶ τοῦ πνεύματος δὲ, εἴτουν, περὶ τῶν πνευματικῶν χαρισμάτων.

Verſ. 39. Οὔπω — ἅγιον. Οὔπω ἦν ἐν τοῖς πιστεύουσιν εἰς αὐτὸν, οὔπω ἦν δεδομένον τοῖς μαθηταῖς αὐτοῦ.

Verſ. 39. Ὅτι — ἐδοξάσθη. Ὅτι οὔπω ἐδοξάσθη, διὰ τοῦ σταυροῦ. δόξαν γὰρ καλεῖ, τὸν σταυρόν. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν, ὄνειδος ἦν, ὡς μεγάλων ἐγκλημάτων ἐπιτίμιον· μόνῳ δὲ τῷ χριστῷ δόξα γέγονεν, ὡς μεγάλης ἀγάπης τῆς πρὸς ἡμᾶς ἐπιτίμιον. τίς γὰρ εὐγνώμονα ψυχὴν ἔχων, ἀκούων τὸν ἐπέκεινα πάσης τιμῆς τηλικαύτην ἀτιμίαν ὑποστάντα διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὐ δοξάσει τοῦτον;

Πρὸ μὲν οὖν τοῦ σταυροῦ, οὐ πνεῦμα ἅγιον[6]) ἔδωκε τοῖς μαθηταῖς, ἀλλ' ἐξουσίαν πνευμάτων[f]) ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· μετὰ δὲ τὸν σταυρὸν, πνεῦμα ἅγιον. ἐπεὶ γὰρ, ἡμαρτηκότες καὶ προσκεκρουκότες, ἐχθροὶ ἦμεν τοῦ θεοῦ· ἡ δὲ χάρις τοῦ ἁγίου πνεύματος, δωρεά ἐστιν· ἡ δὲ δωρεὰ τοῖς φίλοις δίδοται· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ[7]) καταλλαγὴν καὶ κατάλυσιν τῆς ἔχθρας, ἥτις ἦν[8]) ἡ σφα-

f) Matth. 10, 1.

Chryſoſt. T. VIII. p. 301. B. ita habet: καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν.

8) Etiam ἥτις ἦν durum videtur. Sed ita etiam Hentenius. Nunc malim poſt θυσίαν, loco καὶ, εἰς.

inimicitiae solutionem, quae erat caedes agni rationalis ac mors Christi: et tunc donum dari.

Vers. 40. *Multi — propheta.* De quo scripsit Moses, vt saepe diximus. Et vere hic erat: Sed ipsi simpliciter eum prophetam esse opinabantur, sicut Mosen, et non tanquam Deum.

Vers. 41. *Alii — Christus.* Et vere hic erat: sed et hi nudum hominem esse existimabant.

Vers. 41 *Alii — venit?* Atqui neque hic in Galilaea natus est.

Vers. 42. *Nonne — venit?* Atqui et hic inde erat: sed ipsi voluntaria malitia patriam huic diuulgabant esse Nazaret, vnde erat mater, et qui putabatur pater eius, ne, si ex Bethlehem esse diceretur, propter prophetiam Christus esse crederetur.

Vers. 43. *Seditio — eum.* Vnaquaque parte pro sua opinione rixante.

Vers. 44. *Quidam — eum.* Tanquam seductorem videlicet.

Vers. 44. *Sed — manus.* Vtpote inuisibiliter cohibitas, veluti superius ostensum est.

Vers. 45. *Venerunt — v. 46. homo.* Abierunt quidem eum ligaturi: reuersi sunt autem admiratione sermonum eius alligati. Illi ergo, qui miserant, quum multos eius audissent sermones, multaque vidissent miracula, ac prophetias de eo legissent, iudicantes sese sapientes, nihil profecerunt:

9) ὀνομαζόμενος. A.

ἡ σφαγὴ τοῦ λογικοῦ ἀμνοῦ, ὁ θάνατος τοῦ χριστοῦ καὶ τότε δοθῆναι τὴν δωρεάν.

Verf. 40. Πολλοὶ — προφήτης. Περὶ οὗ μωϋσῆς ἔγραψεν, ὡς πολλάκις εἰρήκαμεν· καὶ ἀληθῶς οὗτος ἦν· ἀλλ' αὐτοὶ προφήτην αὐτὸν ἁπλῶς εἶναι ὑπελάμβανον, ὡς τὸν μωϋσέα, καὶ οὐχὶ καὶ θεόν.

Verf. 41. Ἄλλοι — χριστός. Καὶ ἀληθῶς οὗτος ἦν· ἀλλὰ καὶ αὐτοὶ ψιλὸν ἄνθρωπον αὐτὸν ἐνόμιζον.

Verf. 41. Ἄλλοι — ἔρχεται; Καὶ μὴν, οὐδὲ αὐτος ἐν τῇ γαλιλαίᾳ γεγέννηται.

Verf. 42. Οὐχὶ — ἔρχεται; Καὶ μὴν, καὶ οὗτος ἐκεῖθεν ἦν, ἀλλ' ἐθελοκάκως πατρίδα τούτῳ ἐπιφημίζουσι τὴν ναζαρέτ, ὅθεν ἦν ἡ μήτηρ καὶ ὁ ⁹) νομιζόμενος πατὴρ αὐτοῦ, ἵνα μὴ, ἐκ βηθλεὲμ λεγόμενος, ὁ χριστὸς εἶναι πιστευθῇ διὰ τὴν προφητείαν.

Verf. 43. Σχίσμα — αὐτόν. Ἑκάστου μέρους φιλονεικοῦντος.

Verf. 44. Τινὲς — αὐτόν. Ὡς πλάνον δῆθεν.

Verf. 44. Ἀλλ' — χεῖρας. Ἐπεχομένας ἀοράτως, ὡς καὶ ἀνωτέρω δεδήλωται.

Verf. 45. Ἦλθον — v. 46. ἄνθρωπος. Ἀπῆλθον μὲν, δήσοντες αὐτόν. ἐπανῆλθον δὲ, δεθέντες αὐτοὶ τῷ θαύματι [τῶν ¹) λόγων αὐτοῦ. καὶ οἱ μὲν πέμψαντες, πολλῶν λόγων αὐτοῦ ἀκούσαντες, καὶ πολλὰ θαύματα] θεασάμενοι, καὶ τὰς περὶ αὐτοῦ προφητείας ἀναγινώσκοντες,

T 2 καὶ

¹) Inclusa exciderunt. A.

runt: qui vero missi erant, omnino ediuerso ab vna concione capti sunt: nam mentem habebant incorruptam. Non ergo mentem solum ac prudentiam eorum admirari dignum est, sed et loquendi libertatem. Neque enim dicunt, Dimisimus illum, ne fieret dissensio in populo, neque aliam fingunt excusationem, sed ipsam dicunt veritatem, ac illius praedicant sapientiam.

Vers. 47. *Responderunt — seducti estis?* Vide inuidiae dementiam. Nam quum interrogare oportuisset, ac discere, quid loquutus esset, ipsi nihil horum praestolantur, sed statim eis adulantur: parcentes etiam et non austeris verbis vtentes: timebant enim, ne perfecte illi adhaererent.

Vers. 48. *Num quis — v. 49. legem.* Quin haec maior est vestri accusatio, quod turba credidit, vos autem non credidistis. Legem vero simpliciter appellant, totam sacram scripturam.

Vers. 49. *Exsecrandi sunt.* Atqui lex illos execratur, qui legem contemnunt: vos ergo execrandi, qui legem contemnitis: illi vero legem seruant, credentes in eum: iubet namque lex credere in Deum.

Vers. 50. *Ait — v. 51. faciat?* Addidit euangelista, Quum esset vnus de numero eorum: ostendens, quod etiam quidam e principibus crediderant: licet ipsi dicerent, nullum ex principibus credidisse in ipsum. Arguit ergo eos Nicodemus, quod legis essent transgressores: occulte tamen et paucis verbis: nondum enim conuenientem adeptus erat loquendi libertatem. Nam si non condemnat lex, priusquam audiat, et cognoscat: ipsi vero condemnabant eum, antequam audissent

καὶ σοφοὶ δοκοῦντες, οὐδὲν ἀπώναντο· οἱ δὲ πεμφθέντες τοὐναντίον ἅπαν, ἀπὸ μιᾶς δημηγορίας ἑάλωσαν. ἀδέκαστον γὰρ διάνοιαν εἶχον. οὐ τοίνυν τὴν σύνεσιν αὐτῶν μόνον ἐστὶ θαυμάσαι, ἀλλὰ καὶ τὴν παῤῥησίαν. οὐ γὰρ λέγουσιν, ὅτι διὰ τὸ μὴ γενέσθαι τοῦ λαοῦ στάσιν ἀφήκαμεν αὐτὸν, οὐδὲ πλάττονταί τινα πρόφασιν, ἀλλ' αὐτὴν λέγουσι τὴν ἀλήθειαν, καὶ κηρύσσουσι τὴν αὐτοῦ σοφίαν.

Verſ. 47. Ἀπεκρίθησαν — πεπλάνησθε; Ὅρα φθόνου μανίαν. δέον γὰρ ἐρωτῆσαι καὶ μαθεῖν, 'τί ἐλάλησεν' οἱ δὲ οὐκ ἠνέσχοντο, ἀλλ' εὐθὺς κολακεύουσιν αὐτοὺς, ἔτι φειδόμενοι, καὶ οὐκ αὐστηρίᾳ χρῶνται, δεδοικότες, μὴ τέλεον αὐτῷ προστεθῶσι.

Verſ. 48. Μή τις — v. 49. νόμον. Αὕτη μᾶλλον ἡ μείζων κατηγορία ὑμῶν, ὅτι ὁ μὲν ὄχλος ἐπίστευσεν· ὑμεῖς δὲ ἠπιστήκατε. νόμον δὲ ἐνταῦθα λέγουσι, τὴν ὅλην γραφὴν ἁπλῶς.

Verſ. 49. Ἐπικατάρατοί εἰσι. Καὶ μὴν ὁ νόμος ἐπικατηράσατο τοῖς ἀθετοῦσι τὸν νόμον· ὑμεῖς οὖν ἐπικατάρατοι, οἱ ἀθετοῦντες τὸν νόμον· ἐκεῖνοι δὲ τηροῦσι τὸν νόμον, πιστεύοντες εἰς αὐτόν. κελεύει γὰρ ὁ νόμος πιστεύειν εἰς τὸν θεόν.

Verſ. 50. Λέγει — v. 51. ποιεῖ; Τὸ εἷς ὢν ἐξ αὐτῶν προσέθηκεν ὁ εὐαγγελιστὴς, δεικνὺς, ὅτι καί τινες τῶν ἀρχόντων ἐπίστευσαν, εἰ καὶ αὐτοὶ εἶπον, ὅτι οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν. ἐλέγχει οὖν αὐτοὺς ὁ νικόδημος παραβάτας τοῦ νόμου, πλὴν λεληθότως καὶ μετὰ φειδοῦς. οὔπω γὰρ τὴν προσήκουσαν εἶχε παῤῥησίαν. εἰ γὰρ ὁ νόμος οὐ κατακρίνει πρὸ τοῦ ἀκοῦσαι καὶ

 γνῶναι

audiſſent et cognouiſſent, legem vtique transgrediebantur.

Verſ. 52. *Responderunt — es?* Num ideo illi es auxilio, quod eiusdem ſis regionis et patriae? Vide, quam aſpere ac ferociter reſpondeant?

Verſ. 52. *Scrutare — ſurrexerit.* Sane illum ſine diſcuſſione condemnare non oportebat: ipſi vero iniurioſe dicunt: Interroga et diſce, neque enim noſti ſcripturas. Verum, ſi eas non nouit, quomodo vos de legis transgreſſione arguit?

Scire autem oportet, quod ea, quae ab hoc loco habentur vſque ad eum, quo dicitur, Iterum ergo loquutus eſt illis Ieſus dicens, Ego ſum lux mundi: in exactioribus exemplaribus, aut non inueniuntur, aut obelo confoſſa ſunt, eo quod illegitima videantur et addita. Et huius argumentum eſt, quod nullus ea ſit interpretatus: nobis tamen animus eſt etiam haec declarare, quod vtilitate non careant, ſicut et Caput de muliere in adulterio deprehenſa, quod inter haec ponitur.

Verſ. 53. *Et — ſuam.* Indignati ob ſermonem Nicodemi, ac timentes ne forte etiam quiſpiam alius ſimilia diceret.

Cap.

[2]) Hic interpretationis locum obtinet hoc vocabulum. Sed Chryſoſtomus multoties id tribuit Euangeliſtae. Vide T. VIII. p. 305. E. 306. A.

[3]) Hunc locum laudat Richardus Simonius in hiſtoria critica textus N. T. p. 145.

[4]) ἐπί. Simonius.

[5]) ὅλως omittit idem.

[6]) ἀκριβῆ ἀντίγραφα nunc appellat, Codices Chryſoſtomi, eosque Noui Teſtamenti, qui cum ſcholiis ſunt. Criſis Euthymii arguitur vocaculis, καὶ τού-

τοῦ

γνῶναι, αὐτοὶ δὲ κατέκριναν αὐτὸν πρὸ λόγου καὶ διαγνώσεως, παρέβησαν ἄρα τὸν νόμον.

Vers. 52. Ἀπεκρίθησαν — εἶ; Μὴ τῆς αὐτῆς αὐτῷ χώρας καὶ πατρίδος ὢν, διὰ τοῦτο βοηθεῖς αὐτῷ; βλέπε, πῶς ἀγροικότερον καὶ θυμικώτερον ἀποκρίνονται;

Vers. 52. Ἐρεύνησον — ἐγήγερται. Καὶ μὴν, οὐκ εἶπεν, ὅτι προφήτης ἐστὶν, ἀλλ' ὅτι κατακριθῆναι αὐτὸν ἀνεξετάστως οὐ χρή· οἱ δὲ ὑβριστικῶς λέγουσιν, ἐρώτησον²) καὶ μάθε, οὐ γὰρ οἶδας τὰς γραφάς. καὶ εἰ οὐκ οἶδεν αὐτὰς, πῶς ὑμᾶς ἤλεγξε παραβαίνοντας τὸν νόμον;

Χρὴ δὲ³) γινώσκειν, ὅτι τὰ ἐντεῦθεν ἄχρι τοῦ, πάλιν⁸) οὖν ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέ- 8) 12.
γων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· παρὰ⁴) τοῖς ἀκριβέσιν ἀντιγράφοις, ἢ οὐχ εὕρηται, ἢ ὠβέλισται. διὸ φαίνονται παρέγγραπτα καὶ προσθήκη· καὶ τούτου τεκμήριον, τὸ μηδὲ τὸν Χρυσόστομον⁵) ὅλως μνημονεῦσαι αὐτῶν.⁶) πειρατέον δὲ ὅμως ἡμῖν καὶ ταῦτα διασαφῆσαι. οὐκ ἄμοιρον γὰρ ὠφελείας οὐδὲ τὸ ἐν τούτοις κεφάλαιον, τὰ περὶ τῆς ἐπὶ μοιχείᾳ κατειλημμένης γυναικός.

Vers. 53. Καὶ — αὐτοῦ. Ὀργισθέντες ἐπὶ τῷ λόγῳ τοῦ Νικοδήμου, καὶ φοβηθέντες, μήποτε καὶ ἄλλος τῶν ἀρχόντων εἴποι τοιαῦτα.

του τεκμήριον. Eadem de caussa supra sollicitauit Lucae 9, 55. Euthymius debebat nosse, Chrysostomum exclusisse etiam Matth. 23, 16—23. et alia per multa Copiose de hoc loco disputaui in mea N. Test. editione. Nunc tantum addo, legi illum locum in Euangeliario Gothano, Octobris die VIII. vti iam notauerat Wetstenius.

Cap. VIII. v. 1. *Iesus autem — Oliuarum.*

Declinans nocturnas insidias.

Vers. 2. *Summo — illos.* Populum hic appellat eos, qui dicebant, Hic est vere propheta: itemque eos, qui dicebant, Hic est Christus: quod non ferentes Iudaei, vide, quid malignentur?

Vers. 3. *Adducunt* — v. 4. *adulterium perpetrantem.* ἐπ' αὐτοφώρῳ, hoc est, manifeste et deprehense, ita vt negari non possit.

Vers. 5. *In* — v. 6. *illum.* Cognoscentes enim, eum misericordem esse ac compatientem, cogitabant, quod esset illi parciturus: et ita habituri essent aduersus eum accusationem, vtpote legis transgressione illi parcentem, quae secundum legem lapidanda erat.

Vers. 6. *Iesus — terra.* Quod frequenter facere solent, qui respondere nolunt importuna indignaque rogantibus: cognita enim illorum machinatione, fingebat se in terra scribere, nec his attendere, quae dicebant.

Vers. 7. *Quum — illam.* Vide sapientiam eius, qui ipsa est sapientia. Nam sagaciter illorum decepit machinationes: simul et seruando legem et parcendo mulieri. Siquidem ei, qui ex ipsis a peccato immunis esset, permisit, vt eam lapidare inciperet: sciens, omnes peccatis esse obnoxios.

Vers. 8. *Rursumque — terra.* Vt dum ipse in eos non respiceret, erubescerent lenius redarguti: vtque ita illo in scribendo occupato, liceret

7) Pro vulgari, Iesus autem, quod Hentenius edidit, vterque habet, καὶ ἰησοῦς.

Cap. VIII. v. 1. Καὶ ἰησοῦς[7]) — ἐλαιῶν. Ἐκκλίνων τὴν διὰ νυκτὸς ἐπιβελήν.

Vers. 2. Ὄρθρου — αὐτούς. Λαὸν ἐνταῦθά φησι, τοὺς λέγοντας, ὅτι οὗτός ἐςιν ἀληθῶς ὁ προφήτης, καὶ τοὺς λέγοντας αὖθις, ὅτι οὗτός ἐςιν ὁ χριςός. ὅπερ ἐκ ἐνεγκόντες οἱ ἰουδαῖοι, σκόπει, τί πονηρεύονται;

Vers. 3. Ἄγουσιν — v. 4. μοιχευομένην Ἐπ᾽ αὐτοφώρῳ λέγεται, τὸ αὐτελέγκτως, αὐτοφανῶς, προδήλως.

Vers. 5. Ἐν — v. 6. αὐτῦ. Γινώσκοντες γὰρ αὐτὸν ἐλεήμονα καὶ συμπαθῆ, προσεδόκων, ὅτι φείσεται αὐτῆς, καὶ λοιπὸν ἔξεςι κατηγορίαν κατ᾽ αὐτοῦ, ὡς παρανόμως φειδομένου τῆς ἀπὸ τῦ νόμου λιθαζομένης.

Vers. 6. Ὁ δὲ ἰησῦς — γῆν. Ὅπερ εἰώθασι πολλάκις ποιεῖν οἱ μὴ θέλοντες ἀποκρίνεσθαι[8]) πρὸς τοὺς ἐρωτῶντας ἄκαιρα καὶ ἀνάξια. γνοὺς γὰρ αὐτῶν τὴν μηχανὴν, προσεποιεῖτο γράφειν εἰς τὴν γῆν, καὶ μὴ προσέχειν, οἷς ἔλεγον.

Vers. 7. Ὡς — αὐτήν. Ὅρα σοφίαν τῆς αὐτοσοφίας κατασοφιζομένην εὐμηχάνως τὰς μηχανὰς αὐτῶν. ὅρα, πῶς ἅμα καὶ τὸν νόμον ἐτήρησε, καὶ τῆς γυναικὸς ἐφείσατο; ἐπέτρεψε γὰρ τὸν ἀναμάρτητον ἐξ αὐτῶν ἄρξασθαι τῦ λιθοβολεῖν αὐτὴν, εἰδὼς, πάντας ἐν ἁμαρτίαις.

Vers. 8. Καὶ πάλιν — γῆν. Ἵνα μὴ, βλέποντος εἰς αὐτοὺς, αἰσχύνωνται, ῥᾶον οὕτως ἐλεγχθέντες, καὶ ἵνα, ὡς αὐτῦ δῆθεν ἀσχολουμένου

[8]) ἀποκρίνασθαι. A.

ceret eis sensim abscedere, antequam manifestius condemnarentur; nam sua summa benignitate etiam ipsis parcebat.

Vers. 9. *At illi — postremos.* Nullus enim seipsum a peccato immunem dicere poterat.

Vers. 9. *Et* — v. 10. *condemnauit?* Recedentes namque dimiserant eam intactam, vtique non condemnatam, quod ad se pertinebat, alioqui oppressissent eam.

Vers. 11. *Quae — condemno.* Nam si illi, quum homines sint, te non condemnauerunt, multo magis ego, qui Deus sum, legisque dominus, te non condemno.

Vers. 11. *Abi — peccaueris.* Satis enim erat talis diuulgatio, et coram tot aduersariis erubescentia pro supplicio: maxime quum sciret, quod illam toto corde poeniteret.

Vers. 12. *Iterum — mundi.* Vtpote mentem hominum illuminans, et ab errore ducens ad veritatem, a peccato ad virtutem: et tanquam illustrans ac exhilarans animas eorum: quemadmodum in prooemio praesentis euangelii disseruimus, vbi dicitur, Et vita erat lux hominum. Hoc autem dixit propter diuersas de se opiniones illorum.

Vers. 12. *Qui — tenebris.* In errore et peccato.

Vers. 12. *Sed — vitae.* Aeternae.

Vers. 13. *Dixerunt* — v. 14. *meum.* Quaere circa media septimi capitis, vbi dicitur, si ego testimonium perhibeo de me ipso, testimonium

*) De quibus supra 7, 40. 41.
*) Inclusa absunt. A.

μένου εἰς τὸ γράφειν, ἐξῇ αὐτοῖς ὑπαναχωρῆσαι πρὸ φανερωτέρας καταγνώσεως. καὶ αὐτῶν γὰρ ἐφείδετο, δι' ὑπερβολὴν χρηστότητος.

Verſ. 9. Ὁι δὲ — ἐσχάτων. Ὀυδεὶς γὰρ ἀναμάρτητον εἰπεῖν ἑαυτὸν ἠδύνατο.

Verſ. 9. Καὶ — v. 10. κατέκρινεν; Ἀναχωρήσαντες γάρ, ἀφῆκαν αὐτὴν ἄνετον· ἐπεὶ δὲ ἄνετον, πάντως καὶ ἀκατάκριτον, τὸ ἐπ' αὐτοῖς. ἢ γὰρ ἂν συνέσχον αὐτήν.

Verſ. 11. Ἡ — κατακρίνω. Ἐι γὰρ ἐκεῖνοι, ἄνθρωποι ὄντες, οὐ κατέκρινάν σε, πολλῷ μᾶλλον ὐδὲ ἐγώ σε κατακρίνω, θεὸς ὢν, καὶ τῦ νόμου κύριος.

Verſ. 11. Πορεύου — ἁμάρτανε. Ἀρκοῦντος τῦ τηλικύτου θριάμβυ, καὶ τῆς ἐνώπιον τοσύτων αἰσχύνης, εἰς τιμωρίαν. ἔγνω γὰρ αὐτὴν καὶ μετανοήσασαν ὁλοκαρδίως.

Verſ. 12. Πάλιν — κόσμου. Ὡς φωτίζων τὸν νῦν τῶν ἀνθρώπων, καὶ ὁδηγῶν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν, καὶ ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν ἀρετήν, καὶ ὡς καταλάμπων καὶ φαιδρύνων τὸ ἡγεμονικὸν αὐτῶν, καθὼς καὶ ἐν προοιμίοις τῦ παρόντος εὐαγγελίου διελάβομεν, ἔνθα κεῖται τό, καὶ h) ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. τῦτο δὲ εἶπε, διὰ τὰς περὶ ἑαυτῦ διαφόρους ὑπολήψεις[a]) αὐτῶν. h) Io. 1. 4.

Verſ. 12. Ὁ — σκοτίᾳ. Ἐν τῇ πλάνῃ καὶ τῇ ἁμαρτίᾳ.

Verſ. 12. Ἀλλ' — ζωῆς. Τῆς αἰωνίου.

Verſ. 13. Εἶπον — v. 14. μου. Ζήτησον περὶ τὰ μέσα τῦ ἑβδόμου κεφαλαίου, [τὸ[a])] ἐὰν i) ἐγὼ μαρτυρῶ περὶ ἐμαυτῦ, ἡ μαρτυρία μου i) Io. 5. 31.
οὐκ

nium meum non eſt verum: in illius ſiquidem enarratione etiam huius facta eſt mentio. Quidam vero aiunt quod illud tanquam homo dixerit, hoc autem tanquam Deus: oſtendens, ſe non nudum eſſe hominem, prout ipſi ſuſpicabantur.

Verſ. 14. *Quia — venerim.* A patre Deo.

Verſ. 14. *Et quo vado.* Ad eundem ipſum, poſt finem huius diſpenſationis. Quia vero ſcio, quod a patre Deo venerim, et ad eum ipſum vado, vtique filius Dei ſum et Deus. Itaque fide dignus ſum et ipſa fides, ſicut et ipſa veritas.

Verſ. 14. *Vos — vado.* Neſcitis, ſicut oſtenditis, ſicut ſimulatis, hoc eſt, neſcire videmini, in veritate tamen ſcitis: ideo etiam ſuperius dixit, Et me ſcitis, et vnde ſim ſcitis.

Verſ. 15. *Vos — iudicatis.* Carnaliter, ſenſualiter, craſſo modo, ad id ſolum, quod apparet, intuentes, nihilque ſublimius ac ſpirituale cogitantes. Sciens autem, eos dicturos, Et quare, ſi potes, non punis nos, qui ita iudicemus, ait:

Verſ. 15. *Ego — quenquam.* Non iudico nunc. Nam et in ſuperioribus tertio capite dixit, Non enim miſit Deus filium ſuum in mundum, vt iudicet mundum, ſed vt ſaluetur mundus per ipſum: et rurſum lege dictam ibi enarrationem. Ne autem iterum dicant, Propterea dicis, Non iudico, quia nos condemnare non audes, infert:

Verſ. 16. *Quod ſi — eſt.* Verum eſt, ſiue rectum, et iam vere condemno vos. Deinde

a) πρὸς αὐτόν.
b) ἐπειδὴ, omiſſo δὲ, A.

οὐκ ἔϛιν ἀληθής. ἐν τῇ ἐξηγήσει γὰρ ἐκείνου] καὶ τοῦτο ἐμνημονεύθη. Φασὶ δέ τινες, ὅτι ἐκεῖνο μὲν εἶπεν, ὡς ἄνθρωπος, τοῦτο δὲ, ὡς θεὸς, ἐμφαίνων, ὅτι οὐκ ἔϛι ψιλὸς ἄνθρωπος, ὡς αὐτοὶ ὑπολαμβάνουσιν.

Verſ. 14. Ὅτι — ἦλθον. Ἐκ πατρὸς θεοῦ.

Verſ. 14. Καὶ ποῦ ὑπάγω. Εἰς[2]) αὐτὸν, μετὰ τὸ τέλος τῆς οἰκονομίας ταύτης. ἐπεὶ[3]) δὲ οἶδα, ὅτι ἐκ πατρὸς θεοῦ ἦλθον, καὶ εἰς αὐτὸν ὑπάγω, πάντως υἱὸς τοῦ θεοῦ εἰμι, καὶ θεός. καὶ λοιπὸν ἀξιόπιϛός εἰμι, καὶ αὐτόπιϛος, ὡς αὐτοαλήθεια.

Verſ. 14. Ὑμεῖς — ὑπάγω. Οὐκ οἴδατε, ὡς δοκεῖτε, ὡς φαίνεσθε, ὡς προσποιεῖσθε. τῇ γὰρ ἀληθείᾳ οἴδατε. διὸ καὶ ἀνωτέρω εἶπεν, ὅτι[k]) κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί. (k) Io. 7, 28.

Verſ. 15. Ὑμεῖς — κρίνετε. Σαρκικῶς, αἰσθητῶς, παχυμερῶς, πρὸς μόνον τὸ φαινόμενον βλέποντες, καὶ μηδὲν ὑψηλότερον καὶ πνευματικὸν ἐννοοῦντες. εἰδὼς δὲ αὐτοὺς μέλλοντας εἰπεῖν, ὅτι καὶ διατί οὐ κολάζεις ἡμᾶς, κρίνοντας οὕτως, εἰ δύνῃ, φησίν

Verſ. 15. Ἐγὼ — οὐδένα. Οὐ κρίνω νῦν. καὶ ὀπίσω γὰρ, ἐν τῷ τρίτῳ κεφαλαίῳ, εἶπεν· οὐ[l]) γὰρ ἀπέϛειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ· καὶ ἀνάγνωθι πάλιν τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. ἵνα δὲ μὴ καὶ αὖθις εἴπωσιν, ὅτι διὰ τοῦτο λέγεις, οὐ κρίνω, ὡς μὴ θαῤῥῶν κατακρῖναι ἡμᾶς, ἐπιφέρει. (l) Io. 3, 17.

Verſ. 16. Καὶ ἐὰν — ἐϛιν. Ἀληθής ἐϛιν, ἤτοι, ὀρθὴ, δικαία. καὶ λοιπὸν ἀληθῶς κατα-

inde etiam dicit, quomodo verum sit iudicium suum.

Vers. 16. *Quia — pater.* Quia solus non sum, qui iudico, sed ego et pater: siquidem omnia nobis sunt communia: et quia, quod ego iudico, hoc et pater: vna enim ambobus est voluntas, vt praedictum est: et pater vos condemnat, qui non credatis filio suo quem ipse misit.

Vers. 17. *Porro — est.* Vestra quemadmodum vos iactatis: nam me transgressorem dicitis. Quod si duorum hominum testimonium verum est, inde colligere ipsi potestis, quod multo magis duorum iudicum iudicium verum est et maxime talium. Huiusmodi autem obscura frequenter loquitur propter eorum imbecillitatem: vt illis quidem occulta sint, robustioribus vero Christianis manifesta. In omnibus ergo similibus causam hanc agnoscito.

Vers. 18. *Ego — meipso.* Rursum ad id, quod dixerant, Tu testimonium perhibes de teipso, hunc facit sermonem dicens: Ego testimonium perhibeo de meipso, etiamsi nemo perhibeat de seipso, ego siquidem tanquam Deus: nemo autem tanquam homo.

Vers. 18. *Et — pater.* Si ego vobis fide dignus non videor. Fert autem testimonium dicens per prophetam: Posui te in lucem Gentium: siue vt lux sis Gentium. Praedictum est autem septimo etiam capite, quomodo pater de ipso ferat testimonium, vbi dicitur, Et qui misit me pater, ipse testimonium perhibuit de me.

Vers. 19.

4) κατακρίνει. A.

5) Forte, καὶ ταῦτα.

κατακρίνω ὑμᾶς. εἶτα λέγει, καὶ πῶς ἀληθής ἐστιν ἡ κρίσις αὐτοῦ.

Vers. 16. Ὅτι — πατήρ. Ὅτι μόνος οὐκ εἰμὶ κρίνων, ἀλλ' ἐγὼ καὶ ὁ πατήρ. κοινὰ γὰρ ἡμῖν πάντα. καὶ ἐπεὶ, ὅπερ ἐγὼ κρίνω, τοῦτο καὶ ὁ πατήρ. ἓν γὰρ ἀμφοτέροις, ὡς προείρηται, θέλημα. καὶ ὁ πατὴρ ἄρα [5]) κατακρινεῖ ὑμᾶς, ἀπιστοῦντας τῷ ἀπεσταλμένῳ παρ' αὐτοῦ υἱῷ αὐτοῦ.

Vers. 17. Καὶ — ἐστι. Τῷ ὑμετέρῳ, ὡς αὐτοὶ βρενθύεσθε. παράνομον γὰρ ἐμὲ λέγετε. εἰ δὲ δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθὴς, τὸ ἐντεῦθεν αὐτοὶ συλλογίσασθε, ὅτι πολλῷ μᾶλλον δύο κριτῶν ἡ κρίσις ἀληθὴς, καὶ [5]) τότε τοιούτων. συνεσκιασμένα δὲ τὰ τοιαῦτα πολλαχοῦ λέγει, διὰ τὴν ἀσθένειαν αὐτῶν, ἵνα ἐκείνοις μὲν εἴη ἀσυμφανῆ, τοῖς δυνατωτέροις δὲ χριστιανοῖς ἐμφανῆ. ἐπὶ πάντων οὖν τῶν τοιούτων ταύτην γίνωσκε τὴν αἰτίαν.

Vers. 18. Ἐγώ — ἐμαυτοῦ. Πάλιν πρὸς τὸ, σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ποιεῖται τὸν λόγον, ἐγώ εἰμι, λέγων, ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, εἰ καὶ οὐδεὶς μαρτυρεῖ περὶ ἑαυτοῦ. ἐγὼ μὲν γὰρ, ὡς θεὸς, οὐδεὶς δὲ, ὡς ἄνθρωπος.

Vers. 18. Καὶ — πατήρ. Εἰ μὴ ἐγὼ δοκῶ ὑμῖν ἀξιόπιστος. μαρτυρεῖ γὰρ διὰ τοῦ προφήτου λέγων· ἰδοὺ [m]) τέθεικά σε εἰς φῶς ἐθνῶν, m) Ies. 49, 6.
[ἤγουν, [6]) εἰς τὸ εἶναι φῶς ἐθνῶν.] προείρηται δὲ καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ, πῶς ὁ πατὴρ μαρτυρεῖ περὶ αὐτοῦ, ἔνθα κεῖται τὸ, καὶ ὁ [n]) n) Io. 5, 37.
πέμψας με πατὴρ [7]) αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ.

Vers. 19.

6) Inclusa exciderunt. A.
7) αὐτὸς, omittit. B.

Verſ. 19. *Dixerunt — tuus?* Dicebant hoc fingentes, ſe ignorare quemnam diceret patrem, ac tentantes.

Verſ. 19. *Reſpondit — meum.* Quemadmodum ſimulatis: nam in veritate noſtis, quemadmodum ſuperius oſtenſum eſt. Aut hoc dixit, quia ſimulabant ſe ſcire, quod filius eſſet Ioſeph. Dicit ergo, ſi me ita cognoſcitis, vt fingitis, neque me noſtis: non ſum enim filius Ioſeph: neque patrem meum: nam Ioſeph non eſt pater meus.

Verſ. 19. *Si — vtique cognouiſſetis.* Nam vnius ſumus ambo naturae. In decimo ſexto etiam capite dixit ad Philippum, Qui vidit me, vidit et patrem, ſiue cognouit, intellexit. Nam viſionem et cognitionem dicit, non ſenſibilem, ſed intelligibilem. Sed quia me non noſſe vos ſimulatis, conſequens etiam eſt, vt et patrem meum vos non noſſe fingatis.

Verſ. 20. *Haec — gazophylacio.* Haec verba libere dicta. Significauit autem locum, oſtendens dicendi libertatem ipſius doctoris. Gazophylacium vero theſauri repoſitorium erat, de quo latius diximus quadrageſimo primo iuxta Marcum capite.

Verſ. 20. *Docens in templo.* Publice: nam in templo etiam erat gazophylacium.

Verſ. 20. *Et — eum.* Quum ita libere loqueretur.

Verſ. 20. *Quia — eius* Qua comprehendi et capi poſſet. Adhuc enim oportebat eum mira-

8) Incluſa abſunt. A.
9) μὲ ἤδειτε ἂν, ceteris omiſſis. A.

Vers. 19. Ἔλεγον — σου.] Ἔλεγον τοῦτο, προσποιούμενοι ἀγνοεῖν, τίνα λέγει πατέρα, καὶ πειράζοντες.

Vers. 19. Ἀπεκρίθη — μου. [Ὡς [a]) προσποιεῖσθε. τῇ ἀληθείᾳ γὰρ οἴδατε,] καθὼς καὶ ἀνωτέρω δεδήλωται. ἢ τοῦτο εἶπε, διότι προσεποιοῦντο, γινώσκειν αὐτὸν υἱὸν τοῦ Ἰωσὴφ, λέγων, εἰ οὕτως οἴδατε, ὡς προσποιεῖσθε, οὔτε ἐμὲ οἴδατε· οὐ γὰρ ἐγὼ υἱὸς τοῦ Ἰωσήφ· οὔτε τὸν πατέρα μου·[b]) οὐ γὰρ ὁ Ἰωσὴφ πατήρ μου.

Vers. 19. Εἰ — ᾔδειτε ἄν. Μιᾶς γὰρ ἀμφότεροι φύσεως. καὶ ἐν τῷ ἑκκαιδεκάτῳ δὲ κεφαλαίῳ πρὸς τὸν Φίλιππον εἴρηκεν· ὁ [o]) ἑωρακὼς o) Io. 14, 9.
ἐμὲ, ἑώρακε τὸν πατέρα, ἤγουν, ὁ νενοηκὼς, ὁ γνούς. εἴδησιν γὰρ καὶ ὅρασιν, οὐκ αἰσθητήν φησιν, ἀλλὰ νοητήν. ἐπεὶ δὲ ἐμὲ προσποιεῖσθε μὴ εἰδέναι, ἀκολούθως καὶ τὸν πατέρα μου προσποιεῖσθε μὴ εἰδέναι.

Vers. 20. Ταῦτα — γαζοφυλακίῳ. Ταῦτα τὰ παῤῥησιαστικά. ἐπεσημήνατο γὰρ τὸν τόπον, δεικνύων τὴν παῤῥησίαν τοῦ διδασκάλου. γαζοφυλάκιον δὲ, τὸ θησαυροφυλάκιον, περὶ οὗ πλατύτερον ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον εἰρήκαμεν.

Vers. 20. Διδάσκων ἐν τῷ ἱερῷ. Δημοσίᾳ. ἐν τούτῳ γὰρ ἦν καὶ τὸ γαζοφυλάκιον.

Vers. 20. Καὶ — αὐτόν. Οὕτω παῤῥησιαζόμενον.

Vers. 20. Ὅτι — αὐτοῦ. Ἡ τοῦ συλληφθῆναι καὶ ἀναιρεθῆναι αὐτόν. ἔδει γὰρ τοῦτον

miracula operari ac docere, multosque ad fidem attrahere, sicut in praecedentibus diximus. Continue autem hoc dicit, ostendens, quod frequenter id tentantes non potuerunt, et quod nunquam potentiores ad eum apprehendendum fuissent, nisi ipse voluisset.

Vers. 21. *Dixit — vado.* Transeo a terrena vita.

Vers. 21. *Et quaeretis me.* Etiam superius hoc dixit, et ibi declaratum est.

Vers. 21. *Et — moriemini.* Ego veni, vt vos liberarem ab omni peccato vestro: quia vero noluistis, iam abeo, et deinceps in omni peccato vestro moriemini, quod ab eo liberari nolueritis.

Peccatum autem intellige etiam id, quod aduersus ipsum erat, quia interfecturi ipsum erant, in quo mortui sunt, nempe propter illud iugulati a Romanis, Vespasiano et Tito.

Vers. 21. *Quo — venire.* Haec frequenter dicit, animas illorum concutiens et exterrens.

Vers. 22. *Dicebant — venire?* Quod optabant, hoc etiam suspicabantur. Quid ergo Christus? Tollit huiusmodi suspicionem, ostenditque, quod peccatum sit, se ipsum interimere.

Vers. 23. *Et — estis.* Ex terra, non quod corpus eorum terrenum esset, sed quia prudentia illorum esset terrena et praua. Nam et Paulus dicens, Non estis ex carne: carnem appellat prudentiam carnalem.

Vers. 23.

*) καί, interponit. A.

ἔτι θαυματουργῆσαι καὶ διδάξαι καὶ πολλοὺς εἰς πίστιν ἐπισπάσασθαι, ὡς καὶ προλαβόντες εἰρήκαμεν. συνεχῶς δὲ τοῦτο λέγει, δεικνὺς, ὅτι πολλάκις ἐπιχειρήσαντες οὐκ ἠδυνήθησαν, καὶ ὅτι οὐδ᾽ ὕστερον ἐκράτησαν ἂν αὐτὸν, εἰ μὴ[1]) αὐτὸς ἠθέλησεν.

Verſ. 21. Εἶπεν — ὑπάγω. Μεταβαίνω ἀπὸ τῆς ἐπιγείου ζωῆς.

Verſ. 21. Καὶ ζητήσετέ με. Καὶ ἀνωτέρω τοῦτο εἶπε, καὶ ἡρμηνεύθη ἐκεῖ.

Verſ. 21. Καὶ — ἀποθανεῖσθε. Ἦλθον ἐλευθερώσων[2]) ὑμᾶς ἀπὸ πάσης ἁμαρτίας ὑμῶν· ἐπεὶ δὲ οὐκ ἠθελήσατε, ἀπέρχομαι, καὶ λοιπὸν ἐν πάσῃ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε, μὴ θελήσαντες ἀπαλλαγῆναι αὐτῆς.

Ἁμαρτίαν δὲ νόησον, καὶ τὴν εἰς αὐτὸν, διότι ἔμελλον ἀνελεῖν αὐτὸν, ἐν ᾗ ἀπέθανον, ἤτοι δι᾽ ἣν κατεσφάγησαν ὑπὸ τῶν ῥωμαίων, οὐεσπασιανοῦ καὶ τίτου.

Verſ. 21. Ὅπου — ἐλθεῖν. Συνεχῶς ταῦτα λέγει, κατασείων αὐτῶν τὰς ψυχὰς καὶ ἐκφοβῶν.

Verſ. 22. Ἔλεγον — ἐλθεῖν; Ὃ ἐβούλοντο, τοῦτο καὶ ὑπέλαβον. τί οὖν ὁ χριστός; ἀναιρεῖ τὴν τοιαύτην ὑπόληψιν, καὶ δείκνυσιν, ὅτι ἁμαρτία ἐστὶ τὸ ἀνελεῖν ἑαυτόν.

Verſ. 23. Καὶ — ἐστέ. Ἐκ τῆς γῆς, οὐχ ὅτι τὸ σῶμα αὐτῶν ἐκ τῆς γῆς, ἀλλ᾽ ὅτι τὸ φρόνημα αὐτῶν γήϊνον καὶ φαῦλον. καὶ ὁ παῦλος γὰρ, λέγων· οὐκ[p]) ἐστὲ ἐν σαρκί· σάρκα, τὸ σαρκικὸν φρόνημα λέγει. p) Rom. 8, 9.

[2]) ἐλευθερῶσαι. A.

Verſ. 23. *Ego — ſum.* De coelo: non quod ipſe de coelo veniſſet, ſed quia prudentia eius coeleſtis eſſet ac diuina. Deinde ſermonem ſuum explanat.

Verſ. 23. *Vos — hoc.* Mundum hic dicit mundanam, prauam, ac terrenam prudentiam. Quemadmodum enim Spiritus dicitur, ſpiritualis ſapientia, et Caro, carnalis: ita et Terra ac Mundus, terrena ac mundana. Ait ergo, Ego non ſicut vos ſapio, vt me ipſum interficiam.

Verſ. 24. *Dixi — veſtris.* Adhuc eos exterret volens perſuadere.

Verſ. 24. *Si enim — veſtris.* Si non credideritis, quod ego ſim, videlicet Chriſtus filius Dei, moriemini in peccatis veſtris, detenti ab eis. Nam qui non crediderit, et per baptiſmum a ſorde peccati ablutus fuerit, omnino in illa morietur, et cum ea reſurgens dabit poenas.

Verſ. 25. *Dixerunt — es?* Subſannantes hoc dicebant ac tentantes.

Verſ. 25. *Et — vobis.* Defectiuus eſt ſermo iuxta conſuetum loquendi modum. Tale eſt autem, ac ſi diceret, Omnino ſuperfluum eſt etiam, quod vobis loquar: nam omni ſermone indigni eſtis, vtpote tentatores.

Verſ. 26. *Multa — iudicare.* Multa de vobis in accuſationem dicere poſſem, et iudicare ad puniendum, ſed nunc nolo, quia nec pater meus vult. Praedixit enim, quod non miſerit Deus filium ſuum in mundum, vt iudicet mundum, ſed vt ſaluetur mundus per eum.

Verſ. 26.

*) Vide variantes lectiones Codd. Euthymii in operis principio notatas.

Verf. 23. Ἐγὼ — εἰμί. Ἐκ τοῦ οὐρανοῦ, οὐχ ὅτι ἐκ τοῦ οὐρανοῦ ἥκεν, ἀλλ᾽ ὅτι τὸ φρόνημα αὐτοῦ οὐράνιον καὶ θεῖον. εἶτα σαφηνίζει τὸν λόγον.

Verf. 23. Ὑμεῖς — τούτου. Κόσμον ἐνταῦθα λέγει, τὸ κοσμικὸν καὶ φαῦλον καὶ γήϊνον φρόνημα. ὥσπερ γὰρ πνεῦμα λέγεται, τὸ πνευματικὸν φρόνημα, καὶ σὰρξ τὸ σαρκικόν· οὕτω καὶ γῆ καὶ κόσμος, τὸ γήϊνον καὶ κοσμικόν. Φησὶν οὖν, ὅτι ἐγὼ οὐχ, ὡς ὑμεῖς, φρονῶ, ἵνα ἀποκτείνω ἐμαυτόν.

Verf. 24. Εἶπον — ὑμῶν. Ἔτι ἐκφοβεῖ αὐτοὺς βουλόμενος πεῖσαι.

Verf. 24. Κἂν[3]) — ὑμῶν. Ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, δηλαδὴ ὁ χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν, συνεχόμενοι αὐταῖς. ὁ γὰρ μὴ πιστεύσας, καὶ διὰ βαπτίσματος ἀπολουσάμενος τὸν ῥύπον τῶν ἁμαρτιῶν, ἐν αὐτῷ πάντως ἀποθανεῖται, καὶ μετ᾽ αὐτοῦ ἀναστὰς, δίκην δώσει.

Verf. 25. Ἔλεγον — εἶ; Φαυλίζοντες τοῦτο ἔλεγον, καὶ πειράζοντες.

Verf. 25. Καὶ — ὑμῖν. Ἐλλειπτικὸν τὸ ῥῆμα κατ᾽ ἦθος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅλως, ὅτι καὶ λαλῶ ὑμῖν, περιττόν ἐστιν. ἀνάξιοι γάρ ἐστε παντὸς λόγου, ὡς πειρασταί.

Verf. 26. Πολλὰ — κρίνειν. Πολλὰ δύναμαι περὶ ὑμῶν λαλεῖν, εἰς κατηγορίαν, καὶ κρίνειν, εἰς τὸ κολάσαι· ἀλλ᾽ οὐ βούλομαι νῦν, διότι οὐδὲ ὁ πατήρ μου βούλεται. προείρηκε γὰρ, ὅτι οὐκ[q]) ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ. q) Io. 3. 17.

Vers. 26. *Sed — est.* Qui misit me, non vt nunc iudicem, sed vt saluem. Aut verax est, quum me lucem mundi nominauit. Ecce, inquit, posui te in lucem Gentium, veluti superius significatum est.

Vers. 26. *Et ego — mundo.* Audiui ab eo etiam hoc inter alia, quod ego sim lux Gentium: et inter alia etiam hoc dixi, quod ego sim lux mundi. Quod ergo audiui, hoc dixi.

Vers. 27. *Non — dicebat.* Non cognouerunt, quod de patre eis dicebat, qui sibi natura pater esset. Verisimile enim est, quod dubitantes inter se rogabant: Quis est, qui misit illum? Atqui frequenter eis de illo dissernerat. Vide, quo modo sermonibus eius attendebant, imo potius, quo modo mente capti erant? Merito ergo dixit illis, In primis quod etiam loquar vobis.

Vers. 28. *Dixit — sim.* Quum suspenderitis me quasi hominem in cruce, tunc cognoscetis, quod ego sim, videlicet filius Dei et Deus. Nam tanquam Deus dixit, Ego sim. Cognoscetis autem hoc a signis, quae tunc fient, quibus contradici non poterit, et a resurrectione mea a mortuis: insuper etiam ab ira diuina, quae tunc genus comprehendet Iudaeorum. Siquidem postquam illum crucifixerunt et stupenda illa signa facta sunt, scribit Lucas, quod omnes turbae, quae simul accesserant ad spectaculum istud, et videbant, quae fiebant, percutientes pectora sua reuertebantur. Cognoscebant enim, quod vere diuinus homo esset, et illi compateretur creatura: quum autem loqui non auderent propter timorem principum, percutie-

4) γενομένων. B.

Verf. 26. Ἀλλ' — ἐςι. Πέμψας με, μὴ κρῖναι νῦν, ἀλλὰ σῶσαι. ἡ ἀληθής ἐςιν, ὀνομάσας με Φῶς τȣ̃ κόσμου. ἰδοὺ γάρ, φησι, τέθεικά σε r) εἰς φῶς ἐθνῶν, ὡς ἀνωτέρω δεδήλωται. r) Ief. 49, 6.

Verf. 26. Κἀγὼ — κόσμον. Ἤκουσα παρ' αὐτȣ̃, τά, τε ἄλλα, καὶ ὅτι εἰμὶ φῶς ἐθνῶν· καὶ εἶπον, τά, τε ἄλλα, καὶ ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. ὃ οὖν ἤκουσα, τοῦτο εἶπον.

Verf. 27. Οὐκ — ἔλεγεν. Οὐκ ἔγνωσαν, ὅτι περὶ τȣ̃ πατρὸς αὐτοῖς ἔλεγε, τȣ̃ φύσει πατρὸς αὐτȣ̃. εἰκὸς γάρ, αὐτοὺς διαπορεῖν πρὸς ἀλλήλους, λέγοντας, τίς ἐςιν ὁ πέμψας αὐτόν; καίτοι πολλάκις αὐτοῖς διειλέχθη περὶ ἐκείνου. τοσοῦτον προσεῖχον τοῖς λόγοις αὐτοῦ, μᾶλλον δέ, τοσȣ̃τον ἦσαν φρενοβλαβεῖς. εἰκότως ȣ̃ν εἶπεν αὐτοῖς, τὴν s) ἀρχήν, ὅτι καὶ λαλῶ ὑμῖν. s) Io. 8, 25.

Verf. 28. Εἶπεν — εἰμι. Ὅταν κρεμάσητέ με, ὡς ἄνθρωπον, ἐπὶ ςαυρȣ̃, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι, δηλονότι ὁ υἱὸς τȣ̃ θεȣ̃, καὶ θεός. ὡς θεὸς γὰρ εἴρηκα τὸ, ἐγώ εἰμι. γνώσεσθε δὲ τȣ̃το, ἀπό τε τῶν τηνικαῦτα t) γενησομένων ἀναντιῤῥήτων σημείων, καὶ ἀπὸ τῆς ἐκ νεκρῶν ἀναςάσεώς μου, καὶ μὴν καὶ ἀπὸ τῆς ἔκτοτε καταληψομένης τὸ γένος τῶν ἰουδαίων θεομηνίας. μετὰ γὰρ τὸ ςαυρωθῆναι αὐτὸν, καὶ γενέσθαι τὰ φοβερὰ ἐκεῖνα σημεῖα, γράφει λουκᾶς ὅτι καὶ t) πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ ςήθη ὑπέςρεφον. ἔγνωσαν μὲν γάρ, ὅτι θεῖος ἄνθρωπος ὄντως ἦν, καὶ συμπάσχει αὐτῷ ἡ κτίσις, μὴ φέρουσα τὸ πάθος αὐτȣ̃. μὴ τολμῶντες δὲ λαλεῖν, διὰ τὸν φόβον τῶν ἀρχόν- t) Luc. 23, 48.

 των,

cutiebant pectora sua, significantes dolorem interiorem. Suspicabantur namque futurum esse, vt malum aliquod irremediabile propter illum omne genus Iudaeorum concuteret. Nam et Centurio, et qui cum eo erant, seruantes Iesum, vt ait Matthaeus, quum vidissent, quae fiebant, vehementer territi sunt, dicentes, Vere Dei filius erat iste.

Sed et ipsi principes Iudaeorum cognouerunt tunc, quod Dei filius erat, et Deus, quanquam propriam conculcauerunt conscientiam, nimia inuidia ac insania. Ait enim rursum Matthaeus: Ecce quidam de custodibus venerunt in ciuitatem et renuntiauerunt principibus sacerdotum vniuersa, quae acciderant: et congregati cum senioribus accepto consilio, pecunias multas dederunt militibus dicentes, Dicite: Discipuli eius nocte venerunt, et furati sunt eum nobis dormientibus et caetera.

Praeterea, quoque Iosephus, qui et ipse Iudaeus erat peritissimus, scribens calamitates Iudaeorum, quae ab eo tempore coeperunt, ac Ierosolymorum captiuitatem, fatetur propter Christum effusam esse aduersus eos diuinam iram: et occisa esse a Romanis tam multa ipsorum millia. Quia enim, quum eos curare vellet, agnoscere eum noluerunt, ideo affecti supplicio, quis esset cognouerunt.

Vers. 28. *Et — loquor.* Nam si illud tunc cognoueritis, omnino etiam hoc scietis, quod a meipso facio nihil, sed omnia quae vult pater, quum

5) *τὸν σεισμὸν καὶ* iidem Codices Euthymii omittunt etiam in contextu apud Matthaeum. Chrysostomus hunc locum negligentissime tractat, Lucam potius, quam Matthaeum interpretans. Vide Tom. VII. p. 826. E. Ceteri Codices N. Testamenti cum scholiis, cuiusmodi ad manus habuit Euthymius, ista seruant. Id intelligitur ex mea editione.

νῶν, ἔτυπτον τὰ ςήθη αὐτῶν, σημαίνοντες τὴν ἐντὸς ὀδύνην. ὑπώπτευον γὰρ, ὅτι κακὸν ἀνήκεςον τὸ γένος ἅπαν πείσεται δι' αὐτόν. καὶ γὰρ καὶ ὁ v) ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν ἰησοῦν, ὥς φησι ματθαῖος, ἰδόντες [5]) τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες, ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. v) Matt. 27, 54.

Ἀλλὰ καὶ αὐτοὶ οἱ ἄρχοντες τῶν ἰουδαίων ἔγνωσαν τότε ὅτι θεοῦ υἱὸς ἦν, καὶ θεὸς, εἰ καὶ πεπατήκασι τὴν συνείδησιν ἑαυτῶν, δι' ὑπερβολὴν φθόνου καὶ μανίας. λέγει γὰρ πάλιν ὁ ματθαῖος· ὅτι x) ἰδού, τινες τῆς κουςωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς ςρατιώταις, λέγοντες· εἴπατε, ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων, καὶ τὰ ἑξῆς. x) Matt. 28, 11-13.

Ἔτι γε μὴν καὶ τὰς ἔκτοτε τῶν ἰουδαίων συμφορὰς, καὶ τὴν ἅλωσιν τῶν ἱεροσολύμων, συγγράφων ὁ λογιώτατος ἐν ἰουδαίοις ἰώσηπος, ὁμολογεῖ, διὰ τὸν χριςὸν [6]) χεθῆναι κατ' αὐτῶν τὴν τοιαύτην θεομηνίαν, καὶ κατασφαγῆναι [7]) τὰς τοσαύτας αὐτῶν μυριάδας ὑπὸ ῥωμαίων. ἐπεὶ γὰρ θεραπευόμενοι, γνῶναι αὐτὸν οὐκ ἠθέλησαν, κολαζόμενοι, ἔγνωσαν, τίς ἦν.

Verſ. 28. Καὶ — λαλῶ. Εἰ γὰρ ἐκεῖνο γνώσεσθε τότε, πάντως καὶ ταῦτα, ὅτι ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ πάντα, ἃ θέλει ὁ πατήρ.

V 5

editione. Ergo Euthymii auctoritas valere hoc loco nequit.

6) δεχθῆναι. A.

7) Euthymius videtur confundere caedem Ioannis Baptiſtae et caedem Chriſti. Vide Ioſeph. Antiq. Lib. XVIII. 5, 2. Tom. I. pag. 883. Eandem ſententiam repetit Euthymius infra ad Io. XI. verſ. 47. 48.

quum enim aequalis illi sim, haec volo quae ille vult: vna siquidem est voluntas, sicut et vna potentia: et quod ea, quae docuit me, haec loquor: nam ille meus est, ego autem verbum: de operibus namque dixit etiam superius, Non possum ego facere a me quicquam: et lege etiam dicti illius interpretationem. De sermonibus vero iterum dixit, Mea doctrina non est mea, sed eius, qui misit me: et de hoc etiam lege explanationem.

Vers. 29. *Et — est.* Ne putaremus, quod maior esset is, qui misit, curat huiusmodi suspicionem dicens, Et qui misit me, mecum est, tanquam inseparabilis, misisse siquidem dispensationis est: esse autem cum eo, qui misit, cohaerentiae siue conglutinationis. Nam sancta trinitas, quae aequaliter omnem implet locum, a seipsa non secernitur.

Vers. 29. *Non — semper.* Si hoc, vt homo, ait, tantundem est ac si dicat: Quod quum Deus vbique sit iuxta illud, Nonne coelum et terram ego impleo? magis tamen in his esse dicitur, qui eo digni sunt. Si autem, vt Deus: propter sanctae trinitatis inseparabilitatem hoc dicit, quae propriis quidem distinguitur personis, vnitur autem diuinitatis ac substantiae identitate.

Id vero, Quae placita sunt ei, facio semper, aut tanquam illi obediens secundum humanitatem dicit, aut tanquam illi aequalis secundum diuinitatem ac voluntatem. Quod si ea, quae placita sunt ei, facio semper, gratum illi vtique est accedentes etiam sabbatho curare.

Intellige autem, quae depressa sint verba tanquam dispensatoria propter imbecillitatem Iudaeorum,

της. ἴσος γὰρ αὐτῷ ὤν, ἃ θέλει, ταῦτα θέλω. ἓν γὰρ ἡμῖν θέλημα, ὥσπερ καὶ μία δύναμις· καὶ ὅτι ἃ ἐδίδαξέ με, ταῦτα λαλῶ· νοῦς μὲν γὰρ ἐκεῖνος, λόγος δὲ ἐγώ. περὶ μὲν οὖν τῶν ἔργων εἶπε καὶ ὀπίσω, ὅτι οὐ [y]) δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καὶ ἀνάγνωθι πάλιν τὴν ἐξήγησιν ἐκείνου τοῦ ῥητοῦ. περὶ δὲ τῶν λόγων αὖθις εἴρηκεν, ὅτι [z]) ἡ ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με· καὶ ἀνάγνωθι καὶ τὴν περὶ τούτου ἑρμηνείαν.

y) Io. 5, 30.
z) Io. 7, 16.

Verſ. 29. Καὶ — ἐστιν. Ἵνα μὴ νομίσωμεν, ὅτι μείζων ἐστὶν ὁ πέμψας, θεραπεύει τὴν τοιαύτην ὑποψίαν, λέγων· καὶ ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν, ὡς ἀχώριστος. τὸ μὲν γὰρ πέμψαι, τῆς οἰκονομίας ἐστί· τὸ δὲ μετὰ τοῦ πεμφθέντος εἶναι, τῆς ἀλληλουχίας. ἡ γὰρ ἁγία τριὰς, ἐπίσης πάντα τόπον πληροῦσα, ἑαυτῆς οὐ διέστηκεν.

Verſ. 29. Οὐκ — πάντοτε. Εἰ μὲν, ὡς ἄνθρωπος, τοῦτό φησιν, ἔστιν εἰπεῖν, ὅτι πανταχοῦ μέν ἐστιν ὁ θεὸς, κατὰ τό· οὐχὶ [a]) τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; μᾶλλον δὲ εἶναι λέγεται ἐν τοῖς ἀξίοις αὐτοῦ· εἰ δὲ, ὡς θεὸς, διὰ τὸ ἀχώριστον τῆς ἁγίας τριάδος, διῃρημένης μὲν ταῖς ἰδικαῖς ὑποστάσεσιν, ἡνωμένης δὲ τῇ ταυτότητι τῆς οὐσίας καὶ θεότητος.

a) Ier. 23, 24.

Τὰ ἀρεστὰ δὲ αὐτῷ ποιῶ πάντοτε, ἢ ὡς πειθόμενος αὐτῷ κατὰ τὴν ἀνθρωπότητα, ἢ ὡς ἴσος αὐτῷ, κατὰ τὴν θεότητα καὶ θέλησιν. εἰ δὲ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε, ἀρεστὸν αὐτῷ ἄρα καὶ τὸ ἐν σαββάτῳ θεραπεύειν τοὺς παρειμένους.

Δέχου δὲ [b]) τὰ ταπεινὰ ῥήματα, ὡς οἰκονομικὰ, διὰ τὴν ἀσθένειαν τῶν ἰουδαίων, ὡς καὶ προ-

b) τὰ, omittit, B.

rum, ſicut in ſuperioribus retulimus: nam huiusmodi magis vulgus attrahebant, ſicut et affine exemplum. Vide enim, quod ſequitur.

Verſ. 30. *Haec — eum.* Quando ad humiliorem ſeſe demittebat ſermonem, tunc credebant: non tamen, vt oportebat, credebant, ſed vulgari modo credebant humilioribus eius ſermonibus, non recipientes ſubliniores. Quod ſciens Chriſtus, nititur illos corrigere, quod ſuum eſt, vbique faciens: licet ipſi citius ab eo recedebant, et ad iniurias magis deflectebant.

Verſ. 31. *Dixit — Iudaeos.* Ad eos, qui tunc, vt dictum eſt, crediderant.

Verſ. 31. *Si — eritis.* Si vos permanſeritis, ſicut alii non permanſerunt, de quibus dixit euangeliſta, Multi ex diſcipulis eius abierunt retrorſum, et iam non cum eo ambulabant. Si vos, inquit, perſeueraueritis in ſermone meo, ſiue in doctrina mea, quam ego docebo vos, tunc vere diſcipuli mei eritis, nondum enim eſtis.

Verſ. 32. *Et cognoſcetis veritatem.* Hoc eſt, me: ego enim, ait, ſum veritas. Cognoſcetis a me veritatem. Nam omnia legalia figura, vmbra et imago ſunt veritatis.

Verſ. 32. *Et — vos.* A peccatis.

Verſ. 33. *Reſponderunt — efficiemini?* Omittentes dicere, Quid ergo, Falſa eſt lex? falſane eſt Iudaeorum ſcientia? hoc quidem non dicunt: neque enim haec illis curae fuerunt, ſed de iniuria corporalis generoſitatis indignantur, ſuſpicantes,

q) ἢ interponendum videtur. Eſt enim haec alia interpretatio, diuerſa a priori.

r) ψευδος. A.

προλαβόντες παρηγγείλαμεν. τὰ τοιαῦτα γὰρ μᾶλλον ἐφείλκοντο τοὺς πολλοὺς, καὶ τὸ παράδειγμα ἐγγύς. ὅρα γάρ.

Verſ. 30. Ταῦτα — αὐτόν. Ὅτε εἰς τὸ ταπεινότερον κατήγαγε τὸν λόγον, τότε ἐπίστευσαν· οὐχ ὡς ἐχρῆν δὲ ἐπίστευσαν, ἀλλ᾽ ἁπλῶς ἐπίστευσαν τοῖς ταπεινοτέροις λόγοις αὐτοῦ, μὴ παραδεξάμενοι τοὺς ὑψηλοτέρους, ὅπερ εἰδὼς ὁ χριστὸς, πειρᾶται διορθοῦν αὐτοὺς, τὸ ἑαυτοῦ πανταχοῦ ποιῶν, εἰ καὶ αὐτοὶ ταχέως ἀπεπήδησαν, καὶ πρὸς ὕβρεις μᾶλλον ἐξετράπησαν.

Verſ. 31. Ἔλεγεν — ἰουδαίους. Πρὸς τοὺς πεπιστευκότας τότε, ὡς εἴρηται.

Verſ. 31. Ἐὰν — ἐστέ. Ἐὰν ὑμεῖς ἐμμείνητε, ὡς τῶν ἄλλων μὴ ἐμμεινάντων, περὶ ὧν εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι πολλοὶ[b]) ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ, εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ᾽ αὐτοῦ περιεπάτουν. ἐὰν ὑμεῖς ἐμμείνητε, φησι, τῷ λόγῳ τῷ ἐμῷ, ἤγουν, τῇ διδασκαλίᾳ μου, ἣν διδάξω ὑμᾶς, τότε ἀληθῶς μαθηταί μου ἐστέ. οὔπω γάρ ἐστε.

b) Io. 6, 66.

Verſ. 32. Καὶ γνώσεσθε τὴν ἀλήθειαν. Ἐμέ. ἐγὼ γάρ, φησιν, εἰμὶ ἡ ἀλήθεια.[9]) γνώσεσθε τὴν ἀλήθειαν παρ᾽ ἐμοῦ. τὰ γὰρ νομικὰ πάντα, τύπος καὶ σκιὰ καὶ εἰκὼν τῆς ἀληθείας εἰσί.

Verſ. 32. Καὶ — ὑμᾶς. Ἀπὸ τῶν ἁμαρτιῶν.

Verſ. 33. Ἀπεκρίθησαν — γενήσεσθε; Ἀφέντες εἰπεῖν, τί οὖν; ψεῦδος ὁ νόμος;[1]) ψευδὴς ἡ τῶν ἰουδαίων γνῶσις; τοῦτο μὲν οὐ λέγουσι· τῶν τοιούτων γὰρ οὐκ ἔμελεν αὐτοῖς· ἐπὶ τῇ ὕβρει δὲ τῆς σωματικῆς εὐγενείας ἀγανακτοῦσιν, ὑποπτεύ-

cantes, quod tanquam seruis alicuius hominis dixerit ipsis, Liberabit vos. Merito ergo dicebat Iohannes[a], Ne videamini dicere intra vos, Patrem habemus Abraham. Huiuscemodi sane erant Iudaeorum gloriationes. Nam quum de propriis virtutibus gloriari non possent, progenitorum nobilitatem opponebant. Quid ergo Christus? Non conuicit eos, quod saepius seruissent Aegyptiis et Babyloniis, aliisque diuersis gentibus: sed hanc quidem praetermisit seruitutem, vt quae nihil animae generositati officiat: de peccato vero ait, quod illi nocet, seruituti eam subiiciens, cuius est miserrima seruitus, a qua non alius liberabit, praeter Christum ac doctrinam illius.

Vers. 34. *Respondit — peccati.* Ostendit, quod superius significauerit animae seruitutem ac peccati, non eam, quae vi humana contingebat. Ne autem dicerent, Moses nos ab hac liberabit: per similitudinem[b] ostendit, quod quum sit ille seruus, talem non habeat potestatem: sed ipse, vtpote filius.

Vers. 35. *Seruus autem — aeternum.* Seruus non accipit in haereditatem domum domini sui, filius accipit ipsam in haereditatem. Itaque non habet ille potestatem liberandi, quum sit seruus: ego habeo potestatem liberandi, quum sim filius, et maneam in domo patris mei in aeternum, et haereditate accipio potestatem ipsius. Nam et superius dixit, quod iudicium omne dedit filio Ac rursum, Et potestatem dedit ei etiam iudicium faciendi.

Vers. 36. *Si — eritis.* Nunc enim non vere liberi estis, quum serui facti sitis peccato: quando

[a]) Baptista nimirum.
[b]) σχήματα. A.

πταίσαντας, ὡς δούλους ἀνθρώπου τινὸς εἶπεν αὐ-
τοῖς, ὅτι ἐλευθερώσει ὑμᾶς. εἰκότως οὖν ὁ [2]) Ἰω-
άννης ἔλεγε· μὴ [c]) δόξητε λέγειν ἐν ἑαυτοῖς· πα- c) Matth. 3, 9.
τέρα ἔχομεν τὸν Ἀβραάμ. τοιαῦτα γὰρ τὰ τῶν
Ἰουδαίων [3]) αὐχήματα. μὴ ἔχοντες γὰρ οἰκείας
ἀρετῆς ἐνσεμνύνεσθαι, τὴν τῶν προγόνων εὐγένει-
αν προεβάλλοντο. τί οὖν ὁ Χριστός; οὐκ ἤλεγξεν
αὐτούς, πολλάκις δουλεύσαντας Αἰγυπτίοις καὶ
Βαβυλωνίοις καὶ διαφόροις ἄλλοις ἔθνεσιν· ἀλλὰ
ταύτην μὲν τὴν δουλείαν παρέδραμεν, ὡς οὐδὲν
βλάπτουσαν τὴν ψυχικὴν εὐγένειαν· περὶ δὲ τῆς
ἁμαρτίας φησίν, ἥτις αὐτὴν βλάπτει καταδου-
λοῦσα, ἧς ἡ δουλεία χαλεπωτάτη, ἀφ' ἧς ἐλευ-
θεροῖ οὐχ ἕτερος, ἀλλ' ἢ μόνος ὁ Χριστός, καὶ ἡ
διδασκαλία αὐτοῦ.

Vers. 34. Ἀπεκρίθη — ἁμαρτίας. Δείκνυσιν, ὅτι δουλείαν ἐνέφηνεν ἀνωτέραν, τὴν ἐξ ἁμαρτίας, οὐ τὴν ἐκ δυναστείας ἀνθρώπου. ἵνα δὲ μὴ εἴπωσιν, ὅτι ὁ Μωϋσῆς ἡμᾶς ἐλευθερώσει ταύτης, δείκνυσι διὰ παραβολῆς, ὅτι οὐκ ἔχει ἐκεῖνος ἐξουσίαν, δοῦλος ὤν, ἀλλ' αὐτός, ὡς υἱός.

Vers. 35. Ὁ δὲ δοῦλος — αἰῶνα. Ὁ δοῦ-
λος οὐ κληρονομεῖ τὴν οἰκίαν τοῦ κυρίου αὐτοῦ· ὁ
υἱὸς κληρονομεῖ αὐτήν. λοιπὸν ἐκεῖνος [4]) οὐκ ἔχει
ἐξουσίαν ἐλευθεροῦν, δοῦλος ὤν· ἐγὼ ἔχω ἐξουσίαν
ἐλευθεροῦν, υἱὸς ὤν, καὶ μένων ἐν τῇ οἰκίᾳ τοῦ
πατρός μου ἀεί, καὶ κληρονομῶν τὴν ἐξουσίαν αὐ-
τοῦ. εἶπε γὰρ καὶ ὀπίσω· ὅτι τὴν [d]) κρίσιν πᾶσαν d) Io. 5, 22.
δέδωκε τῷ υἱῷ· καὶ πάλιν· καὶ ἐξουσίαν [e]) ἔδωκεν e) Io. 5, 27.
αὐτῷ καὶ κρίσιν ποιεῖν.

Vers. 36. Ἐὰν — ἔσεσθε. Νῦν μὲν γὰρ οὐκ ἀληθῶς ἐλεύθεροί ἐστε, δεδουλωμένοι τῇ ἁμαρτίᾳ·

4) Moses scilicet, vt modo dixit.

quando vero vos filius liberauerit, nemo qui contradicat. Deus qui iustificat, quis est, qui condemnet? corporalem siquidem libertatem dat etiam homo: spiritualem vero solus filius, tanquam proprie dominus: quia proprie etiam haec est libertas. Deinde relictis caeteris eorum peccatis, cogitationem, quam apud se tractabant, in medium adducit: nouerat enim iam eos resiluisse et blande dicit.

Vers. 37. *Noui — interficere.* Manifeste quidem non dixit, Non estis, adhuc eis parcens: verum latenter hoc significauit. Nam quia me occidere quaeritis, non estis. Ille siquidem hominem iniuste peremit. Sicut enim libertas ab operibus, quae liberum decent, ostenditur, ita et cognatio. Ponit autem et caedis causam.[5]

Vers. 37. *Quia — vobis.* Sermo meae doctrinae, quum sit sublimis, non habet locum in vobis, qui mentem habetis a prauitate coarctatam ac humi detractam. Ecce enim repulistis, quae paulo ante exceperatis, haec ferre non potentes. Ne autem dicant, A teipso haec loqueris, subiungit:

Vers. 38. *Ego — loquor.* Quod cognoui apud patrem meum, quod ab eo didici.

Vers. 38. *Et — facitis.* Homicidium videlicet: nam patrem illorum significat nunc diabolum. Quemadmodum enim a paternitate Abrahae repulit eos operum dissimilitudo, ita ad diaboli paternitatem asserit illos operum similitudo: siquidem et ille homicida est, de quo manifestius dicet in sequentibus.

Vers. 39.

5) τὸν κατ' αὐτοῦ φόνον. A.
6) ἡ, abest. A.

τίας· ὅτε δὲ ὁ υἱὸς ὑμᾶς ἐλευθερώσει, τότε ὐδεὶς ὁ ἀντιλέγων. Θεὸς [f]) ὁ δικαιῶν, τίς ὁ κατακρίνων; [f]) Rom. 8, 34.
τὴν μὲν γὰρ σωματικὴν ἐλευθερίαν καὶ ἄνθρωπος δίδωσι· τὴν δὲ ψυχικὴν, μόνος ὁ υἱὸς, ὡς κυρίως κύριος. ἐπεὶ καὶ κυρίως αὐτη ἐλευθερία. εἶτα, ἀφεὶς τὰς ἄλλας αὐτῶν ἁμαρτίας, εἰς μέσον ἄγει τὴν μελετωμένην. [5]) ἔγνω γὰρ αὐτοὺς ἤδη ἀποπηδήσαντας, καὶ ὁμαλῶς φησίν.

Vers. 37. Οἶδα — ἀποκτεῖναι. Φανερῶς μὲν οὐκ εἶπεν, ὅτι οὐκ ἐςὲ, φειδόμενος αὐτῶν ἔτι· λεληθότως δὲ τοῦτο δεδήλωκεν. ἐπεὶ γὰρ ζητεῖτέ με ἀποκτεῖναι, ὐκ ἐςέ. ὐδένα γὰρ ἐκεῖνος ἀπέκτεινεν ἀδίκως. ὥσπερ γὰρ [6]) ἡ ἐλευθερία ἀπὸ τῶν ἔργων δείκνυται, τῶν πρεπόντων ἐλευθέρῳ, ὕτω καὶ ἡ συγγένεια. τίθησι δὲ καὶ τὴν αἰτίαν τῦ φόνου.

Vers. 37. Ὅτι — ὑμῖν. Ὁ λόγος μου, ὁ διδασκαλικὸς, ὑψηλὸς ὢν, ὐ χωρεῖ ἐν ὑμῖν τοῖς ἔχυσι νοῦν ἐςενωμένον ὑπὸ φαυλότητος καὶ χαμαὶ συρόμενον. ἰδοὺ γὰρ, ἀπώσασθε, καὶ ἃ πρὸ μικροῦ παρεδέξασθε, ςέγειν αὐτὰ μὴ δυνάμενοι. ἵνα δὲ μὴ εἴπωσιν, ἀπὸ σεαυτῦ ταῦτα λαλεῖς, ἐπήγαγεν.

Vers. 38. Ἐγὼ — λαλῶ. Ὃ ἔγνων παρὰ τῷ πατρί μου, ὃ ἔμαθον ἀπ' αὐτῦ.

Vers. 38. Καὶ — ποιεῖτε. Τὸ ἀνθρωποκτονεῖν. πατέρα γὰρ αὐτῶν ἐμφαίνει νῦν, τὸν διάβολον. ὥσπερ γὰρ τῆς πατρότητος τῦ ἀβραὰμ ἐκβάλλει αὐτοὺς, ἡ τῶν ἔργων ἀνομοιότης· ὕτως ἄρα τῇ [7]) πατρότητι τῦ διαβόλυ εἰσποιεῖ αὐτοὺς, ἡ τῶν ἔργων ὁμοιότης. κἀκεῖνος γὰρ ἀνθρωποκτόνος, περὶ οὗ προϊὼν ἐρεῖ φανερώτερον.

Vers. 39.

7) τῆς πατρότητος, A.

Verſ. 39. *Responderunt — eſt.* Non intelligentes, quem diceret patrem ipſorum, rurſum ad Abrahae cognationem confugiunt, Chriſtus itaque manifeſtius eos obiurgat.

Verſ. 39. *Ait — faceretis.* Iuſtitiam.

Verſ. 40. *Nunc — interficere.* Cogitationem illorum frequenter arguit, confundens eos, vt corrigantur.

Verſ. 40. *Hominem — patre.* Verba haec, Vidi, et Audiui, diſpenſatorie accipienda et intelligenda ſunt.

Verſ. 40. *Hoc — fecit.* Vt quaereret occidere hominem, qui veritatem loquutus fuiſſet ac innocentem.

Verſ. 41. *Vos — veſtri.* Homicidium et ſi quod aliud eſt malum.

Verſ. 41. *Dixerunt — Deum.* Quia iuſta ratione oſtendit eos indignos eſſe paternitate Abrahae, in qua plurimum gloriabantur, inſipienter deinceps ad Dei paternitatem recurrunt: eo quod dicat ſcriptura, Filius meus primogenitus Iſraël. Et hoc autem honore iuſtis eos deiicit argumentis. Sed quonam modo ipſi temere Deum patrem ſuum appellant, quum Chriſto dicenti patrem ſuum eſſe Deum indignarentur? Quia ille natura ſuum eſſe patrem dicebat. Quod autem dicunt, Nos e ſtupro nati non ſumus: intelligitur propter gentes, quae ab Iſmaël deſcendebant, qui ex ſeruili congreſſu Abrahae, ex Agar videlicet ancilla natus erat, quum ipſi ab Iſaac deſcenderent, qui ex legitimo

x) μὴ νοήσαντες omittit. B.
y) γεγενήμεθα. A.
z) Incluſa exciderunt. A.

Verſ. 39. Ἀπεκρίθησαν — ἐστι. Μὴ[8]) νοήσαντες, τίνα ἔλεγε πατέρα αὐτῶν, πάλιν ἐπὶ τὴν τοῦ ἀβραὰμ συγγένειαν καταφεύγουσι. λοιπὸν οὖν ὁ χριστὸς φανερώτερον αὐτῶν καθάπτεται.

Verſ. 39. Λέγει — ἐποιεῖτε ἄν. Τὴν δικαιοσύνην.

Verſ. 40. Νῦν — ἀποκτεῖναι. Συνεχῶς ἐλέγχει τὴν μελέτην αὐτῶν, ἐντρέπων αὐτοὺς, ὅπως διορθωθῶσιν.

Verſ. 40. Ἄνθρωπον — πατρός. Τὸ ἑώρακα καὶ τὸ ἤκουσα, ὡς οἰκονομικὰ δεκτέον καὶ νοητέον.

Verſ. 40. Τοῦτο — ἐποίησεν. Τὸ ζητεῖν ἀποκτεῖναι ἄνθρωπον, ἀλήθειαν λελαληκότα καὶ ἀθῷον.

Verſ. 41. Ὑμεῖς — ὑμῶν. Τὸ ἀνθρωποκτονεῖν, καὶ εἴ τι πονηρόν.

Verſ. 41. Εἶπον — θεόν. Ἐπεὶ εὐλόγως ἀπέδειξεν αὐτοὺς ἀναξίους τῆς πατρότητος τοῦ ἀβραὰμ, ἐφ' ᾗ μέγα ἐκόμπαζον, λοιπὸν ἀνοήτως ἀνατρέχουσιν ἐπὶ τὴν πατρότητα τοῦ θεοῦ, διὰ τὸ λέγειν τὴν γραφήν,[8]) υἱὸς πρωτότοκός μου ἰσραήλ. ἐκβάλλει δὲ καὶ ταύτης αὐτοὺς τῆς τιμῆς, εὐλόγοις ὁμοίως ἀποδείξεσιν. ἀλλὰ πῶς αὐτοὶ μὲν ἀδεῶς πατέρα ἑαυτῶν λέγουσι τὸν θεὸν, τῷ δὲ χριστῷ, πατέρα ἴδιον λέγοντι τὸν θεὸν, ἐχαλέπαινον; διότι ἐκεῖνος φύσει πατέρα ἑαυτοῦ ἔλεγεν αὐτόν. τὸ δὲ, ἡμεῖς ἐκ πορνείας οὐ[9]) γεγεννήμεθα, νοεῖται μὲν, διὰ τὰ ἐξ ἰσμαὴλ καταγόμενα ἔθνη, ὃς ἐκ δουλικῆς συμπλοκῆς ἐγεννήθη τῷ ἀβραὰμ, [ἐξ[1]) ἄγαρ τῆς δούλης· ἅτε αὐτῶν ἐξ ἰσαὰκ καταγομένων, ὃς ἐξ εὐγενοῦς γάμου

8) Exod. 4, 22.

gitimo Abrahae matrimonio, ex Sarra domina ipsius Agar erat progenitus.

Dicunt autem aliqui, quod ad inferendam ipsi iniuriam hoc dixerint execrabiles illi, eo quod dicerent, non esse eum natura filium Ioseph. Quando autem attenuare eum volunt, tunc filium Ioseph ipsum appellant: interdum quidem hoc, interdum vero illud nugantes, et nunquam veritati adhaerentes. Atqui multi eorum e stupro nati erant, multis namque illegitimis nuptiis Iudaei copulabantur: verum silet etiam hoc, properans ad id, quod maius est.

Vers. 42. *Ait — exiui.* Natus, vel missus sum.

Vers. 42. *Et veni.* Ad vos.

Vers. 42. *Neque — veni.* A propria voluntate, quum propriam non habeam voluntatem, vt saepius dictum est.

Vers. 42. *Sed — misit.* Vt pater filium, vt mens verbum.

Vers. 43. *Quare — agnoscitis?* Quare ea, quae a me dicuntur, non intelligitis? Deinde addit et caussam, cur ipsi non intelligerent illa.

Vers. 43. *Quia — meum.* Non potestis, significat nunc, Non vultis. Quia non vultis, inquit, intelligere sermonem meum, qui de sublimi doctrina est, propter animae vestrae prauitatem; quae humi detracta est, et nihil sublime imaginatur. Quia vero dicere ausi fuerant, patrem suum esse Deum, quum Abrahae cognatione indigni essent, libere loquitur, et in eos, tanquam imme-

[2]) Ita Origenes Tom. IV. p. 327. B.

γάμου ἐγεννήθη τῷ ἀβραάμ,] ἐκ σαρκὸς τῆς κυρίας τῆς ἄγαρ.

Λέγουσι[2]) δέ τινες, ὅτι πρὸς ὕβριν αὐτοῦ τοῦτο εἶπον οἱ ἐναγεῖς, διὰ τὸ λέγεσθαι, αὐτὸν μὴ εἶναι φύσει υἱὸν τοῦ ἰωσήφ. ὅτε δὲ ἐξευτελίσαι τοῦτον θέλουσι, τότε αὐτὸν υἱὸν τοῦ ἰωσὴφ ὀνομάζουσι, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο φλυαροῦντες, καὶ οὐδέποτε τῇ ἀληθείᾳ συντιθέμενοι. καὶ μὴν πολλοὶ αὐτῶν ἐκ πορνείας ἐγεννήθησαν. πολλοὺς γὰρ παρανόμους γάμους ἰουδαῖοι ἐποίουν. ἀλλὰ καὶ τοῦτο σιγᾷ, πρὸς τὸ μεῖζον ἐπειγόμενος.

Verſ. 42. Εἶπεν — ἐξῆλθον. Ἐγεννήθην, ἢ ἀπεστάλην.

Verſ. 42. Καὶ ἥκω. Πρὸς ὑμᾶς.

Verſ. 42. Οὐδὲ — ἐλήλυθα. Ἀπὸ ἰδίου θελήματος. οὐ γὰρ ἔχω ἴδιον θέλημα, ὡς πολλάκις εἴρηται.

Verſ. 42. Ἀλλ' — ἀπέστειλεν. Ὡς πατὴρ υἱὸν, ὡς νοῦς λόγον.

Verſ. 43. Διατί — γινώσκετε; Διατί τὰ λεγόμενα παρ' ἐμοῦ,[3]) οὐ νοεῖτε; εἶτα προστίθησι καὶ τὴν αἰτίαν τοῦ μὴ νοεῖν αὐτοὺς αὐτά.

Verſ. 43. Ὅτι — ἐμόν. Τὸ, οὐ δύνασθε, τὸ οὐ βούλεσθε σημαίνει νῦν, ὅτι οὐ βούλεσθε συνιέναι τὸν λόγον τὸν ἐμὸν, τὸν περὶ δογμάτων, διὰ φαυλότητα ψυχῆς, χαμαὶ συρομένης, καὶ μηδὲν ὑψηλὸν φανταζομένης. ἐπεὶ δὲ ἐτόλμησαν εἰπεῖν, πατέρα ἑαυτῶν τὸν θεὸν, οἱ ἀνάξιοι καὶ τῆς τοῦ ἀβραὰμ συγγενείας, παῤῥησιάζεται, καὶ ἐπάγει τούτοις, ὡς ἀνιάτοις, φανερωτέραν πληγήν,

3) παρ' ἐμοῦ, poſt οὐ νοεῖτε. B.

immedicabiles, manifestius infligit vulnus, quod ipsorum impudentiae respondeat, *inflationem ac elationem arrogantium reprimens.

Vers. 44. *Vos — estis.* Vos ex patre illo estis, nempe diabolo: vester ille pater est, diabolus videlicet.

Vers. 44. *Et — explere.* Patris illius vestri: desideria autem illius sunt, homicidium et mendacium, siue obliqua et corrupta vita, veluti consequenter dicet.

Vers. 44. *Ille — initio.* Interfecto primo homine Adam: nam ipse mortem illi propinauit: deinde etiam occiso filio illius Abel, siquidem ipse fecit fratrem eius Cain in eum insurgere, quum prius ad inuidiam illum mouisset.

Vers. 44. *Et — stetit.* Non permansit, hoc est, in recta via non quiescit, sed odit huiusmodi conuersationem.

Vers. 44. *Quia — eo.* Sed ediuerso mendacium.

Vers. 44. *Quum — loquitur.* Propria loquitur. Nam proprium eius est mendacium: siquidem ipse primus adinuenit illud, et primus illo vsus est, quando ad Euam mentitus est, dicens illi per serpentem, Non morte moriemini, Et, Eritis sicut dii.

Vers. 44. *Quia mendax est.* Ex eo tempore, et in posterum mentiens.

Vers. 44. *Et pater ipsius.* Mendacii, vt qui primus illud adinuenit, sicut dictum est.

Vers. 45.

*) πληγὴν ἀναντίῤῥητον. A. Male. Illud habet etiam Chrysost. T. VIII. p. 318. E.

πληγὴν, ⁶) ἀντίῤῥοπον τῆς ἀναισχυντίας αὐτῶν, καταςέλλων τὸ φύσημα καὶ τὸν κόμπον τῶν ἀλαζόνων.

Verſ. 44. Ὑμεῖς — ἐςέ. Ὑμεῖς ἐκ τοῦ πατρὸς ἐκείνου ἐςὲ, τοῦ διαβόλου, ὑμῶν πατὴρ ἐκεῖνός ἐςιν, ὁ διάβολος.

Verſ. 44. Καὶ — ποιεῖν. Τοῦ πατρὸς ὑμῶν ἐκείνου, ἐπιθυμίαι⁵) δὲ αὐτοῦ, τὸ ἀνθρωποκτονεῖν, καὶ τὸ ψεῦδος, εἴτουν, ὁ σκολιὸς καὶ διεφθαρμένος βίος, ὡς ἐφεξῆς ἐρεῖ.

Verſ. 44. Ἐκεῖνος — ἀρχῆς. Τὸν πρῶτον ἄνθρωπον κτείνας, τὸν ἀδάμ. αὐτὸς γὰρ αὐτῷ τὸν θάνατον προεξένησεν. εἶτα καὶ τὸν υἱὸν αὐτοῦ τὸν ἄβελ ἀνελών. αὐτὸς γὰρ καὶ αὐτῷ τὸν ἀδελφὸν καΐν ἐπανέςησε, κινήσας τῷ φθόνῳ.

Verſ. 44. Καὶ — ἕςηκεν. Οὐκ ἐμμένει, τουτέςιν, ἐν τῷ ὀρθῷ βίῳ οὐκ ἀναπαύεται, ἀλλὰ μισεῖ τὴν τοιαύτην πολιτείαν.

Verſ. 44. Ὅτι — αὐτῷ. Ἀλλὰ τοὐναντίον, ψεῦδος.

Verſ. 44. Ὅταν — λαλεῖ. Τὰ ἴδια λαλεῖ. ἴδιον γὰρ αὐτοῦ τὸ ψεῦδος. αὐτὸς γὰρ πρῶτος [ἐξεῦρεν⁶) αὐτὸ, καὶ πρῶτος] ἐχρήσατο αὐτῷ, ψευσάμενος πρὸς τὴν εὔαν, ὅτε ἔλεγεν αὐτῇ διὰ τοῦ ὄφεως, ὅτι ʰ) οὐ θανάτῳ ἀποθανεῖσθε, καὶ, ὅτι ἔσεσθε, ὡς θεοί. h) Gen. 3, 4. 5.

Verſ. 44. Ὅτι ψεύςης ἐςίν. Ἔκτοτε καὶ εἰς τὸ ἑξῆς ψευδόμενος.

Verſ. 44. Καὶ ὁ πατὴρ αὐτοῦ. Καὶ ὁ πατὴρ αὐτοῦ, ἤτοι, τοῦ ψεύδους, αὐτός ἐςιν, ὡς πρῶτος ἐξευρὼν αὐτὸ, καθὼς εἴρηται.

5) ἐπιθυμίας. A. 6) Incluſa abſunt. A.

Verf. 45. *Ego — mihi.* Nam fi mendacium dicerem, crederetis vtique mihi, tanquam id dicenti, quod proprium eft patris veftri: quia autem doceo veritatem, non creditis mihi, vtpote alienum ab eo docenti. Veritatem autem vocat, quum alias doctrinas, tum quod filius ipfe fit Dei.

Verf. 46. *Quis — peccato?* Si ita non eft, quod quia veritatem dico, non creditis mihi, dicite: quis veftrum arguit me de peccato, quod a me fiat, vt propter illud videamini non credere?

Verf. 46. *Porro fi — mihi?* Si neque ideo, quia veritatem dico, non creditis mihi, neque quifpiam veftrum arguit me de peccato, fane veritatem dico: Si autem veritatem dico, quare vos non creditis mihi? Poftquam ita conuicit eos de induftria peccare, vlterius ratiocinatur.

Verf. 47. *Qui — eftis.* Qui ex Deo eft, verba Dei recipit, eisque paret: vos non recipitis, ex Deo igitur non eftis: et ex confequenti mentimini dicentes patrem vos habere Deum, et ex Deo effe. Loquendo itaque de creatione, omnes ex Deo funt: iuxta modum vero familiaritatis, foli illi, qui verba Dei audiunt, eisque obediunt, et a moribus, quod rationale eft, oftendunt.

Verf. 48. *Refponderunt — habes?* Per interrogationem legendum eft. Vocabant autem eum Samaritanum, vtpote non exacte feruantem legem, ficut illis videbatur, neque traditiones feniorum: tales fiquidem erant Samaritani. Daemonium vero habentem, tanquam Dei honorem in feipfum deriuantem: nam tales funt daemones: fed hic

7) λέγοντος. A.

Verſ. 45. Ἐγὼ — μοι. Εἰ μὲν ἔλεγον ψεῦδος, ἐπιςεύσατέ μοι ἂν, ὡς τὸ ἴδιον τȣ̃ πατρὸς ὑμῶν [7]) λέγοντι· διότι δὲ τὴν ἀλήθειαν διδάσκω, ȣ̓ πιςεύετέ μοι, ὡς τὸ ἀλλότριον αὐτοῦ διδάσκοντι. ἀλήθειαν δὲ καλεῖ, τάς τε ἄλλας αὐτοῦ διδασκαλίας, καὶ τὴν, ὅτι υἱός ἐςι τοῦ θεοῦ.

Verſ. 46. Τίς — ἁμαρτίας; Εἰ μὴ διότι τὴν ἀλήθειαν λέγω, ἀπιςεῖτέ μοι, εἴπατε, τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας, [ὑπ' ἐμοῦ [8]) γενομένης, ἵνα δόξητε δι' ἐκείνην ἀπιςεῖν.

Verſ. 46. Εἰ δὲ — μοι; Εἰ ȣ̓̃τε διότι τὴν ἀλήθειαν λέγω, ἀπιςεῖτέ μοι, ȣ̓̃τε τις ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας,] ἄρα ἀλήθειαν λέγω· καὶ εἰ ἀλήθειαν λέγω, διατί ὑμεῖς ȣ̓ πιςεύετέ μοι; ȣ̔̃τως ἐλέγξας αὐτοὺς ἐθελοκάκους, ἔτι συλλογίζεται.

Verſ. 47. Ὁ — ἐςί. Ὁ ὢν ἐκ τȣ̃ θεȣ̃, τὰ ῥήματα τȣ̃ θεȣ̃ δέχεται, καὶ πείθεται· ὑμεῖς ȣ̓ δέχεσθε, οὐκ ἄρα ἐκ τȣ̃ θεȣ̃ ἐςέ. καὶ λοιπὸν ψεύδεσθε, λέγοντες, πατέρα ἔχειν τὸν θεὸν καὶ ἐκ τȣ̃ θεȣ̃ εἶναι. κατὰ μὲν ȣ̓̃ν τὸν λόγον τῆς δημιουργίας, πάντες ἐκ τȣ̃ θεȣ̃ εἰσι· κατὰ δὲ τὸν τῆς οἰκειότητος, μόνοι οἱ τὰ ῥήματα αὐτοῦ δεχόμενοι, καὶ πειθόμενοι, καὶ ἀπὸ τȣ̃ τρόπου τὸ γνήσιον δεικνύοντες.

Verſ. 48. Ἀπεκρίθησαν — ἔχεις; Κατ' ἐρώτησιν ἀναγνωςέον. σαμαρείτην μὲν ȣ̓̃ν αὐτὸν ἔλεγον, ὡς μὴ ἀκριβῶς τηρȣ̃ντα τὸν νόμον, ὡς αὐτοῖς ἐδόκει, μηδὲ τὰς παραδόσεις τῶν πρεσβυτέρων. τοιȣ̃τοι γὰρ οἱ σαμαρεῖται. δαιμόνιον δὲ ἔχοντα, ὡς τὴν τȣ̃ θεȣ̃ τιμὴν εἰς ἑαυτὸν ἕλκοντα.

8) Incluſa abſunt. A.

hic tanquam is, qui in veritate Deus erat, illi vero quasi seductores.

Vers. 49. *Respondit — habeo.* Deum non dehonesto, sicut daemones, nec ipsum honore suo deiicio.

Vers. 49. *Sed honoro patrem.* Honorans namque patrem ostendo, vos non habere Deum patrem, neque ex Deo esse. Siquidem ignominia est eius, qui homines beneuolentia persequitur, patrem esse homicidarum.

Vers. 49. *Et — me.* Samaritanum ac daemoniacum appellantes. Itaque patrem honorans ostendi, vos Deum non habere patrem: vos autem filium ignominia afficientes, honore priuastis et patrem. Praedictum enim est, quod, qui non honorat filium, non honorat patrem, qui misit illum.

Vers. 50. *Ego — meam.* Vindictam contumeliae meae.

Vers. 50. *Est — iudicet.* Pater, propter quem honore me priuastis, et ad quem filii ignominia transire cernitur. Nam etsi omne iudicium dedit filio, non tamen, quod se honore priuauerit, sed quod verbum patris sit filius.

Vide autem, quod quando patrem sibi dixerunt esse Deum: libere respondit, et grauiter eos obiurgauit: quando vero contumelia eum affecerunt, modeste respondit ac mansuete. Hinc enim nos docuit, vt admissa in Deum vindicemus, in nos autem negligamus. Nam et ipse factam in se iniuriam praetermittens, ad admonitionem conuertitur.

Vers. 51.

τα. τοιοῦτοι γὰρ οἱ δαίμονες. ἀλλ' ὁ μὲν, ὡς ἐν ἀληθείᾳ θεὸς, οἱ δὲ, ὡς ἀπατεῶνες.

Verſ. 49. Ἀπεκρίθη — ἔχω. Οὐ γὰρ ἀτιμάζω τὸν θεὸν, ὡς οἱ δαίμονες, ὐδὲ τῆς τιμῆς αὐτῦ ἐκβάλλω αὐτόν.

Verſ. 49. Ἀλλὰ τιμῶ τὸν πατέρα. Τιμῶν γὰρ τὸν πατέρα, ἀποφαίνω, ὑμᾶς μὴ ἔχοντας πατέρα τὸν θεὸν, [μηδ' ἐκ [a]) τῦ θεῦ ὄντας. ἀτιμίᾳ γὰρ τῦ φιλανθρώπου, πατέρα εἶναι τῶν ἀνθρωποκτόνων.

Verſ. 49. Καὶ — με. Σαμαρείτην καὶ δαιμόνιον ἔχοντα ὀνομάσαντες, διότι τιμῶν τὸν πατέρα, ἀπέφηνα ὑμᾶς μὴ ἔχοντας πατέρα τὸν θεόν.] ἀτιμάσαντες δὲ τὸν υἱὸν, ἠτιμάσατε τὸν πατέρα. προείρηται γὰρ, ὅτι [i]) ὁ μὴ τιμῶν τὸν υἱὸν, ὐ τιμᾷ τὸν πατέρα, τὸν πέμψαντα αὐτόν. i) Io. 5, 23.

Verſ. 50. Ἐγὼ — μῦ. Τὴν ἐκδίκησιν τῆς ἀτιμίας μου.

Verſ. 50. Ἔςιν — κρίνων. Ὁ πατὴρ, δι' ὃν ἠτιμάσατέ με, καὶ πρὸς ὃν ἡ ἀτιμία τοῦ υἱοῦ διαβαίνειν οἶδεν. εἰ γὰρ καὶ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἀλλ' οὐχ ὡς ἐκβαλὼν ἑαυτὸν τῦ κρίνειν· ἀλλὰ διότι λόγος τῦ πατρὸς, ὁ υἱός.

Ὅρα δὲ, πῶς, ὅτε μὲν εἶπον πατέρα ἑαυτῶν τὸν θεὸν ἐπαῤῥησιάσθη καὶ σφοδρῶς αὐτῶν καθήψατο· ὅτε δὲ αὐτὸν ἠτίμασαν, ἐπιεικῶς ἀπεκρίνατο καὶ πρᾴως. ἐντεῦθεν γὰρ ἐπαίδευσεν ἡμᾶς, τὰ μὲν εἰς τὸν θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς παρορᾶν. καὶ αὐτὸς γὰρ παραδραμὼν τὴν εἰς ἑαυτὸν ὕβριν, ἐπὶ παραίνεσιν τρέπεται.

Verſ. 51.

a) Incluſa abſunt. A.

Verſ. 51. *Amen — aeternum.* Quaere in hoc nono capite, vbi dicitur, Si quis comederit ex hoc pane, viuet in aeternum, et illius lege enarrationem. Nam ex hoc intelliges, de qua nunc morte loquatur: de qua quum illi non intellexiſſent, rurſus eum contumelia afficiunt.

Verſ. 52. *Dixerunt — habeas.* Nunc magis. Dixerunt autem hoc, quaſi Deo ſe feciſſet ipſe maiorem.

Verſ. 52. *Abraham — prophetae.* Qui Dei ſermonem ſeruauerunt.

Verſ. 52. *Et — v. 53. facis?* Conſequens ſane erat, vt dicerent, Num tu maior es Deo? verum non hoc dicunt: ne Deo ipſum comparantes, viderentur eum potius honorare. Volunt autem ipſo etiam Abraham minorem illum oſtendere. Nec dixerunt ſimpliciter Abraham, ſed patre noſtro Abraham, rurſum glorïantes, et de cognatione Abraham ſeſe iactantes.

Verſ. 54. *Reſpondit — eſt,* Nihil eſt, ſicuti vos ſuſpicamini: nam hoc ad illorum cogitationem loquutus eſt: ſimile illi dicens, Si ego teſtimonium perhibeo de me ipſo, teſtimonium meum non eſt uerum, quod iuxta medium ſeptimi capitis poſitum eſt, et eius lege enarrationem.

Verſ. 54. *Eſt — me.* Si ego, inquit, magnifico me ipſum, videor vobis mentiri: eſt pater meus, qui magnificat me. Nam praedicto quoque capite ſimiliter dixit, Et qui miſit me pater, ipſe teſtimonium perhibuit de me. Primum autem viam praeſtruit his, quae dicturus eſt, ne gloriari

[1]) αὐτῷ, addit. A.

[2]) Hoc non excludit vocabulum ἀβραάμ, quod vterque in textu habet, ſed vrget τὸ τοῦ πατρὸς ἡμῶν. Accu-

Verſ. 51. Ἀμὴν — αἰῶνα. Ζήτησον ἐν τῷ ἐνάτῳ κεφαλαίῳ, τὸ ἐάν τις[k]) φάγῃ ἐκ τούτου k) Io. 6, 51.
τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ. νοήσεις γὰρ ἐκεῖθεν, περὶ ποίου θανάτου λέγει νῦν· περὶ οὗ μὴ νοήσαντες ἐκεῖνοι, πάλιν ἀτιμάζουσιν αὐτόν.

Verſ. 52. Εἶπον — ἔχεις. Νῦν μᾶλλον. εἶπον δὲ τοῦτο, ὡς ἐκείνου δῆθεν ποιοῦντος ἑαυτὸν μείζονα τοῦ θεοῦ.

Verſ. 52. Ἀβραὰμ — προφῆται. Οἱ τηρήσαντες τὸν λόγον τοῦ θεοῦ.

Verſ. 52. Καὶ — v. 53. ποιεῖς; Ἀκόλουθον μὲν ἦν[1]) εἰπεῖν, μὴ σὺ μείζων εἶ τοῦ θεοῦ; ἀλλ᾽ οὐ λέγουσι τοῦτο, ἵνα μὴ, συγκρίναντες αὐτὸν τῷ θεῷ, δόξωσι μᾶλλον τιμᾶν αὐτόν. βούλονται δὲ αὐτὸν ἐλάττονα καὶ τοῦ ἀβραὰμ ἀποφῆναι. καὶ οὐκ εἶπον τοῦ ἀβραὰμ,[2]) ἀλλὰ τοῦ πατρὸς ἡμῶν, κομπάζοντες πάλιν, καὶ τῇ συγγενείᾳ τοῦ ἀβραὰμ ἐπισεμνυνόμενοι.

Verſ. 54. Ἀπεκρίθη — ἐστιν. Οὐδέν ἐστιν, ὡς ὑμεῖς ὑπολαμβάνετε. πρὸς τὴν ἐκείνων γὰρ ὑπόνοιαν τοῦτο εἶπεν, ἴσον λέγων τῷ, ἐὰν[l]) l) Io. 5, 31.
ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· ὅπερ κεῖται περὶ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ.

Verſ. 54. Ἔστιν — με. Ἐὰν ἐγὼ μεγαλύνω, φησὶν, ἐμαυτὸν, δοκῶ ὑμῖν ψεύδεσθαι· ἔστιν ὁ μεγαλύνων με, ὁ πατήρ μου. καὶ ἐν τῷ ῥηθέντι γὰρ κεφαλαίῳ ὁμοίως εἶπεν, ὅτι[m]) καὶ m) Io. 5, 37.
ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ. προθεραπεύει δὲ, ὃ μέλλει ἐρεῖν, ἵνα μὴ δόξῃ

Accuratius dixiſſet, καὶ οὐχ ἁπλῶς εἶπον, ἀλλὰ μετὰ προσθήκης.

gloriari videatur. Vult enim adstruere, quod maior sit, quam Abraham: nam hoc in praesenti non dixit, propter ipsorum impudentiam.

Vers. 54. *Quem* — v. 55. *eum.* Non cognouistis eum, vtpote operibus illum negantes. Dicit enim et Apostolus, Confitentur, se nosse Deum, factis autem negant. Vel etiam eo, quod non agnoscatis filium eius. Dictum est enim, Si me cognosceretis, et patrem meum vtique cognosceretis. Vel eo, quod non seruetis eius sermonem: nam si cognosceretis eum, sermonem eius seruaretis.

Vers. 55. *Ego autem noui eum.* Non solum, quum ex ipso sim, et eiusdem substantiae, naturae et scientiae, sed etiam tanquam sermonem eius seruans. Nam et superius dixit, Est verax, qui misit me, quem vos non nostis: ego vero noui eum quia ab eo sum.

Vers. 55. *Et* — *mendax.* Vos enim mentimini dicentes, Deum vestrum esse, quum non cognoscatis eum, vt praedictum est. Notitiam autem et cognitionem dicit, nosse simpliciter, et cognoscere, quod sit Deus et pater, non scire Dei naturam. Nam ipsa non solum cognosci nequit, verum etiam omnino inintelligibilis est et inaccessibilis, nec tantum hominibus, sed et coelestibus virtutibus.

Vers. 55. *Sed* — *seruo.* Vides, quod Dei sermonem seruare, signum sit, quod quis Deum cognoscat. Timeamus igitur, quod Dei praecepta non seruamus, tanquam cum eis constituti,

*) In contextu, illo in loco Codd. Euthymii habent vulgatum ἀληθινός. Sed Chrysost. refert ἀληθής. Tom. VIII. p. 294. 295. aliquoties.

δείξῃ κομπάζειν. βέλεται γὰρ κατασκευάσαι, ὅτι μείζων ἐςὶ τῦ ἀβραάμ. Φανερῶς γὰρ νῦν ἐκ ἀπατῦτο, διὰ τὴν ἀναισχυντίαν αὐτῶν.

Vers. 54. Ὃν — v. 55. αὐτόν. Ὀυκ ἐγνώκατε αὐτὸν, ὡς τοῖς ἔργοις ἀρνέμενοι αὐτόν. Φησὶ γὰρ καὶ ὁ ἀπόστολος, ὅτι [n]) Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ἢ καὶ, ὡς μὴ ἐγνωκότες τὸν υἱὸν αὐτῦ. προείρηκε γὰρ, ὅτι εἰ [o]) ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. ἢ, ὡς μὴ τηρῦντες τὸν λόγον αὐτῦ. εἰ γὰρ ᾔδειτε αὐτὸν, ἐτηρεῖτε ἂν τὸν λόγον αὐτῦ. n) Tit. 1, 16. o) Io. 8, 19.

Vers. 55. Ἐγὼ δὲ οἶδα αὐτόν. Ὀυ μόνον, ὡς ἐξ αὐτῦ, καὶ τῆς αὐτῆς ἐσίας καὶ φύσεως καὶ γνώσεως ὢν, ἀλλὰ καὶ, ὡς τὸν λόγον αὐτῦ τηρῶν. καὶ ὀπίσω δὲ εἶπεν, ὅτι [p]) ἐςὶν ἀληθὴς [3]) ὁ πέμψας με, ὃν ὑμεῖς ἐκ οἴδατε· ἐγὼ δὲ οἶδα αὐτὸν, ὅτι παρ' αὐτῦ εἰμι. p) Io. 7, 28.

Vers. 55. Καὶ — ψεύςης. Ψεύδεσθε γὰρ ὑμεῖς, λέγοντες ὅτι [4]) Θεὸς ὑμῶν ἐςιν. ἐ γὰρ ἐγνώκατε αὐτὸν, ὡς προείρηται. εἴδησιν δὲ καὶ γνῶσιν φησιν, τὸ εἰδέναι καὶ γινώσκειν ἁπλῶς, ὅτι ἐςὶ Θεὸς καὶ πατὴρ, ἐ μὴν [5]) τὴν τῆς φύσεως τῦ Θεῦ. αὕτη γὰρ ἐ μόνον ἄγνωςος, ἀλλὰ καὶ παντελῶς ἀνεννόητος καὶ ἀνεπιχείρητος, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ταῖς οὐρανίαις δυνάμεσιν.

Vers. 55. Ἀλλ' — τηρῶ. Ὁρᾷς, ὅτι τὸ, τὸν λόγον τῦ Θεῦ τηρεῖν, σημεῖόν ἐςι τῦ εἰδέναι αὐτόν. Φοβηθῶμεν τοίνυν οἱ τὰς ἐντολὰς τῦ Θεῦ μὴ φυλάττοντες, ὡς ταττόμενοι μετὰ τῶν ἀγνο-

4) ὁ, interponit. A.
5) τὴν, abest. A. Refertur ad εἴδησιν καὶ γνῶσιν.

tuti, qui Deum ignorant. Deinde probat, quod maior sit, quam Abraham.

Vers. 56. *Abraham — meum.* Exultauit, siue concupiuit. Diem autem suum dicit, diem passionis.

Vers. 56. *Et vidit, et gauisus est.* Gauisus est propter salutem mundi. Praecognouit namque mysterium crucifixionis Christi. Desiderauit videre diem ipsius et vidit illum praefiguratum et adumbratum, in die, quo filium suum Isaac obtulit in holocaustum. Didicit enim, quod sicut ipse non pepercit filio suo dilecto propter Deum, ita neque Deus parciturus esset filio suo dilecto propter hominem. Et quemadmodum ille portauit ligna holocausti sui, ita et ipse portaturus esset lignum mortis suae. Veruntamen, sicut illo non passo suppositus est aries: ita et hoc manente impassibili, humanitas eius occisa est. Quod si diem eius videre desiderauit, vtique hoc erat, tanquam maioris.

Vers. 57. *Et — vidisti?* Putabant enim eum ferme esse quinquagenarium, propter multam eius peritiam et experientiam. Quaedam autem exemplaria habent, Quadraginta, quod videtur esse verius.

Vers. 58. *Dixit — sum.* Tanquam Deus. Et non dixit, Ego eram: sed, Ego sum, qui semper

6) Inclusa absunt. A.

7) Inclusa absunt. A. Ibidem legitur, *προδιετυπώθησαν.*

8) Scilicet Chrysostomi, qui audacter ita correxit. Vide Tom. VIII. pag. 324. Chrysostomum sequitur vnus ex Codicibus Mosquensibus N. Test. g. qui est cum scholiis. Origenes, qui Tom. XX. in Ioan-

ἀγνοοῦντα τὸν θεόν. ταῦτα κατασκευάζει, καὶ ὅτι μείζων ἐςὶ τοῦ ἀβραάμ.

Vers. 56. Ἀβραὰμ — ἐμήν. Ἠγαλλιάσατο, ἤγουν, ἐπεθύμησεν. [ἡμέραν 6) δὲ αὐτοῦ λέγει, τὴν τοῦ ςαυροῦ.

Vers. 56. Καὶ εἶδε, καὶ ἐχάρη. Ἐχάρη, διὰ τὴν σωτηρίαν τοῦ κόσμου. προγνοὺς γὰρ τὸ μυςήριον τῆς ςαυρώσεως τοῦ χριςοῦ. ἐπεθύμησεν] ἰδεῖν τὴν ἡμέραν αὐτοῦ, καὶ εἶδεν αὐτὴν, [προσκιαγραφηθεῖσαν 7) καὶ] διατυπωθεῖσαν ἐν τῇ ἡμέρᾳ, καθ' ἣν ἀνήνεγκε τὸν υἱὸν αὐτοῦ τὸν ἰσαὰκ εἰς ὁλοκάρπωσιν. ἔμαθε γὰρ, ὅτι ὥσπερ αὐτὸς οὐκ ἐφείσατο τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ, διὰ τὸν θεόν· οὕτως οὐδὲ ὁ θεὸς φείσεται τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ, διὰ τὸν ἄνθρωπον. καὶ ὥσπερ οὗτος ἐβάςασε τὰ ξύλα τῆς ὁλοκαρπώσεως αὐτοῦ· οὕτω κἀκεῖνος βαςάσει τὸ ξύλον τοῦ θανάτου αὐτοῦ. πλὴν καθάπερ τούτου μείναντος ἀπαθοῦς, ὁ κριὸς ἐτύθη· οὕτω κἀκείνου μένοντος ἀπαθοῦς, τὸ ἀνθρώπινον αὐτοῦ σφαγιασθήσεται. εἰ δὲ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ, ὡς μείζονος πάντως.

Vers. 57. Καὶ — ἑώρακας; Ὤιοντο γὰρ αὐτὸν ἐγγὺς εἶναι πεντήκοντα ἐτῶν, διὰ τὴν πολυπειρίαν αὐτοῦ. τινὰ δὲ τῶν 8) ἀντιγράφων τεσσαράκοντα γράφουσιν, ὅπερ δοκεῖ ἀκριβέςερον.

Vers. 58. Εἶπεν — εἰμι. Ὡς θεός. καὶ οὐκ εἶπεν ἐγὼ ἤμην, ἀλλ' ἐγώ εἰμι, ὁ ἀεὶ ὤν.

τὸ

Ioannem haec data opera interpretatur, hunc versum totum praetermisit. πεντήκοντα seruant Cyrill. T. IV. p. 585. C. Theophylact. p. 690. E. Seuerus in Catena Corderii p. 243. et Codices probatiores omnes.

per ſum. Fieri ſiquidem rei creatae eſt: Sum vero, increatae et creatae.

Verſ. 59. *Tulerunt — eum.* Veloces ad caedem. Exaſperati ſunt enim putantes iniuria affectum eſſe Abraham: ſimul etiam, vbi cognouiſſent, quod Dei aeternitatem ſibi vindicaret.

Verſ. 59. *Ieſus autem occultatus eſt.* Per diuinitatis potentiam inuiſibilis eis effectus.

Verſ. 59. *Et — templo.* Vt illorum ſedaret furorem.

Verſ. 59. *Pertranſiens — illorum.* Quum illi eum videre non poſſent. Et quare non diſſoluit illorum virtutem, et manifeſte receſſit? Quia nec ſic credituri erant. Etenim tempore paſſionis ſupinos illos deiecit, eorumque aſpectus obſcurauit, et non crediderunt. Nam anima reproba nihil eſt peius: licet enim ſigna videat ac prodigia, ſuam tamen ſemper retinet impudentiam.

Verſ. 59. *Et ita praeteribat.* Ambulabat ita, non apparens illis.

Cap. X. De caeco a natiuitate.

Cap. IX. v. 1. *Et — natiuitate.*

Confirmando, quod dixerat, fidemque faciens, quod Deus eſſet, ſtatim venit ad miraculum maximum, et vſque ad id temporis nunquam factum. Siquidem et alii caeci viſum receperunt, verum qui a natiuitate coecus fuiſſet, nullus vſque ad id tempus. Ideo etiam, qui viſum recepit, dicebat, A ſeculo

y) Incluſa abſunt. A. κτίϛης, quomodo etiam Euſtathius ſcribit, qui cum κτίτης comparat, pro ſubſtantiuo accipio, non, vt interpres, pro adiectiuo.

z) Ita pleromque Chryſoſtomus oratorie laudat, Io. 18, 6. ἔπεσον χαμαί.

τὸ μὲν οὖν γενέσθαι, κτιστοῦ· τὸ δὲ εἶμι, ἀκτίστου [καὶ [p]) κτίστου.]

Vers. 59. Ἦραν — αὐτόν. Οἱ ταχεῖς πρὸς φόνον. ἠγρίαναν γὰρ, δόξαντες ὑβρισθῆναι τὸν ἀβραάμ. ἅμα δὲ καὶ γνόντες, ὅτι ἀϊδιότητα θεοῦ περιτίθησιν ἑαυτῷ.

Vers. 59. Ἰησοῦς δὲ ἐκρύβη. Ἀόρατος αὐτοῖς κατέστη, τῇ ἐξουσίᾳ τῆς θεότητος.

Vers. 59. Καὶ — ἱεροῦ. Ἵνα καταστάλῃ ὁ θυμὸς αὐτῶν.

Vers. 59. Διελθὼν — αὐτῶν. Μὴ ἰσχυόντων ἰδεῖν αὐτόν. καὶ διατί οὐκ ἐξέλυσεν αὐτῶν τὴν δύναμιν καὶ φανερῶς ἀνεχώρησε; διότι οὐδ' οὕτως ἔμελλον πιστεύειν. καὶ γὰρ ἐν τῷ καιρῷ τοῦ πάθους ὑπτίους [1]) αὐτοὺς ἔρριψε, καὶ τὰς ὄψεις αὐτῶν ἐσκότισε, καὶ οὐκ ἐπίστευσαν. οὐδὲν γὰρ χεῖρον ψυχῆς ἀπεγνωκυίας. κἂν γὰρ σημεῖα ἴδῃ, κἂν τέρατα, μένει τὴν αὐτὴν ἔχουσα πάλιν ἀναισχυντίαν.

Vers. 59. Καὶ παρῆγεν οὕτως. Ἐβάδιζεν οὕτως, μὴ φαινόμενος αὐτοῖς.

Κεφ. I. Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.

Cap. IX. v. 1. Καὶ — γενετῆς.

Βεβαιῶν, ἃ εἶπε, καὶ πιστούμενος, ὅτι θεός ἐστιν, εὐθὺς ἔρχεται ἐπὶ θαῦμα μέγιστον, καὶ μήπω μέχρι τότε γενόμενον. τυφλοὶ μὲν γὰρ καὶ ἄλλοι ἀνέβλεψαν· τυφλὸς δὲ ἐκ [2]) γενετῆς οὐδεὶς ἄχρι τότε. διὸ καὶ ἀναβλέψας ἔλεγεν, ἐκ τοῦ [q]) αἰῶνος q) Io. 9, 32.

[2]) γεννητῆς. A.

seculo non est auditum, quod aperuerit quispiam oculos caeci nati.

Vers. 2. *Et — nasceretur?* Interrogabant, non quod hoc aut illud omnino suspicarentur, quemadmodum insipientes Iudaei: nam hunc peccasse, antequam natus esset, impossibile erat: porro pro parentibus puniri iniustum: sed finis sermonis talis est. Paralyticus quidem propter peccata sua aegrotabat, sicut ibi didicimus: de hoc autem, quid dicis? quis peccauit, hic an parentes eius? nos enim neque hoc, neque illud dicere possumus, omnino conturbati consilioque destituti.

Vers. 3. *Respondit — eius.* Non omnino a peccatis hos dicit esse immunes, sed quantum ad id, vt caecus fieret, et illos et hunc sine peccato esse asserit.

Hinc itaque discimus, quod pro parentibus qui peccauerunt non puniuntur filii. Quanquam enim in libro Exodi de Deo scriptum est, Reddens peccata patrum in filios, in tertiam et quartam generationem: hoc tamen propter solos illos dictum est, qui ab Israëlitis progeniti, essent idolis immolaturi. Nam quia imitati fuerunt impietatem parentum suorum, qui in Aegypto idololatrae fuerant, merito supplicium illorum reddidit eis: siquidem quorum aequalia fuere delicta, horum aequalia quoque sunt supplicia. Postmodum vero legem statuens, ait per Mosen, Non morientur filii pro patribus, neque patres pro filiis. Et rursus per Iezeciel dicit, Quae vobis est parabola haec in terra Israël, vt dicatis, Patres comederunt vuam acerbam,

*) δὲ, abest. A.

οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου.

Vers. 2. Καὶ — γεννηθῇ; Ἐρωτῶσιν, οὐχ ὡς τοῦτο πάντως ἢ ἐκεῖνο ὑπολαμβάνοντες, καθάπερ οἱ ἀνόητοι ἰουδαῖοι. τὸ μὲν γὰρ ἁμαρτεῖν, πρὸ τοῦ γεννηθῆναι, ἀδύνατον· τὸ δὲ ὑπὲρ τῶν γονέων κολάζεσθαι, ἄδικον· ἀλλ' ἔστιν ὁ σκοπὸς τοῦ λόγου τοιοῦτος. ὁ μὲν παράλυτος διὰ τὰς ἁμαρτίας αὐτοῦ ἠσθένει, καθὼς ἐκεῖ μεμαθήκαμεν. περὶ τούτου δὲ,[3] τί λέγεις; τίς ἥμαρτεν; οὗτος ἢ οἱ γονεῖς αὐτοῦ; ἡμεῖς γὰρ οὔτε τοῦτο, οὔτε ἐκεῖνο δυνάμεθα λέγειν, παντελῶς ἐξαπορούμενοι.

Vers. 3. Ἀπεκρίθη — αὐτοῦ. Οὐ παντελῶς ἀναμαρτήτους αὐτούς φησιν, ἀλλ' ὅσον εἰς τὸ τυφλωθῆναι τοῦτον, ἀναμαρτήτους κἀκείνους καὶ τοῦτον.[4])

Ἐντεῦθεν λοιπὸν[5]) μανθάνομεν, ὅτι πατέρων ἁμαρτανόντων οὐ κολάζονται παῖδες. εἰ γὰρ καὶ ἐν τῇ ἐξόδῳ περὶ τοῦ θεοῦ γέγραπται· ὅτι[r]) ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεάν· ἀλλὰ δι' ἐκείνους μόνους εἴρηται, τοὺς μέλλοντας ἐκ τῶν ἰσραηλιτῶν εἰδωλολατρῆσαι. ἐπεὶ γὰρ ἐζήλωσαν τὴν ἀσέβειαν τῶν ἐν αἰγύπτῳ εἰδωλολατρησάντων γονέων αὐτῶν, ἀπέδωκεν αὐτοῖς τὴν τιμωρίαν ἐκείνων εἰκότως. ὧν γὰρ ἴσαι αἱ ἁμαρτίαι,[6]) τούτοις ἴσαι πάντως καὶ αἱ κολάσεις. ὕστερον γὰρ νομοθετῶν διὰ μωϋσέως, φησίν· οὐκ[s]) ἀποθανοῦνται παῖδες ὑπὲρ πατέρων; οὐδὲ πατέρες ὑπὲρ παίδων· καὶ διὰ ἰεζεκιὴλ πάλιν λέγει· τί ὑμῖν[t]) ἡ παραβολὴ αὕτη, λεγόντων, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ

r) Exod. 20, 5.

s) Deut. 24, 16.

t) Ezech. 18, 2. 3. 4.

 ὀδόν-

4) Credo addendum esse λέγει, aut ἀποφαίνει, aut tale quid.

5) μανθάνωμεν. A.

6) τούτων. A.

acerbam, et dentes filiorum obstupuerunt? Viuo ego, dicit dominus, si erit deinceps parabola haec, sed eorum, qui comederint vuam acerbam dentes obstupescent.

Vers. 3. *Sed — ipso.* Opera Dei vocat formationem oculorum caeci de puluere. Quia enim in confesso erat opus fuisse Dei, formationem corporis Adam de puluere: hic etiam oculos caeci, pulcherrimam corporis partem, format de puluere: vt hinc indubie Deus appareat, vtpote aeque potens, vt Deus: nam qui pulcherrimam partem ita formauit, posset et totum formasse.

Aut opera Dei dicit occultam diuinitatis suae potentiam, quae tunc magis apparuit. Quid ergo? nisi hic damno affectus fuisset, non poterant aliter manifestari Dei opera? Poterant quidem, sed neque hic damno affectus est, imo potius beneficium accepit: per caecitatem oculorum corporis, aptos habens animae oculos. Nam quae illorum est vtilitas, si hi clausi sint? Licitum itaque fuit creatori caecum hunc creare, non puniendo, sed dispensatorio modo, vt opera Dei manifestarentur, et hic ex eo apertos haberet animae oculos.

Quidam vero dictionem Vt, non causalem esse dicunt, sed eius, quod futurum erat significatiuam, puta, quod opera Dei manifestanda erant in ipso. Et simile esse aiunt, quod dicitur, In iudicium ego in mundum veni, vt qui non vident videant, et qui vident caeci fiant: aiunt enim significare, quod qui non vident videbunt, et qui vident excaecabuntur: siquidem non propterea venit, vt qui vident caeci fiant. Praeterea et Paulus dicit, Lex subintroiuit, vt abundaret delictum: neque enim

7) Ita etiam laudat Chrysost. Tom. VIII. p. 327. B.
8) φανῇ. A.

ὀδόντες τῶν τέκνων[7]) ἀμωδίασαν. ζῶ ἐγὼ, λέγει κύριος, εἰ ἔςαι ἡ παραβολὴ αὕτη· ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα ἀμωδιάσουσιν οἱ ὀδόντες.

Verſ. 3. Ἀλλ' — αὐτῷ: Ἔργα τοῦ θεοῦ λέγει, τὴν ἀπὸ χοὸς πλάσιν τῶν ὀφθαλμῶν τοῦ τυφλοῦ. ἐπεὶ γὰρ ὁμολογούμενον ἔργον θεοῦ ἦν ἡ ἀπὸ χοὸς πλάσις τοῦ σώματος τοῦ ἀδάμ, ἀπὸ χοὸς καὶ αὐτὸς πλάττει τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, τὸ κάλλιςον μέρος τοῦ σώματος, ἵνα ἐντεῦθεν φανείη[8]) θεὸς ἀναμφιβόλως, οἷα τὰ ἴσα τῷ θεῷ δυνάμενος. ὁ γὰρ τὸ κάλλιςον μέρος οὕτω πλάσας, δυνατὸς καὶ τὸ ὅλον πλάσαι.

Ἢ ἔργα τοῦ θεοῦ φησι, τὴν κεκρυμμένην δύναμιν τῆς θεότητος αὐτοῦ, ἥτις τότε μᾶλλον ἐφάνη. τί οὖν, εἰ μὴ ἐκολάσθη οὗτος, οὐκ ἐνῆν ἑτέρως φανερωθῆναι τὰ ἔργα τοῦ θεοῦ; ἐνῆν[9]) μὲν, ἀλλ' οὐδὲ οὗτος ἐκολάσθη, μᾶλλον μὲν οὖν εὐηργετήθη, διὰ τῆς πηρώσεως τῶν τοῦ σώματος ὀφθαλμῶν, ἀναβλέψας τοὺς τῆς ψυχῆς. τί γὰρ ὄφελος ἐκείνων, ὅταν οὗτοι μὴ βλέπωσιν; ἐξῆν οὖν τῷ κτίςῃ τυφλὸν αὐτὸν κτίσαι, οὐ κολαςικῶς, ἀλλ' οἰκονομικῶς, ἵνα τε τὰ ἔργα τοῦ θεοῦ φανερωθῇ, καὶ αὐτὸς ἐντεῦθεν ἀναβλέψῃ τὴν ψυχήν.

Τινὲς δὲ τὸ ἵνα, οὐκ αἰτιολογικὸν λέγουσιν ἐνταῦθα, ἀλλὰ δηλωτικὸν τοῦ μέλλοντος, ὅτι φανερωθήσονται τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. τοιοῦτον[1]) δὲ εἶναι καὶ τὸ· εἰς κρίμα[v]) ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες [τυφλοὶ[2]) γένωνται. σημαίνειν γὰρ, ὅτι οἱ μὴ βλέποντες βλέψουσι, καὶ οἱ βλέποντες] τυφλωθήσονται. οὐ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ ὁ παῦλος δέ φησιν· νόμος[x]) παρεισῆλθεν, ἵνα πλεονάσῃ

v) Io. 9, 39.

x) Rom. 5. 20.

9) ἐνῆν μέν. abſunt. A.
1) τοῦτον δέ. B.
2) Incluſa exciderunt. A.

enim propter hoc subintroiuit, sed ait quod subsequutum est, vt abundaret delictum, et multa huiusmodi. Siquidem et hoc scripturae idioma est, loquendique proprietas.

Vers. 4. *Me — me.* Me oportet operari opera, quae me patris esse filium ostendant, et aequalem Deo: me oportet manifestare me ipsum, quod hominum sim amator, vt homines per huiusmodi opera ad fidem, quae in me est, attracti, non pereant: quandoquidem enim carnem assumsi, impossibile est eos aliter saluos fieri, nisi per fidem, qua in me credant.

Vers. 4. *Donec dies est.* Donec praesens durat seculum, donec vita haec consistit, donec hominibus operari conceditur.

Vers. 4. *Venit — operari.* Venit futurum retributionis seculum. Quod autem operationem dicat hic, qua in ipsum crederetur, ex eo manifestum est, quod superius dixerit, Hoc est opus Dei, vt credatis in eum, quem ille misit:

Christus namque praesens seculum vocauit diem, eo quod operationi aptum est: futurum vero noctem, quia in eo non fient opera. Paulus autem ediuerso, Noctem dixit praesens seculum propter errorem et ignorantiam ac tenebras perturbationum animi: diem vero, futurum, eo quod nihil horum habebit. Ait enim, Nox praecessit, dies autem appropinquauit.

Vers 5. *Quamdiu — mundi.* Et eos, qui obtenebrati sunt, oportet illuminari per fidem, priusquam a mundo transeam. Decimo quinto autem

3) Inclusa exciderunt. A.
4) τοῦ πέμψαντός με, addit. A.
5) τὸ ἔργον. A.

φανῇ τὸ παράπτωμα. [οὐ ³) γὰρ διὰ τοῦτο παρεισῆλθεν, ἀλλ' ὅτι μέλλει πλεονάσαι τὸ παράπτωμα.] καὶ πολλὰ τοιαῦτα. ἰδίωμα γὰρ καὶ τοῦτο τῆς γραφῆς.

Verſ. 4. Ἐμὲ — με. Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα, ⁴) τὰ δεικνύοντά με υἱὸν τοῦ πατρὸς, καὶ ἴσον τῷ θεῷ. ἐμὲ χρὴ φανεροῦν ἐμαυτὸν ὡς φιλάνθρωπον, ἵνα διὰ τῶν τοιούτων ἔργων χειραγωγούμενοι πρὸς τὴν εἰς ἐμὲ πίστιν οἱ ἄνθρωποι, μὴ ἀπόλωνται. ἐμοῦ γὰρ ἐνανθρωπήσαντος, ἀδύνατον σωθῆναί τινα ἑτέρως, εἰ μὴ διὰ τῆς εἰς ἐμὲ πίστεως.

Verſ. 4. Ἕως ἡμέρα ἐστίν. Ἕως ὁ παρὼν αἰὼν ἐστιν, ἕως ὁ βίος οὗτος συνέστηκεν, ἕως ἔξεστι τοῖς ἀνθρώποις ἐργάζεσθαι.

Verſ. 4. Ἔρχεται — ἐργάζεσθαι. Ἔρχεται ὁ μέλλων αἰὼν, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι τὸ πιστεύειν εἰς ἐμέ. ἐργασίας γὰρ ὁ παρὼν καιρός. ὁ δὲ μέλλων ἀνταποδόσεως. ὅτι δὲ ἐργασίαν ἐνταῦθα, τὴν τοῦ πιστεύειν, λέγει, δῆλον ἀπὸ τοῦ εἰπεῖν ὀπίσω· ὅτι ʸ) τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. y) Io. 6, 29.

Ὁ μὲν οὖν χριστὸς ἡμέραν μὲν ἐκάλεσε, τὸν παρόντα αἰῶνα, διὰ τὸ ⁵) ἐνεργόν· νύκτα δὲ, τὸν μέλλοντα, διὰ ⁶) τὸ ἀεργόν. ὁ δὲ παῦλος τοὐναντίον, νύκτα μὲν, τὸν παρόντα αἰῶνα, διὰ τὴν πλάνην καὶ τὴν ἄγνοιαν καὶ τὸ σκότος τῶν παθῶν· ἡμέραν δὲ, τὸν μέλλοντα, διὰ τὸ μηδὲν ἔχειν τούτων· φησὶ γὰρ, ἡ νὺξ ᶻ) προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. z) Rom. 13, 12.

Verſ. 5. Ὅταν — κόσμου. Καὶ χρὴ τοὺς ἐσκοτισμένους φωτίζεσθαι διὰ πίστεως, πρὸ τοῦ μεταβῆναί με ἀπὸ τοῦ κόσμου. καὶ ἐν τῷ πεντηκο-

⁶) διὰ τὴν ἀνταπόδοσιν. ὁ δέ. A.

autem capite latius de hoc loquitur. Quid ergo, quum in coelo est, non est lux mundi? Est vtique, sed nunc de conuersatione sua in terra dicit, simul et ad fidem adhortans, et propinquam esse mortem suam significans.

Vers. 6. *His dictis — caeci.* Quare solum puluerem sumtum non illeuit? Quia solus puluis sine aliquo humore non linitur. Et quam ob causam sputo et non aqua lutum fecit? vt sputo adscriberetur miraculum.

Vers. 7. *Et — Silohe.* Lauari iubet, ostendens, quod nulla sit pulueris necessitas: sed eo vsus est solum, vt ostendat se esse, qui ab initio corpus Adam de puluere formauit. Mittit autem eum ad piscinam Silohe, quae longe distabat, vt appareret fides ac promta caeci obedientia: neque enim vlla erat apparentia, quod piscina illum esset curatura.

Vers. 7. *Quod — missus.* Quod vocabulum Silohe videlicet, quod est Hebraicum, interpretatione sonat Missus: ideo, vt opinor, quod tunc caecus illo fuerit missus: praesignabat namque piscinae appellatio id, quod futurum erat.

Vers. 7. *Abiit — videns.* Abiit nihil haesitans, sed confestim obediens. Atqui verisimiliter dicere poterat, Quid hoc sibi vult? non potuit me curare? num fortassis illudit me, frustraque mittit? nam frequenter ibi lotus, nihil accepi vtilitatis. Item et aliter. Si futurum est, vt lutum me sanet, quid opus est, vt in dicta piscina lauer?

7) τῇ, abest. A.
8) ἐπιτραφῇ. B.
9) τινός. A.

τεσσαρεσκαιδεκάτῳ δὲ κεφαλαίῳ πλατύτερον περὶ τούτου λέγει. τί οὖν, ἐν τῷ οὐρανῷ ὢν, οὐκ ἔστι φῶς τοῦ κόσμου; ἐστίν. ἀλλὰ νῦν περὶ τῆς ἐν τῇ [7]) γῇ διατριβῆς αὐτοῦ φησιν, ἅμα μὲν προτρεπόμενος εἰς πίστιν, ἅμα δὲ τὸν ὅσον οὔπω θάνατον αὐτοῦ παραδηλῶν.

Verſ. 6. Ταῦτα εἰπὼν — τυφλοῦ. Διατί μὴ χοῦν μόνον λαβὼν ἐπέχρισε; διότι ὁ χοῦς ἄνευ ὑγροῦ τινὸς οὐκ ἐπιχρίεται. καὶ διατί οὐχ ὕδατι, ἀλλὰ πτύσματι πηλὸν ἐποίησεν; ἵνα τῷ πτύσματι ἐπιγραφῇ [8]) τὸ θαῦμα.

Verſ. 7. Καὶ — σιλωάμ. Νίψασθαι μὲν κελεύει, δεικνὺς, ὅτι οὐ χρείαν εἶχε τοῦ χοός· ἀλλ' ἐχρήσατο τούτῳ πρὸς τὸ διδάξαι μόνον, ὅτι αὐτός ἐστιν ὁ κατ' ἀρχὰς ἐκ χοὸς πλάσας τὸ σῶμα τοῦ ἀδάμ. ἀποστέλλει δὲ αὐτὸν εἰς τὴν κολυμβήθραν τοῦ σιλωὰμ, πόῤῥω οὖσαν, ἵνα φανῇ ἡ πίστις καὶ εὐπείθεια τοῦ τυφλοῦ. οὐδὲ γὰρ ὑποψία τις ἦν, ὅτι ἡ κολυμβήθρα θεραπεύσει αὐτόν. πολλῶν γὰρ καθεκάστην ἐκεῖ καὶ νιπτομένων καὶ λουομένων, οὐδεὶς εὗρέ ποτε νόσου [9]) τινὸς ἀπαλλαγήν.

Verſ. 7. Ὁ — ἀπεσταλμένος. Ὅπερ ὄνομα, τὸ σιλωάμ δηλονότι, ἑβραϊκὸν ὂν, ἑρμηνεύεται ἀπεσταλμένος. οἶμαι διὰ τὸν ἀπεσταλμένον ἐκεῖ τότε τυφλόν. προεδήλου γὰρ ἡ τῆς κολυμβήθρας κλῆσις τὸ μέλλον.

Verſ. 7. Ἀπῆλθεν — βλέπων. Ἀπῆλθε, μὴ διακριθεὶς ὅλως, ἀλλ' εὐθέως ὑπακούσας, καίτοι εἰκὸς ἦν εἰπεῖν, τί τοῦτο βούλεται, οὐκ ἠδύνατο αὐτὸς θεραπεῦσαι; μήποτε πλανᾷ με, καὶ μάτην πέμπει. πολλάκις γὰρ ἐκεῖ νιψάμενος, οὐδὲν ἀπωνάμην. καὶ ἑτέρως δὲ, εἰ ὁ πηλὸς θεραπεύσει, τίς ἡ χρεία τοῦ νίψασθαι εἰς τὴν

εἰρη-

lauer? si vero illa me curatura est, quae fuit lini necessitas? Sed nihil huiusmodi aut dixit, aut cogitauit: sed simpliciter credens, quod ea, quae ad salutem suam conuenirent, et fecisset et iussisset, obediuit et abiit, et per talem fidem non est sua spe frustratus.

Vers. 8. *Vicini itaque* — v. 11. *visum recepi.* Quid ais? Homo talia facere potest? nondum enim cognoscebat eum etiam esse Deum. Non dixit autem, Exspuit in terram: nam tunc non viderat, sed, Lutum fecit et inunxit oculos meos: hoc namque senserat ac sensu tactus cognouerat.

Sed vnde didicit, quod Iesus diceretur? Interrogauit proculdubio eos, qui tunc praesentens erant, Verisimile enim est, quod etiam prius de miraculis illius audierit, ideo etiam incunctanter illi paruit, vt dictum est.

Vers. 12. *Dixerunt* — *illi?* Nam requirebant illum, qui insaniam ipsorum aufugerat: et quasi solum id audissent, inuestigant eum.

Vers. 12. *Ait*, *Nescio.* Nam quum inunxisset, et ad piscinam abire iussisset, continuo discesserat, fugiens plausum de miraculo.

Vers. 13. *Adducunt* -- v. 14. *oculos.* Quum illum non inuenirent, hunc adducunt, vt demonstrent, quod Sabbathum soluerit.

Vers. 15. *Rursum* — *video.* Non interrogauerunt, Quomodo visum recepisti, sed quomodo

1) ποτέ. A.

2) Chrysostomus, vt solet, versum 15 et 26. confudit. Vide Tom. VIII. p. 334. A. Hunc ergo sequitur Euthymius et Theophylactus, etiam in interpretatione p. 697. C. Similis confusio est infra 17, 7. 8. et in locis centum aliis. Sed altero loco

περιμένειν κολυμβήθραν; εἰ δὲ ἐκείνη θεραπεύσαι, τίς ἡ χρεία τοῦ πηλοῦ; ἀλλ' οὐδὲν τοιοῦτον ἢ εἶπεν, ἢ ἐλογίσατο. ἁπλῶς δὲ πιστεύσας, ὅτι τὰ πρὸς ἴασιν αὐτοῦ καὶ πεποίηκε καὶ προσέταξεν, ἐπείσθη καὶ ἀπῆλθε, καὶ τῆς τοιαύτης πίστεως οὐ διήμαρτεν.

Verſ. 8. Οἱ οὖν γείτονες — v. 11. ἀνέβλεψα. Τί λέγεις; ἄνθρωπος τοιαῦτα δύναται; οὔπω γὰρ ἐγίνωσκεν αὐτὸν, καὶ θεόν. οὐκ εἶπε δὲ, ὅτι ἔπτυσε χαμαί. οὐχ ἑώρα γὰρ τότε, ἀλλ' ὅτι πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμούς. ᾔσθετο γὰρ καὶ ἔγνω τοῦτο ἐκ τῆς ἁφῆς.

Ἀλλὰ πόθεν ἔμαθεν, ὅτι Ἰησοῦς λέγεται; ἠρώτησε τότε[1]) πάντως τοὺς παρόντας. εἰκὸς γὰρ καὶ πρότερον ἀκούειν περὶ τῶν θαυμάτων αὐτοῦ. διὸ καὶ ἀπεριέργως ὑπήκουσεν αὐτοῦ, καθὼς εἴρηται.

Verſ. 12. Εἶπον — ἐκεῖνος; Ἐζήτουν γὰρ αὐτὸν, διαφυγόντα τὴν μανίαν αὐτῶν, καὶ ὡς μόνον ἤκουσαν, ἰχνηλατοῦσιν αὐτόν.

Verſ. 12. Λέγει· οὐκ οἶδα. Ἐπιχρίσας γὰρ καὶ ἐντειλάμενος ἀπελθεῖν εἰς τὴν κολυμβήθραν, ἀνεχώρησεν αὐτίκα, φεύγων τὸν ἀπὸ τοῦ θαύματος κρότον.

Verſ. 13. Ἄγουσιν — v. 14. ὀφθαλμούς. Μὴ εὑρόντες ἐκεῖνον, ἄγουσι τοῦτον εἰς ἀπόδειξιν τῆς λύσεως τοῦ σαββάτου.

Verſ. 15. Πάλιν — βλέπω. Οὐκ ἠρώτησαν, πῶς[2]) ἀνέβλεψας, ἀλλὰ πῶς ἀνέῳξέ σου.

loco Codices etiam fingit et confuſe eos laudat. Multoties, cum Interpretes, Origenes, Chryſoſtomus et alii dicunt, Euangeliſta aut Apoſtolus non hoc

modo aperuit oculos tuos? dantes occasionem calumniandi eum de opere prohibito, scilicet in sabbatho: ipse vero quasi ad eos loquens, qui iam audiuerant, sermonem abbreuiat.

Vers. 16. *Dicebant — obseruat.* Non est a Deo, missus videlicet, vel non est ex Deo.

Vers. 16. *Alii — eos.* Nam qui ex Deo non est, ex diabolo est, et omnino peccator est. Dissensio itaque et tunc, et prius facta est: siquidem, Non veni, inquit, vt mittam pacem in terram, sed gladium. Sed non perseuerauit. Rursum enim vniti sunt instantibus pharisaeis.

Vers. 17. *Aiunt — oculos?* Hoc aiunt non illi, qui dixerant, Non est a Deo, sed qui ab his diuisi erant: ne enim illi patrocinari viderentur, eum, qui virtutis eius experimentum sumserat, constituunt ambiguitatis iudicem.

Vers. 17. *At — est.* Prophetas vocabant diuinos viros. Aperte ergo dicit, quod a Deo esset, nec iram timuit dicentium, quod non esset a Deo. Firmus enim erat, et veritatis amator, ac aequus homo.

Vers. 18. *Non — visum recepisset.* Qui dixerant, Non est a Deo. Sed o insensati, si non ita est, quod cum caecus esset visum recepit, quomodo Christum calumniamini, quod illum sabbatho sanauerit?

Vers. 18. *Donec — v. 19. natus est?* Vide malitiam, rigide interrogant, putantes illos exterrere: vt dum hi negassent, tenebris offunderetur

hoc, sed illud dixit: non *illud,* sed *hoc* probandum est. Id etiam hoc loco fecerunt Euthymius et Theophylactus. Vterque enim in contextu vulgatam seruat lectionem.

σε τοὺς ὀφθαλμοὺς; ἰδόντες ἀφορμὴν τοῦ διαβάλλειν αὐτὸν ἐπὶ ἐργασίᾳ κεκωλυμένῃ δῆθεν ἐν τῷ σαββάτῳ. ὁ δὲ, ὡς πρὸς ἀκηκοότας ἤδη τὰ κατ' αὐτὸν λέγων, ἐπιτέμνει τὸν λόγον.

Verſ. 16. Ἔλεγον — τηρεῖ. Οὐκ ἔστι παρὰ Θεοῦ, ἀπεσταλμένος δηλονότι, ἢ οὐκ ἔστιν ἐκ Θεοῦ.

Verſ. 16. Ἄλλοι — αὐτοῖς. Ὁ γὰρ μὴ ὢν ἐκ τοῦ Θεοῦ, ἐκ τοῦ διαβόλου ἐστὶ, καὶ πάντως ἁμαρτωλός ἐστι. σχίσμα μὲν οὖν καὶ τότε καὶ πρότερον ἐγένετο· a) ἐκ ἦλθον, γάρ φησι, βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· ἀλλ' οὐκ ἐπέμεινεν, 3) ἡνώθησαν γὰρ αὖθις, ἐπικειμένων τῶν ἀρχόντων. a) Matt. 10, 34.

Verſ. 17. Λέγουσι — ὀφθαλμούς; Λέγουσι τοῦτο, οὐχ οἱ εἰπόντες, ὅτι οὐκ ἔστι παρὰ Θεοῦ, ἀλλ' οἱ σχισθέντες ἀπ' αὐτῶν. ἵνα γὰρ μὴ δόξωσι συνηγορεῖν αὐτῷ, τὸν λαβόντα πεῖραν τῆς δυνάμεως αὐτοῦ ποιοῦνται κριτὴν τῆς ἀμφιβολίας.

Verſ. 17. Ὁ — ἐστί. Προφήτας ἐκάλουν, τοὺς θείους ἄνδρας. ἄντικρυς οὖν φησιν, ὅτι παρὰ Θεοῦ ἐστὶ, καὶ οὐκ ἐφοβήθη τὸν θυμὸν τῶν λεγόντων, ὅτι οὐκ ἔστι παρὰ Θεοῦ. στερρὸς γὰρ ἦν καὶ φιλαλήθης καὶ εὐγνώμων.

Verſ. 18. Οὐκ — ἀνέβλεψεν. Οἱ εἰπόντες, ὅτι οὐκ ἔστι παρὰ Θεοῦ. ἀλλ', ὦ ἀνόητοι! εἰ οὐχὶ τυφλὸς ὢν ἀνέβλεψε, πῶς διαβάλλετε τὸν Χριστὸν, ὡς ἐν σαββάτῳ ἰασάμενον αὐτόν;

Verſ. 18. Ἕως — v. 19. ἐγεννήθη; Ὅρα πονηρίαν. αὐστηρῶς ἐρωτῶσι, προσδοκῶντες ἐκφοβεῖν αὐτοὺς, ἵνα τούτων ἀρνησαμένων, ἐπισκιαθῇ

3) τὸ σχίσμα,

tur miraculum: et aiunt: De quo vos dictis, quod caecus natus est? mentientes videlicet et dolose simulantes, vt ipsi Iesu gloriam quaeratis.

Vers. 19. *Quomodo — videt?* Si caecus natus est.

Vers. 20. *Responderunt — v. 21. nescimus.* Quum de tribus interrogati fuissent: vtrum hic esset filius eorum, vtrum caecus natus esset, et quomodo nunc videret: de duobus consentiunt: quomodo autem nunc videat, ignorare se dicunt, timentes Iudaeos, sicut in progressu manifestabitur.

Vers. 21. *Ipse — loquetur.* Sese extra periculum constituentes, ad eum qui curatus erat interrogationem remittunt, vt qui in eiusmodi quaestione fide dignior eis esset.

Vers. 22. *Haec — extra synagogam eiiceretur.* Conspirauerant, pactum fecerant.

Vers. 23. *Propter — interrogate.* Rursus idem dicit, perstringens illos tanquam timidos, et qui ignorare se simulauerant, ne extra synagogam, siue congregationem eiicerentur: filio autem totius certaminis onus imposuerant.

Vers. 24. *Vocauerunt — Deo.* Glorifica Deum, vtpote ab eo sanatus, et non a Iesu.

Vers. 24. *Nos — est.* Absente illo hoc dicitis scelesti: nam quum ille praesens esset, et vos paulo ante interrogaret, Quis ex vobis arguit me de peccato, ne mutire quidem potuistis, ora a veritate obturata habentes.

Vers. 25.

4) Intellige, ὁ εὐαγγελιστής.
5) τοὺς γονεῖς τοῦ ποτε τυφλοῦ.

τοῦ τὸ θαῦμα. καὶ φασιν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη, ψευδόμενοι, δηλαδή, καὶ κακουργοῦντες, καὶ τῷ ἰησοῦ δόξαν περιποιούμενοι.

Verſ. 19. Πῶς — βλέπει; Ει τυφλὸς ἐγεννήθη.

Verſ. 20. Ἀπεκρίθησαν — v. 21. οὐκ οἴδαμεν. Τρία ἐρωτηθέντες, εἰ οὗτός ἐστιν ὁ υἱὸς αὐτῶν, εἰ τυφλὸς ἐγεννήθη, καὶ πῶς ἄρτι βλέπει· τὰ μὲν δύο ὁμολογοῦσι· πῶς δὲ ἄρτι βλέπει, ἀγνοεῖν λέγουσι, φοβούμενοι τοὺς ἰουδαίους, ὡς ἑξῆς δηλωθήσεται.

Verſ. 21. Αὐτὸς — λαλήσει. Ἔξω κινδύνου, καθιστῶντες ἑαυτοὺς, ἐπὶ τὸν τεθεραπευμένον παραπέμπουσι τὴν ἐρώτησιν, ὡς ἀξιοπιστότερον αὐτῶν ἐν τῷ τοιούτῳ ζητήματι.

Verſ. 22. Ταῦτα — ἀποσυνάγωγος γένηται. Συνετέθειντο, ἤτοι, συνεφώνησαν. ἀποσυνάγωγος δὲ, ὁ ἐκβεβλημένος τῆς συναγωγῆς.

Verſ. 23. Διὰ — ἐρωτήσατε. Τὸ αὐτὸ πάλιν λέγει,[4]) διασύρων αὐτοὺς,[5]) ὡς δειλοὺς, καὶ διὰ τὸ μὴ ἀποσυναγώγους γενέσθαι προσποιουμένους μὲν ἀγνοεῖν, τῷ υἱῷ δὲ τὸν ἀγῶνα ὅλον ἐπιφορτίζοντας.

Verſ. 24. Ἐφώνησαν — θεῷ. Δόξασον τὸν θεὸν, ὡς παρ' αὐτοῦ ἰαθεὶς, καὶ μὴ παρὰ τοῦ ἰησοῦ.

Verſ. 24. Ἡμεῖς — ἐστιν. Ἀπόντος τοῦτο λέγετε μιαροί. παρόντος γὰρ, καὶ ἐρωτήσαντος ὑμᾶς ἔναγχος· τίς[b]) ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας· οὐκ ἠδυνήθητε οὐδὲ γρύξαι μόνον, ἐμφραγέντων ὑμῖν[6]) τῶν στομάτων ὑπὸ τῆς ἀληθείας.

b) Io. 8, 46.

Verſ. 25.

6) ὑμῶν. A.

Verſ. 25. *Reſpondit — video.* Non dixit dubitando, An peccator ſit neſcio, ſed nugas huiusmodi more dubitantis repellens. Nam in progreſſu manifeſtius hoc oſtendit dicens, Scimus, quod peccatores deus non audiat.

Verſ. 26. *Dixerunt — oculos?* Quum ab omni parte repulſi eſſent, nec quicquam eorum, quae voluerant, effeciſſent: rurſum ad primum quaeſitum reuertuntur: ideo etiam is, qui curatus fuerat arguens illos, non iam timide, ſed liberius loquendo reſpondet.

Verſ. 27. *Reſpondit — audiſtis.* Nec crediditis.

Verſ. 27. *Quid — audire?* Quam ob cauſam rurſus audire quaeritis?

Verſ 27. *Num — fieri?* Dicens, Num et vos, oſtendit, quod ipſe paulo ante factus eſſet, et confidenter id fatebatur, non metuens illorum inſaniam: adeo fortis eſt veritas, vt eos libertate repleat, qui ipſam elegerint: mendacium vero adeo imbecille, vt eos quoque, qui fortes ſunt, reddat timidos.

Verſ. 28. *Conuitiati — diſcipuli.* Neque Moſis: nam ſi Moſis eſſetis, vtique et Chriſti eſſetis. Si crederetis, inquit, Moſi, crederetis vtique mihi.

Verſ. 29. *Nos — ſit.* Vnde miſſus ſit. Atqui variis in locis docuit vos, qui ſint ferentes de ſe teſtimonium: puta Iohannes, opera quae facit, et pater qui et Deus. At certe de Moſe auditis, non autem videtis: huius vero opera non

auditis

Verſ. 25. Ἀπεκρίθη — βλέπω. Τὸ, εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα, οὐ διστάζων εἶπεν, ἀλλ' ἐν σχήματι διστάζοντος, παραπεμπόμενος τὸν τοιοῦτον φλήναφον. προϊὼν γὰρ φανερώτερον ἀποφαίνεται λέγων· οἴδαμεν[c]) δὲ, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει. c) Io. 9, 31.

Verſ. 26. Εἶπον — ὀφθαλμούς; Πανταχόθεν ἀποκρουσθέντες, καὶ μηδὲν, ὧν ἐβούλοντο, δυνηθέντες ἀνύσαι, πάλιν ἐπὶ τὸ πρότερον ἐρώτημα στρέφονται. διὸ καὶ καταγνοὺς αὐτῶν ὁ τεθεραπευμένος, οὐκ ἔτι μεθ' ὑποστολῆς, ἀλλὰ παῤῥησιαστικώτερον ἀποκρίνεται.

Verſ. 27. Ἀπεκρίθη — ἠκούσατε. Οὐκ ἐπιστεύσατε.

Verſ. 27. Τί — ἀκούειν; Τίνος ἕνεκεν πάλιν ζητεῖτε ἀκούειν.

Verſ. 27. Μὴ — γενέσθαι; Εἰπὼν, ὅτι μὴ καὶ ὑμεῖς, ἔδειξεν, ὅτι αὐτὸς τέως ἐστὶ, καὶ θαῤῥαλέως ὡμολόγησε, μὴ δειλιάσας τὴν μανίαν αὐτῶν. οὕτως ἰσχυρὸν ἡ ἀλήθεια, παῤῥησίας ἐμπιπλῶσα τοὺς ἑλομένους αὐτὴν, καὶ εἰ τῶν ἀπεῤῥιμμένων εἶεν· τὸ δὲ ψεῦδος τοὐναντίον ἀσθενὲς, δειλοὺς ἀπεργαζόμενον καὶ τοὺς ἰσχυρούς.

Verſ. 28. Ἐλοιδόρησαν — μαθηταί. Οὐδὲ τοῦ μωϋσέως. εἰ γὰρ τοῦ μωϋσέως ἦτε, καὶ τοῦ χριστοῦ ἂν ἦτε. εἰ γὰρ[d]) ἐπιστεύετέ, φησι, μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί. d) Io. 5, 46.

Verſ. 29. Ἡμεῖς — ἐστί. Πόθεν ἀπεστάλη. καὶ μὴν διαφόρως ἐδίδαξεν ὑμᾶς, τίνες μαρτυροῦσι περὶ αὐτοῦ, ὅτι ὁ Ἰωάννης, ὅτι τὰ ἔργα, ἃ ποιεῖ, ὅτι ὁ πατὴρ καὶ θεός· ἀλλὰ περὶ μωϋσέως μὲν, ἀκούετε, οὐ μὴν βλέπετε· τὰ

auditis solum, verum etiam videtis, et nostis, quod oculi sint auribus fide digniores.

Vers. 30. *Respondit — oculos.* Quod quum vobis ignotus sit, et inglorius, meos aperuit oculos, taleque edidit miraculum. Nam si de insignibus esset et gloriosis, nequaquam tantum esset miraculum. Itaque magnus quispiam est, quanquam vos nesciatis vnde sit.

Vers. 31. *Scimus — audit.* Vide contexturam et quomodo mirabiliter argumentetur ac sermonem augeat. Vere enim non exterioribus tantum oculis illuminatus est, sed et interioribus. Nam quia in praecedentibus dixerant: Nos scimus, quod hic homo peccator est: tunc quidem more dubitantis sermonem repulit, nunc vero tanquam libertate plenus, ostendit hunc non esse peccatorem, sed potius Dei cultorem ac Dei voluntatem adimplentem. Siquidem adhuc eum hominem esse suspicabatur, vt diximus. Peccatores autem Deus non audit, in huiusmodi videlicet miraculis.

Vers. 32. *A — v. 33. quicquam.* Quicquam simile. Caeci namque oculos alii etiam aperuerant, caeci vero a natiuitate nullus. Magnitudo itaque miraculi diuinum quempiam esse eius effectorem ostendit. Nam qui maius aliquod edit miraculum, quam sint vniuersa humana miracula, vtique maior est cunctis hominibus.

Vers. 34. *Responderunt — nos?* Non tulerunt manifestam redargutionem ac praeclaram victoriam: conuersa autem malitia in suum ipsorum caput, indignati sunt illi dicentes: Peccator omnino

[7]) ὀφθαλμὼς, omittit. B.
[8]) γεννητῆς. A.

ἔργα δὲ τούτου, οὐ μόνον ἀκούετε, ἀλλὰ καὶ βλέπετε, καὶ οἴδατε, ὅτι ὀφθαλμοὶ ὤτων πιςότεροι.

Verſ. 30. Ἀπεκρίθη — ὀφθαλμούς. Ὅτι ὑμῖν ἄσημος καὶ ἄδοξος ὢν, ἀνέωξέ μου τοὺς ὀφθαλμοὺς, καὶ πεποίηκεν τηλικοῦτον θαῦμα. εἰ γὰρ ἦν τῶν ἐπισήμων καὶ ἐνδόξων, οὐκ ἂν τοσοῦτον ἦν θαυμαςόν. ὥςε μέγας τίς ἐςιν, εἰ καὶ ὑμεῖς οὐκ οἴδατε, πόθεν ἐςίν.

Verſ. 31. Οἴδαμεν — ἀκούει. Βλέπε σύνεσιν, πῶς θαυμασίως συλλογίζεται, καὶ αὔξει τὸν λόγον. ἐφωτίσθη γὰρ ὄντως, οὐ τοὺς ἔξω μόνον ὀφθαλμοὺς, ἀλλὰ καὶ τοὺς ἔνδον. ἐπεὶ γὰρ πςολαβόντες εἶπον, ἡμεῖς [e]) οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐςι· τότε μὲν ἐν σχήματι διςάζοντος παρεκρούσατο τὸν λόγον· νῦν δὲ παῤῥησίας ὢν μεςὸς, ἀποδεικνύει τοῦτον μὴ ὄντα ἁμαρτωλὸν, εἰ μὴ καὶ μᾶλλον θεοσεβῆ, καὶ τὸ θέλημα τοῦ θεοῦ ποιοῦντα. ἔτι γὰρ ἄνθρωπον τοῦτον ὑπελάμβανεν, ὡς εἰρήκαμεν. ἁμαρτωλῶν δὲ ὁ θεὸς οὐκ ἀκούει, ἐπὶ τοιούτοις θαύμασι, δηλονότι. e) Io. 9, 24.

Verſ. 32. Ἐκ — v. 33. οὐδέν. Οὐδὲν τοιοῦτον. τυφλοῦ μὲν γὰρ ἤνοιξαν καὶ ἄλλοι [7]) ὀφθαλμούς· τυφλοῦ δὲ ἐκ [8]) γενετῆς, οὐδείς. λοιπὸν τοίνυν, τὸ ὑπερβάλλον τοῦ θαύματος, θεῖόν τινα δεικνύει τὸν ἐργάτην αὐτοῦ. ὁ γὰρ μείζον πάντων τῶν ἀνθρωπίνων θαυμάτων ποιῶν, μείζων ἄρα πάντων ἀνθρώπων ἐςίν.

Verſ. 34. Ἀπεκρίθησαν — ἡμᾶς; Οὐκ ἤνεγκαν τὸν λαμπρὸν ἔλεγχον, καὶ τὴν περιφανῆ νίκην· περιτραπείσης δὲ τῆς πονηρίας κατὰ τῆς ἑαυτῶν κεφαλῆς, ὀργισθέντες ὕβριζον [9]) αὐτόν.

9) ὑβρίζουσιν. A

no natus es, siue ab initio, a prima statim aetate. Insipienter namque opinabantur, propter peccata aliqua esse natum caecum, vt ostenderent, eum esse peccatorem. Atqui etiamsi peccator erat, sermones eius probare oportuit, si veri essent: quid enim absurdi dixerat?

Vers. 34. *Et — foras.* Ab ecclesia et concione repulerunt praeconem veritatis, tanquam Christi discipulum. Quum enim miraculum calumniari non potuissent, imo potius ediuerso celebre illud vehementi ac curiosa inuestigatione reddidissent, suum effundunt furorem aduersus eum qui curatus fuerat.

Vers. 35. *Audiuit — Dei?* Venit vt maius conferret beneficium illi, qui propter se fuerat eiectus, quodque bonorum caput est tribuit, sese illi praebens cognoscendum, ac verum efficiens discipulum. Quod autem ait, Tu, propter illos dixit, qui non credebant.

Vers. 36. *Respondit — eum?* Spe bona ad sermonem erectus est, tanquam paratus ad credendum: et discere quaerit, quisnam sit: neque enim sciebat, quis esset.

Vers. 37. *Dixit — est.* Vidisti eum: non prius, sed nunc. Non dixit, Ego sum, qui aperui oculos tuos. Vult enim simplicitatem ac praeparationem fidei illius ostendere, ad eorum, qui praesentes erant vtilitatem: ac confusionem eorum, qui quum multa edocti essent, multaque signa conspexissent, non tamen adhuc credebant. Nam hoc solo audito, Et qui loquitur tecum ipse est, statim credidit: sermo namque animam illius repente tetigit: quumque bonam illam inuenisset, ad

*) κινῆσαι. A.

τόν, λέγοντες· ἁμαρτωλὸς σὺ ἐγεννήθης ὅλος, ἤγουν, τὴν ἀρχὴν, ἐκ πρώτης ἡλικίας. ὑπελάμβανον γὰρ αὐτὸν ἀνοήτως, δι' ἁμαρτίας τινὰς τυφλὸν γεννηθῆναι, εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν ἁμαρτωλόν. καίτοι καὶ ἁμαρτωλὸς ἐὰν ἦν, τοὺς λόγους ἔδει τούτου δοκιμάσαι, εἰ ἀληθεῖς εἰσι. τί γὰρ ἄτοπον εἶπεν;

Vers. 34. Καὶ — ἔξω. Ἀποσυνάγωγον ἐποίησαν τὸν κήρυκα τῆς ἀληθείας, ὡς μαθητὴν δῆθεν τοῦ Χριστοῦ. μὴ δυνηθέντες γὰρ ἐπηρεάσαι τῷ θαύματι, τοὐναντίον δὲ μᾶλλον περιβόητον αὐτὸ διὰ τῆς πολυπραγμοσύνης ποιήσαντες,¹) κενοῦσι τὸν θυμὸν κατὰ τοῦ θεραπευθέντος.

Vers. 35. Ἤκουσεν — θεοῦ; Ἔρχεται μεῖζον εὐεργετήσων τὸν ἐκβληθέντα δι' αὐτὸν, καὶ δίδωσι τὸ κεφάλαιον τῶν ἀγαθῶν, γνωρίζει ἑαυτὸν αὐτῷ, καὶ μαθητὴν ἀληθῆ ποιῶν· τὸ δὲ σὺ, διὰ ἐκείνους εἶπεν²) ἀπιστοῦντας.

Vers. 36. Ἀπεκρίθη — αὐτόν; Ἀνεπτερώθη τῷ λόγῳ, ὡς ἕτοιμος εἰς τὸ πιστεῦσαι, καὶ ζητεῖ μαθεῖν, τίς ἐστι. οὐ γὰρ ἠπίστατο, τίς ἐστι.

Vers. 37. Εἶπε — ἐστιν. Ἑώρακας αὐτὸν, οὐ πρότερον, ἀλλὰ νῦν. καὶ οὐκ εἶπεν, ἐγώ εἰμι ὁ ἀνοίξας τοὺς ὀφθαλμούς σου. βούλεται γὰρ δεῖξαι τὸ ἀπερίεργον τῆς πίστεως αὐτοῦ, πρὸς ὠφέλειαν τῶν τηνικαῦτα παρόντων, καὶ ἐντροπὴν τῶν καὶ πολλὰ διδαχθέντων, καὶ πολλὰ σημεῖα θεασαμένων, καὶ μὴ πιστευσάντων ἔτι. μόνον γὰρ ἀκούσας, ὅτι ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστι, εὐθὺς ἐπίστευσεν. ἥψατο γὰρ ὁ λόγος αὐτίκα τῆς αὐτοῦ ψυχῆς, καὶ εὗρεν αὐτὴν ἀγαθὴν

¹) τοῦς videtur addendum.

ad cognitionem ac fidem eam illuminauit. Vide enim.

Vers. 38. *At ille — eum.* Adorauit, confirmans se credere.

Vers. 39. *Et — fiant.* Atqui superius dixit, Non misit Deus filium suum in mundum, vt iudicet mundum: Sed iudicium vocat hic condemnationem. Ad condemnationem, inquit, quorundam ego incarnatus sum: nam interpretans sermonem addit, Vt qui non vident, hoc est, qui iudicantur caeci mente propter scripturarum ignorantiam, hi videant lumen veritatis apertis animae eorum oculis, ab ea quae in me est fide. Qui autem perspicaces videntur propter scripturarum notitiam, hi potius non videant, clausis eorum interioribus oculis ab infidelitate.

Dictionem vero Vt, neque hic oportet intelligere causaliter: Non enim propter hoc venit, vt qui vident caeci fiant, quemadmodum etiam de Vt, in praecedentibus significauimus, sed quod futuri sit significatiua: futurum, inquit, est, vt qui non vident videant, et qui vident caeci fiant.

Aut, In iudicium ego in mundum veni, hoc est, ad discernendum, ad separationem horum ab illis, vt appareat, in his quidem prospectus liberae voluntatis, quae a bonitate procedit: in aliis vero mentis excaecatio, quae a malitia egreditur.

Vers. 40. *Et — eo.* Qui quondam fuerant cum eo, postmodum autem separati erant. Nam quidam pharisaei sequebantur, vt viderent et audirent, quid faceret ac loqueretur.

Vers. 40. *Et — sumus?* Nam sicut alibi dicebant, Nemini seruiuimus vnquam: et, E stupro

9) τοῦτον, abest. A.

καὶ κατέλαμψεν αὐτὴν εἰς ἐπίγνωσιν καὶ πίστιν. ἱερὰ γάρ.

Vers. 38. Ὁ δὲ — αὐτῷ. Προσεκύνησε, βεβαιῶν, ὅτι ἐπίστευσε.

Vers. 39. Καὶ — γένωνται. Καὶ μὴν ὀπίσω εἴρηκεν· ὅτι f) οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον. ἀλλὰ κρίμα νῦν, τὸ κατάκριμα λέγει, ὅτι εἰς κατάκριμα ἐγὼ ἐνηνθρώπησά τινων. ἑρμηνεύων γὰρ τὸν λόγον, φησὶν, ἵνα οἱ μὴ βλέποντες, ἤγουν, οἱ δοκοῦντες τυφλοὶ τὸν νοῦν, τῇ ἀγνοίᾳ τῶν γραφῶν, οὗτοι βλέπωσι τὸ φῶς τῆς ἀληθείας, διανοιγέντων αὐτοῖς τῶν ψυχικῶν ὀφθαλμῶν ὑπὸ τῆς εἰς ἐμὲ πίστεως· αὐτοὶ δὲ, οἱ δοκοῦντες ὀξυδερκεῖς, τῇ γνώσει τῶν γραφῶν, οὗτοι μᾶλλον μὴ βλέπωσι, μυσάντων αὐτοῖς τῶν ἔνδον ὀφθαλμῶν ὑπὸ ἀπιστίας. f) Io. 3, 17.

Κἀνταῦθα δὲ τὸ ἵνα, οὐ χρὴ νοεῖν αἰτιολογικόν. οὐ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ δηλωτικὸν τοῦ μέλλοντος, ὅτι μέλλουσιν οἱ μὴ βλέποντες βλέπειν, καὶ οἱ βλέποντες τυφλοῦσθαι, ὡς καὶ προλαβόντες περὶ τοῦ ἵνα παρεσημειωσάμεθα.

Ἡ εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον[3]) ἦλθον, ἀντὶ τοῦ, εἰς διάκρισιν καὶ διαχωρισμὸν τούτων τε κἀκείνων, ἵνα φανῇ τῶν μὲν, ἡ ἐξ ἀγαθῆς προαιρέσεως ἀνάβλεψις, τῶν δὲ, ἡ ἐκ πονηρᾶς γνώμης ἀποτύφλωσις.

Vers. 40. Καὶ — αὐτοῦ. Οἱ ποτὲ ὄντες μετ' αὐτοῦ, ὕστερον δὲ ἀποστάντες. ἢ οἱ ὄντες τηνικαῦτα. τινὲς γὰρ Φαρισαῖοι παρείποντο, βλέποντες καὶ ἀκούοντες, τί ποιεῖ καὶ λαλεῖ.

Vers. 40. Καὶ — ἐσμεν; Ὥσπερ ἀλλαχοῦ ἔλεγον· οὐδενὶ g) δεδουλεύκαμεν πώποτε g) Io. 8, 33.

stupro nati non sumus: ita et nunc ad sensibilia tantum inhiabant, et de corporali solum caecitate illos pudebat: ideo de hac interrogant, cognoscentes, quod propter eos dictus esset sermo.

Vers. 41. *Ait — peccatum.* De infidelitate videlicet: nam respondere possetis, Non vidimus signa.

Vers. 41. *Nunc — Videmus.* Vos hoc dicitis: ego autem non: si enim videretis, crederetis sane miraculis, quae ego coram vobis operor. Sed quantum ad apparentiam, videtis: quantum vero ad veritatem, non videtis, mente excaecati. Iuxta similitudinem namque mens videt, et mens audit, caetera autem omnia caeca sunt et surda.

Vers. 41. *Peccatum ergo vestrum manet.* Manet absque venia: quia dicentes vos videre nec videntes, voluntarie excaecamini ab inuidia et malitia. Ostendit ergo, quod corporalis visus, de quo gloriantur, hos condemnat. Simul quoque eum, qui antea caecus fuerat, hinc consolatur, ac firmiorem in fide reddit.

Ne autem dicant, Non idcirco tibi non credimus, quod non videamus, sed quia tu populum seducis: ostendit per parabolam, quod non seductor sit, sed pastor. Et primum quidem signa ponit seductoris ac corruptoris: Deinde consequenter pastoris et saluatoris, vt ex his cognoscatur, vtrum seductor sit, an pastor.

Cap. X. v. 1. *Amen — latro.*

Anagogice hic per ostium intelligimus leges, siue scripturas, eo quod ad Dei cognitionem inducant, et

*) De hoc prouerbio vide Fischerum ad Platon. Phaedon. p. 269.

καὶ, ἐκ h) πορνείας ἐ γεγεννήμεθα· ἔτω καὶ νῦν h) Io. 8. 41.
πρὸς τὰ αἰσθητὰ κεχήνασι μόνον, καὶ τὴν σωματικὴν τύφλωσιν ἐπαισχύνονται. διὸ περὶ ταύτης ἐρωτῶσι, γνόντες, ὅτι καὶ δι' αὐτοὺς εἴρηται λόγος.

Verſ. 41. Εἶπεν — ἁμαρτίαν. Οὐκ ἂν εἴχετε ἁμαρτίαν, ἐπὶ τῇ ἀπιςίᾳ, δηλονότι καὶ γὰρ ἠδύνασθε ἀπολογεῖσθαι, ὅτι οὐχ ἑωράκαμεν τὰ σημεῖα.

Verſ. 41. Νῦν — βλέπομεν. Ὑμεῖς τῦτο λέγετε, ἐγὼ δὲ ἔ. εἰ γὰρ ἐβλέπετε, ἐπιςεύετε ἂν, οἷς ἐργάζομαι θαύμασιν ἐνώπιον ὑμῶν. ἀλλὰ τῷ δοκεῖν μὲν βλέπετε, τῇ δὲ ἀληθείᾳ, ἐ βλέπετε, τετυφλωμένοι τὸν νοῦν. κατὰ γὰρ τὴν παροιμίαν· νοῦς ^{a)} ὁρᾷ καὶ νοῦς ἀκούει· τὰ δ' ἄλλα πάντα τυφλὰ καὶ κωφά.

Verſ. 41. Ἡ οὖν ἁμαρτία ὑμῶν μένει. Μένει ἀσύγγνωςος, διότι λέγοντες βλέπειν, ἐ βλέπετε, ἐθελοτυφλώττοντες ὑπὸ φθόνου καὶ πονηρίας. ἔδειξε τοίνυν, ὅτι ἡ σωματικὴ ὅρασις, ἐφ' ᾗ μεγαλαυχοῦσιν, αὐτὴ τούτους καταδικάζει. ἅμα δὲ καὶ τὸν πρὶν τυφλὸν ἐντεῦθεν παρεμυθήσατο, καὶ βεβαιότερον εἰς τὴν πίςιν ἀπειργάσατο.

Ἵνα δὲ μὴ εἴπωσιν, ὅτι οὐχ ὡς ἐ βλέποντες ἀπιςοῦμεν, ἀλλ' ὡς πλανῶντός σου τὸν λαὸν, ἀποδείκνυει διὰ παραβολῆς, ὅτι οὐκ ἔςι πλάνος, ἀλλὰ ποιμήν. καὶ πρῶτον μὲν τίθησι τὰ γνωρίσματα τῦ πλάνου καὶ λῃςοῦ, εἶτα καθεξῆς τὰ τῦ ποιμένος καὶ σωτῆρος, ἵνα ἀπ' αὐτῶν γνωσθῇ, εἴτε πλάνος ἐςὶν, εἴτε ποιμήν.

Cap. X. v. 1. Ἀμὴν — λῃςής.

Ἀναγωγικῶς θύραν μὲν νοοῦμεν ἐνταῦθα, τοὺς νόμους, ἤτοι, τὰς γραφὰς, διὰ τὸ εἰσάγειν εἰς θεο-

et transitum omnem, qui aduersus diuinum cultum est, haereticis ac Gentibus excludant, populumque a daemonum insidiis custodiant. Caulas vero, curam ac prouidentiam ouium. Oues autem Israëlitas, populum Dei. Nos autem, inquit, populus eius et oues pascuae eius. Qui ergo non per scripturas ad curam populi Dei ingreditur, vtpote non vtens eis, nec iuxta illas gubernans, sed ascendens aliunde, quasi ostium transiliens, aut per alium irrumpens introitum, ille non pastor, sed fur est et latro: fur quidem, tanquam volens ea ad se deriuare, quae non conueniunt: latro autem, tanquam deuastans.

Huiusmodi fuerunt ante eum Iudas et Theudas: post eum vero pseudochristi et Antichristus, et si qui sunt alii seductores. Attingit quoque scribas ac pharisaeos, qui docebant doctrinas, praecepta hominum, legem autem transgrediebantur. Vidisti quomodo furem, latronem ac seductorem descripserit? considera etiam pastoris insignia, quibus dignosci possit.

Vers. 2. *Qui — ouium.* Qualis ipse erat, vtpote scripturis vtens, et secundum eas gubernans: quanquam enim etiam in sabbatho operaretur, ea tamen diuina erant opera, quum lex prohiberet humana, siue temporalia ac secularia.

Vers. 3. *Huic ostiarius aperit.* Ostiarius iuxta anagogen Moses erat, vt cui concreditae sunt diuinae leges. Tali ergo Moses aperit, et ad ouium

5) Hic semina sparguntur corruptionis versu 8. Quoniam enim Patres hoc explicabant de impostoribus, qui ante Christum venerant, ideo versu 8. inculcarunt, πρὸ ἐμοῦ.

θεογνωσίαν, καὶ ἀποκλείειν πᾶσαν κατὰ τῆς εὐσεβείας πάροδον τοῖς αἱρετικοῖς καὶ τοῖς ἕλλησι, καὶ φυλάττειν τὸν λαὸν ἀνεπιβούλευτον τοῖς δαίμοσιν· αὐλὴν δὲ, τὴν ἐπιμέλειαν καὶ πρόνοιαν τῶν προβάτων· πρόβατα δὲ, τοὺς Ἰσραηλίτας, τὸν τοῦ θεοῦ λαόν. ἡμεῖς[i]) δέ, φησι, λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. ὁ τοίνυν μὴ διὰ τῶν γραφῶν εἰς τὴν ἐπιμέλειαν τοῦ λαοῦ τοῦ θεοῦ εἰσερχόμενος, ὡς μὴ χρώμενος αὐταῖς, μηδὲ κατ᾿ αὐτὰς πολιτευόμενος, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ὡς ὑπερπηδῶν μὲν τὴν θύραν, τέμνων δὲ ἑτέραν εἴσοδον, ἐκεῖνος οὐ ποιμὴν, ἀλλὰ κλέπτης ἐστὶ καὶ λῃστής. κλέπτης μὲν, ὡς βουλόμενος τὰ μὴ προσήκοντα εἰς ἑαυτὸν ἐπισπάσασθαι· λῃστὴς δὲ, ὡς λυμεών. i) Pf. 94, 7.

Τοιοῦτοί εἰσι[5]) πρὸ αὐτοῦ μὲν, Ἰούδας καὶ Θευδᾶς· μετ᾿ αὐτὸν δὲ, οἱ ψευδόχριστοι, καὶ ὁ ἀντίχριστος, καὶ εἴτινες ἕτεροι πλάνοι. παράπτεται[6]) δὲ καὶ τῶν γραμματέων καὶ Φαρισαίων, τῶν διδασκόντων[k]) διδασκαλίας, ἐντάλματα ἀνθρώπων; καὶ τὸν νόμον παραβαινόντων. εἶδες, πῶς ὑπέγραψε τὸν κλέπτην καὶ λῃστὴν καὶ πλάνον; σκόπει καὶ τοῦ ποιμένος τὰ γνωρίσματα. k) Matt. 15, 9.

Verf. 2. Ὁ — προβάτων. Ὥσπερ[7]) καὶ αὐτὸς, οἷα χρώμενος ταῖς γραφαῖς, καὶ κατ᾿ αὐτὰς πολιτευόμενος. εἰ γὰρ καὶ ἐν σαββάτῳ εἰργάζετο, ἀλλὰ θεῖα ἔργα. ὁ γὰρ νόμος τὰ ἀνθρώπινα ἐκώλυσεν, ἤτοι, τὰ βιωτικά.

Verf. 3. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει. Θυρωρὸς κατὰ ἀναγωγὴν, ὁ μωϋσῆς, ὡς αὐτὸς ἐμπιστευθεὶς τοὺς νόμους τοῦ θεοῦ. τῷ τοιούτῳ οὖν ὁ μωϋ-

6) καθάπτεται plerumque dicere folet. Sed hoc quoque ferri poteft. παράψασθαι eft apud Galenum in Gloffis p. 88. edit. Steph.

7) Hentenius videtur legiffe, οἷος.

um curam admittit, vtpote cognoſcens eum. Scripſit enim, vt eum audirent.

Verſ. 3. *Et — audiant.* Obediunt, parent, ac ſequuntur: agnoſcunt enim illam. Oues autem dixit, eos videlicet, qui vere oues ſunt, digni, vt paſcantur. Nam ſicut, qui per oſtium intrat, hic paſtor eſt: ita et, qui vocem eius audiunt, vt dictum eſt, hi oues ſunt: qui vero non ita ſe habent, ab ouium ordine auulſi ſunt.

Verſ. 3. *Et — nominatim.* Etiam hoc paſtoris ſignum eſt, Cuiusque ouis diligentem oſtendere curam: neque enim illas vocat nominatim, qui ſingulas diligenter non agnoſcit, ob ſummam de vnaquaque curam.

Verſ. 3. *Et educit eas.* Ad paſcua: paſcua autem rationalium ouium, doctrina eſt diuinorum ſermonum, quae animam nutrit ac paſcit.

Verſ. 4. *Et — vadit.* Recto eas tramite deducens, et pro eis pugnans. Atqui paſtores contrario modo faciunt, ſequentes oues, quarum habent curam. Verum paſcendi ars huius paſtoris maxime admiranda eſt: nam et oues ſunt rationales. Siquidem etiam, quando diſcipulos emittebat, dicebat: Ecce ego mitto vos, tanquam oues in medio luporum: paſtores vero extra lupos mittunt oues. Vadit autem ante eas, et tanquam is, qui primus conuerſationis viam calcauit, et ſicut, qui ea fecit, quae docet.

Verſ. 4.

8) ἀπέςειλεν. B.

μωῦσῆς ἀνοίγει, ὡς ποιμένι, καὶ εἰσδέχεται αὐτὸν εἰς τὴν ἐπιμέλειαν τῶν προβάτων, ὡς γνωρίζων αὐτόν. καὶ γὰρ ἔγραψεν, ὅτι αὐτοῦ l) ἀκούετε. l) Deut. 18. 15.

Vers. 3. Καὶ — ἀκούει. Ὑπακούουσι, πείθονται, καὶ ἀκολουθοῦσιν· ἐπιγινώσκουσι γὰρ αὐτήν. τὰ πρόβατα δὲ εἶπεν, ἤτοι, τὰ ἀληθῶς πρόβατα, τὰ ἄξια ποιμαίνεσθαι. ὥσπερ γὰρ ὁ εἰσερχόμενος διὰ τῆς θύρας, οὗτος ποιμήν ἐστιν οὕτω καὶ οἱ τῆς φωνῆς αὐτοῦ ἀκούοντες, ὡς εἴρηται, οὗτοι πρόβατά εἰσιν· οἱ δὲ μὴ οὕτως ἔχοντες, τῆς τῶν προβάτων τάξεως ἀπερράγησαν.

Vers. 3. Καὶ — κατ' ὄνομα. Καὶ τοῦτο γὰρ γνώρισμα ποιμένος, τὴν εἰς ἕκαστον πρόβατον ἄκραν φροντίδα δηλοῦν. οὐ γὰρ ἂν αὐτὰ καλέσοι κατ' ὄνομα, μὴ γνωρίζων ἕκαστον ἀκριβῶς, ἐκ τῆς εἰς ἕκαστον ἄκρας φροντίδος.

Vers. 3. Καὶ ἐξάγει αὐτά. Ἐπὶ νομήν. νομὴ δὲ τῶν λογικῶν προβάτων, ἡ διδασκαλεία τῶν θείων λόγων, τρέφουσα καὶ πιαίνουσα τὴν ψυχήν.

Vers. 4. Καὶ — πορεύεται. Ὁδηγῶν αὐτὰ εἰς εὐθεῖαν, καὶ προασπίζων αὐτῶν. καὶ μὴν οἱ ποιμένες τοὐναντίον ποιοῦσιν, ὄπισθεν τῶν προβάτων ἀκολουθοῦντες· ἀλλ' ἡ ποιμαντικὴ τοῦ ποιμένος τούτου παραδοξοτάτη, διότι καὶ τὰ πρόβατα λογικά. καὶ γὰρ καὶ, ὅτε τοὺς μαθητὰς ἀπέστελλεν, ἔλεγεν· ἰδοὺ, m) ἀποστέλλω ὑμᾶς, m) Matt. 10. 16. ὡς πρόβατα ἐν μέσῳ λύκων· οἱ δὲ ποιμένες ἔξω λύκων ἀποστέλλουσι τὰ πρόβατα. πορεύεται δὲ ἔμπροσθεν αὐτῶν, καὶ ὡς πρῶτος τεμὼν τὴν ὁδὸν τῆς πολιτείας, καὶ ποιήσας, ἃ διδάσκει.

Vers. 4.

Verſ. 4. *Et — ſequuntur.* Per veſtigia eum ſequuntur, eadem incedentes via, ipſiusque legibus parentes.

Verſ. 4. *Quia — eius.* Quae eſt ex ſcripturis, quibus aſſuetae ſunt, ex cognitis vocibus.

Verſ. 5. *Alienum — vocem.* Alieni ſunt, qui non intrant per oſtium. Non nouerunt autem vocem illorum oues, vt quae non ſit a ſcripturis, quibus aſſuetae ſunt, vt dictum eſt, ſed a ventre ipſorum.

Verſ. 6. *Hoc — Ieſus.* Hanc parabolam.

Verſ. 6. *Illi — ipſis.* Obſcure enim loquebatur, attentiores eos reddens. Deinde alio modo ſeipſum et ianuam vocat et paſtorem.

Verſ. 7. *Dixit — ouium.* Per quod ingrediuntur oues ad ſupernam manſionem. Neque enim quiſquam aliter ingreditur, niſi per ipſum, et per fidem, quae in ipſum eſt, ac per eius doctrinam.

Verſ. 8. *Omnes — latrones.* Quotquot a ſeipſis venerunt, quotquot venerunt, non per praedictum oſtium, vt Iudas et Theudas, et ſi quis alius huiusmodi: prophetae namque non a ſeipſis venerunt, ſed a Deo miſſi ſunt: nec aliunde, ſed per oſtium intrauerunt.

Scire enim oportet, quod frequenter ſcriptura vniuerſalem repraeſentans formam, particularem inſinuat intelligentiam. Nam quod nunc dicit Omnes, non ſimpliciter ſignificat omnes, qui ipſum praeceſſerunt. Simile etiam eſt, quod ait Dauid, Omnes

9) καὶ, abeſt. A.

Verſ. 4. Καὶ — ἀκολουθεῖ. Κατ' ἴχνος αὐτῷ ἕπεται, βαδίζοντα τὴν αὐτὴν ὁδὸν, καὶ τοῖς νόμοις αὐτοῦ πειθόμενα.

Verſ. 4. Ὅτι — αὐτοῦ. Οὖσαν ἐκ τῶν συνήθων γραφῶν, ἐκ τῶν γνωρίμων φωνῶν.

Verſ. 5. Ἀλλοτρίῳ — φωνήν. Ἀλλότριοι μὲν, οἱ μὴ εἰσερχόμενοι διὰ τῆς θύρας· οὐκ οἴδασι δὲ αὐτῶν τὴν φωνὴν τὰ πρόβατα, ὡς μὴ ἀπὸ τῶν συνήθων γραφῶν, ὡς εἴρηται, οὖσαν, ἀλλ' ἀπὸ κοιλίας αὐτῶν.

Verſ. 6. Ταύτην — Ἰησοῦς. Τὴν παραβολήν.

Verſ. 6. Ἐκεῖνοι — αὐτοῖς. Ἀσαφῶς γὰρ ἐλάλει, προσεκτικωτέρους ποιῶν αὐτούς. εἶτα τρόπον ἕτερον ἑαυτὸν ὀνομάζει καὶ θύραν, καὶ ποιμένα.

Verſ. 7. Εἶπεν — προβάτων. Δι' ἧς εἰσέρχονται τὰ πρόβατα εἰς τὴν ἄνω μάνδραν. ἑτέρως γὰρ οὐκ εἰσέρχεταί τις, εἰ μὴ δι' αὐτοῦ, καὶ τῆς εἰς αὐτὸν πίστεως, καὶ τῆς αὐτοῦ διδασκαλίας.

Verſ. 8. Πάντες — λησαί. Ὅσοι ἦλθον, ἀφ' ἑαυτῶν, ὅσοι ἦλθον, μὴ διὰ τῆς προειρημένης θύρας, ὡς Ἰούδας καὶ Θευδᾶς, καὶ εἴ τις τοιοῦτος. οἱ προφῆται γὰρ οὐκ ἦλθον ἀφ' ἑαυτῶν, ἀλλ' ἀπεστάλησαν ἐκ τοῦ θεοῦ,⁹) καὶ οὐκ εἰσῆλθον ἀλλαχόθεν, ἀλλὰ διὰ τῆς θύρας.

Χρὴ δὲ γινώσκειν, ὅτι πολλάκις ἡ γραφὴ καθολικὸν τύπον σχηματίζουσα, μερικὴν ἔννοιαν ἐνδείκνυται. τὸ γὰρ πάντες νῦν, οὐ πάντας ἁπλῶς δηλοῖ τοὺς πρὸ αὐτοῦ. τοιοῦτόν ἐστι καὶ τὸ

Omnes declinauerunt, simul inutiles facti sunt: tales siquidem non erant, qui etiam tunc Deum colebant. Et illud Salomonis, Omnia sunt vanitas: neque enim talis est virtus.

Est autem vbi Omnis, idem significat, quod nullus, vt in dicto illo Saluatoris, et nisi breuiati fuissent dies illi, non fieret salua omnis caro, id est, nulla caro. In illo quoque Dauidico versu, Et non dominetur mihi omnis iniustitia, hoc est, nulla. Multa quoque sunt similia.

Vers. 8. *Sed — oues.* Qui vere erant oues. Et hinc manifestum est, quod non comprehenderint etiam prophetas: nam hos audierunt.

Vers. 9. *Ego sum ostium.* Verbi repetitione sermonem confirmat.

Vers. 9. *Per — saluabitur.* Per mea praecepta, si quis ambulauerit, saluabitur ascendens in supernam mansionem.

Vers. 9. *Et — egredietur.* Ad omnem mundi locum; quod de Apostolis factum est.

Vers. 9. *Et pascua inueniet.* Non spiritualia solum, sed et temporalia: nam omnia, quae sunt credentium, eis data sunt.

Vers. 10. *Fur — perdat.* Non venit propter salutem ouium, sed tantum ad furandum, mactandum, ac perdendum. Nam et ii, qui furto ablati sunt a Theuda et Iuda, iugulati sunt et continuo perierunt.

†† Diabolus furatur quidem, cum prehendit animum et transfert ad se et ad voluntatem suam: Mactat

¹) προὔκειτο. B.

²) Haec in margine habet Codex vterque. Caret iis Hentenius.

δαυϊτικόν· πάντες n) ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. ἐ γὰρ καὶ οἱ τηνικαῦτα θεοφιλεῖς. καὶ τὸ σολομώντειον· πάντα o) ματαιότης. ἐ γὰρ καὶ ἡ ἀρετή. n) Pf. 13, 3. o) Ecclef. 1, 2.

Ἔςι δὲ, ὅτε τὸ πᾶς τὸ οὐδεὶς σημαίνει, ὡς τὸ τȣ̃ σωτῆρος· καὶ εἰ p) μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, ȣ̓κ ἂν ἐσώθη πᾶσα σάρξ, ἤγουν, οὐδεμία σάρξ· καὶ τὸ δαυϊτικόν· καὶ μὴ q) κατακυριευσάτω μου πᾶσα ἀνομία, τουτέςι, μηδεμία. καὶ πολλὰ τοιαῦτα. p) Matt. 24, 22. q) Pf. 118, 133.

Verf. 8. Ἀλλ' — πρόβατα. Τὰ ἀληθῶς πρόβατα. κἀντεῦθεν ουν δῆλον, ὅτι ȣ̓ συμπεριέλαβε καὶ τοὺς προφήτας. τούτων γὰρ ἤκουσαν.

Verf. 9. Ἐγώ εἰμι ἡ θύρα. Τῷ διπλασιασμῷ τȣ̃ ῥητȣ̃ βεβαιοῖ τὸν λόγον.

Verf. 9. Δι' — σωθήσεται. Διὰ τῶν ἐμῶν ἐντολῶν ἐάν τις ὁδεύσῃ, σωθήσεται, ἀνερχόμενος εἰς τὴν ἄνω μάνδραν.

Verf. 9. Καὶ — ἐξελεύσεται. Εἰς πάντα τόπον τῆς οἰκουμένης, ὅπερ ἐπὶ τῶν ἀποςόλων γέγονε.

Verf. 9. Καὶ νομὴν εὑρήσει. Ου ψυχικὴν μόνον, ἀλλὰ καὶ σωματικήν. πάντα γὰρ τὰ τῶν πιςευόντων αὐτοῖς 1) προέκειτο.

Verf. 10. Ὁ κλέπτης — ἀπολέσῃ. Οὐκ ἔρχεται διὰ σωτηρίαν τῶν προβάτων, εἰ μὴ διὰ τὸ κλέψαι καὶ θύσαι καὶ ἀπολέσαι. καὶ γὰρ καὶ οἱ κλαπέντες ὑπὸ θευδᾶ καὶ ἰούδα, ἐσφάγησαν, καὶ ἀπώλοντο παραυτίκα.

[Ὁ 2) διάβολος κλέπτει μὲν, ὅτε λαμβάνει τὴν ψυχὴν, καὶ μεθιςᾷ πρὸς ἑαυτὸν, καὶ πρὸς

Mactat autem, quando interficit studium eius et mortificat respectu vitae, quae est secundum virtutem: Perdit vero, quando memoriam dei tollit, ne recordari possit iudicii futuri.

Vers. 10. *Ego — habeant.* Vitam: hic quidem, eam, quae secundum Deum est, qua abundantior est regnum coelorum: ibi vero beatam, quibus abundantiora sunt, quae oculus non vidit, et auris non audiuit, et in cor hominis non ascenderunt: aut etiam perfecta sanctae trinitatis cognitio.

Vers. 11. *Ego — bonus.* Verus. Superius namque Ostium appellauit seipsum, propter causam ibi dictam: hic autem Pastorem, tanquam ea, quae pastoris sunt praestantem, quae praetermittentes pastores Iudaeorum reprehenduntur per prophetam Iezeciel: de quibus paulo post dicemus: Praeterea etiam tanquam sermonibus artis pascendi, ad supernam congregans mansionem.

In aliis quoque locis Ouis vocatur, et Agnus, ac Victima et Pontifex, aliisque mille nominibus, iuxta varios dispensandi modos.

Vers. 11. *Pastor — ouibus.* Rursum ea ponit, quae tum pastorem, tum mercenarium designent.

Vers. 12. *Mercenarius — oues.* Interpretatur, quis dicatur Mercenarius, is videlicet, cuius non sunt oues propriae. Lupus vero anagogice is est, qui perdit, et qui de malo gloriatur, ac diabolus, qui etiam Leo dicitur, Draco, Serpens, Scorpius, Aspis ac Basiliscus, multisque aliis nominibus, iuxta illius varias malitiae versutias.

Vers. 13.

τὰ ἑαυτῦ θελήματα. θύει δὲ, ὅτε σφάζει τὴν προαίρεσιν αὐτῆς, καὶ νεκροῖ πρὸς τὴν ἐνάρετον ζωήν· ἀπόλλυσι δὲ, ὅτε καὶ τὴν κατὰ θεὸν μνήμην αὐτῆς ἀφανίζει, ὥςε μὴ δύνασθαι μνημονεύειν τῆς μελλέσης κρίσεως.]

Verſ. 10. Ἐγὼ — ἔχωσι. Ζωὴν ἐνταῦθα μὲν, τὴν κατὰ θεὸν, ἧς περισσότερον, ἡ βασιλεία τῶν οὐρανῶν· ἐκεῖ δὲ, τὴν μακαρίαν, ἧς περισσότερον, ἃ r) ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἢ καὶ ἡ τελεία ἐπίγνωσις τῆς ἁγίας τριάδος. r) 1 Cor. 2, 9.

Verſ. 11. Ἐγώ — καλός. Ὁ ἀληθής, ἄνω μὲν οὖν, θύραν ἑαυτὸν ὠνόμασε, διὰ τὴν ἐκεῖ ῥηθεῖσαν αἰτίαν· ἐνταῦθα δὲ ποιμένα, ὡς τὰ τῦ ποιμένος ποιοῦντα, ἃ παρατρέχοντες οἱ ποιμένες τῶν ἰουδαίων, ὀνειδίζονται διὰ τοῦ προφήτου ἰεζεκιὴλ, περὶ ὧν ἐρῦμεν οὐκ εἰς μακράν. ἔτι δὲ καὶ, ὡς πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγοντα, λόγοις ποιμαντικῆς ἐπιςήμης.

Ἐν ἄλλοις δὲ, καὶ πρόβατον καλεῖται, καὶ ἀμνὸς, καὶ σφάγιον, καὶ ἀρχιερεὺς, καὶ μυρία ἕτερα, πρὸς τὰς πολυτρόπους οἰκονομίας αὐτῦ.

Verſ. 11. Ὁ ποιμὴν — προβάτων. Πάλιν λέγει τὰ χαρακτηριςικὰ τοῦ τε ποιμένος καὶ τῦ μισθωτοῦ.

Verſ. 12. Ὁ μισθωτὸς — πρόβατα. Ἡρμήνευσε, τίς ἐςιν μισθωτὸς, ὅτι οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια. λύκος δὲ ἀναγωγικῶς, ὁ λυμεὼν καὶ κακόδοξος, καὶ ὁ διάβολος, ὅςις καὶ λέων λέγεται, καὶ δράκων, καὶ ὄφις, καὶ σκορπίος, καὶ ἀσπὶς, καὶ βασιλίσκος, καὶ πολλὰ ἕτερα πρὸς τὰς 3) κακομηχανίας αὐτῦ.

3) πρὸς τὰς ποικίλας μηχανὰς αὐτῦ. A.

Vers. 13. *Mercenarius vero — curat.* Nam vbique propriam quaerit salutem, aliorum negligens: qui autem vere pastor est, contrarium facit, propriam negligens, ouium quaerit salutem. Duos itaque posuit corruptores, seu vastatores: eum videlicet, qui venit, vt furetur et mactet, ac perdat: alterum vero, qui videt lupum venientem et deserit oues ac fugit. Per primum quidem Theudam ac Iudam insinuans: per secundum autem Iudaeorum magistros, eorum curam non habentes, qui sibi concrediti erant, imo gregem potius prodentes. Quod etiam illis exprobratur, vt dictum est, per prophetam Iezeciel dicentem, O pastores Israël, num pastores seipsos pascunt? nonne oues ipsas pascunt pastores?

Deinde opera quoque pastoris recenset, quae praetermittebant: quia neque errantem ouem reducebant, neque perditam requirebant, neque contritam alligabant, neque debilem curabant: quia seipsos, non oues pascebant.

De vtrisque ergo quae dixit, seipsum in exemplum constituit. De primis quidem in eo, quod se ait venisse, vt vitam habeant, et abundantius habeant: de secundis vero in eo, quod animam suam ponat pro ouibus. Siquidem ex hoc, quod animam suam ponat pro ouibus, confirmat etiam, quod venerit, vt vitam habeant, et abundantius habeant.

Dicit enim et Paulus, Si quum inimici essemus, reconciliati sumus Deo per mortem filii eius, multo magis reconciliati salui erimus. Et rursum, Qui proprio filio non pepercit, sed pro nobis tradidit

didit

4) Redde: *His sermonibus ergo ab vtrisque se separauit.* Nescio, quid loco διέστησε legerit interpres. Forte παρέστησε. Sed nec hoc constructio admittit.

Vers. 13. Ὁ δὲ μισθωτὸς — προβάτων. Πανταχοῦ γὰρ τὴν ἰδίαν σωτηρίαν ζητεῖ, τῶν ἄλλων ἀμελῶν· ὁ δὲ ἀληθὴς ποιμὴν τοὐναντίον ποιεῖ, τῆς ἑαυτοῦ ἀμελῶν, τὴν τῶν προβάτων ζητεῖ. δύο οὖν ἔθηκε λυμεῶνας, τὸν ἐρχόμενον, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ, καὶ τὸν θεωροῦντα τὸν λύκον ἐρχόμενον, καὶ ἀφιέντα τὰ πρόβατα καὶ φεύγοντα. διὰ μὲν τοῦ πρώτου τὸν Θευδᾶν καὶ Ἰούδαν αἰνιττόμενος· διὰ δὲ τοῦ δευτέρου τοὺς Ἰουδαίων διδασκάλους, ἀφροντιστοῦντας τῶν ἐμπεπιστευμένων, καὶ προδιδόντας τὸ ποίμνιον. ὅπερ καὶ διὰ τοῦ προφήτου Ἰεζεκιὴλ, ὡς εἴρηται, ὀνειδίζονται λέγοντος· ὦ οἱ [s]) ποιμένες Ἰσραὴλ, μὴ βόσκουσιν ἑαυτοὺς οἱ ποιμένες; οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; s) Ezech. 34. 2.

Εἶτα καταλέγει καὶ τὰ ἔργα τοῦ ποιμένος, ἃ παρέτρεχον, ὅτι οὔτε τὸ πεπλανημένον ἐπέστρεφον, οὔτε τὸ ἀπολωλὸς ἐξεζήτουν, οὔτε τὸ συντετριμμένον ἐδέσμουν, οὔτε τὸ ἀῤῥωστοῦν ἐθεράπευον, ἐπειδὴ ἑαυτοὺς, καὶ οὐ τὰ πρόβατα ἔβοσκον.

Ἐν οἷς οὖν εἶπεν, ἀμφοτέρων διέστησεν [t]) ἑαυτόν. τῶν πρώτων μὲν, ἐν τῷ ἐλθεῖν, ἵνα ζωὴν [5]) ἔχωσι, καὶ περισσὸν ἔχωσι· τῶν δευτέρων δὲ, ἐν τῷ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων. ἀπὸ γοῦν τοῦ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων ἐβεβαίωσε καὶ τὸ ἐλθεῖν, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι.

Φησὶ δὲ καὶ Παῦλος· εἰ [t]) ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα. καὶ πάλιν· ὅς γε [v]) τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ t) Rom. 5. 10. v) Rom. 8. 32.

5) αἰώνιον, addit. A.

didit illum, quomodo non cum illo omnia nobis donabit?

Verſ. 14. *Ego — bonus.* Et quomodo non dixerunt illi, quod et prius, Tu de teipſo teſtimonium perhibes? Quia tunc reſponſionem acceperant, quae ipſorum ora etiam deinceps obturaret.

Verſ. 14. *Et — meas.* Per praeſcientiam, tanquam Deus. Ait enim Moſes, Nouit dominus, qui ſint eius. Et Paulus, Non repulit dominus populum ſuum, quem praeſciuit.

Verſ. 14. *Et — meis.* Per veram cognitionem, tanquam ab intelligentibus. Nam eum cognouerunt a teſtimonio Iohannis, ab operibus ipſius, et a teſtimonio patris, de quibus ſeptimo capite praedictum eſt. Oſtendens autem cognitionem ſuam ab illorum cognitione longe differentem, ſuam aequauit cognitioni patris dicens.

Verſ. 15. *Sicut — patrem.* Cognitionem dicit eam, quae ſecundum naturam eſt, de qua etiam vigeſimo iuxta Matthaeum capite dixit, Nemo cognoſcit filium niſi pater, neque patrem quiſquam cognoſcit, niſi filius.

Verſ. 15. *Et — ouibus.* Animam meam pono, relinquo, morior pro ouibus, vtpote pro meis:

*) Ex Chryſoſt. Tom. VIII. p. 352. C. non ex Codd. N. Teſt. haec laudauit. Hic enim mos interpretum Graecorum, vt non ſolum ſuperiorum interpretum explicationes, ſed loca litterarum ſacrarum etiam ita, vt ſuperiores, repetant. Ergo multa ſimilia habet Origenes cum Clemente Alexandrino, multa Chryſoſtomus cum Origene, multa Cyrillus cum Origene et Chryſoſtomo. Id etiam manifeſtum

ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν [b]) χαριεῖται;

Verſ. 14. Ἐγώ — καλός. Καὶ πῶς οὐκ εἶπον αὐτῷ, ὃ καὶ πρότερον, ὅτι σὺ [x]) περὶ σεαυτοῦ μαρτυρεῖς; διότι τότε τὴν ἀπόκρισιν ἔλαβον ἐπιστομίζουσαν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς. x) Io. 8, 13.

Verſ. 14. Καὶ — ἐμά. Κατὰ πρόγνωσιν, ὡς Θεός. Φησὶ γὰρ μωϋσῆς· ἔγνω [y]) κύριος τοὺς ὄντας αὐτοῦ. καὶ ὁ παῦλος· οὐκ [z]) ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. y) Num. 16, 5. coll. 2 Tim. 2. 19. z) Rom. 11, 2.

Verſ. 14. Καὶ — ἐμῶν. Κατ' ἐπίγνωσιν, ὡς συνετῶν. ἐπέγνωσαν γὰρ αὐτὸν, ἀπό τε τῆς μαρτυρίας ἰωάννου, καὶ τῶν ἔργων αὐτοῦ, καὶ τῆς τοῦ πατρὸς μαρτυρίας, περὶ ὧν ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ προείρηται. δεικνύων δὲ τὴν ἑαυτοῦ γνῶσιν διαφορωτέραν πολλῷ τῆς ἐκείνων, ἰσωσεν αὐτὴν τῇ τοῦ πατρὸς λέγων.

Verſ. 15. Καθὼς — πατέρα. Γνῶσιν λέγει, τὴν κατὰ φύσιν, περὶ ἧς καὶ ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον εἶπεν· οὐδεὶς [a]) ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός. a) Matt. 11, 27.

Verſ. 15. Καὶ — προβάτων. Τὴν ψυχήν μου τίθημι, ἀφίημι, ἀποθνήσκω ὑπὲρ τῶν προβάτων, ὡς ὄντων ἰδίων μου· ὁ δὲ πλάνος οὐκ

 ἂν

feſtum ſit ex Codicibus N. Teſtamenti, qui catenas, commentarios, et ſcholia habent. In huiusmodi locis ſtandum eſt Critico prudenti et ſedulo Codicibus N. Teſtamenti. Qui enim Patres propter opiniones ſuas dogmaticas contra Codices N. Teſt. probant, ii ſine vllo dubio et fidem Criticam et fidem Chriſtianam prodiderunt. Perfidum vero etiam et abſurdum eſt, vni eiusmodi teſtimonio plurium vim tribuere.

meis: seductor vero nequaquam mori eligit pro his, qui a se seducuntur.

Vers. 16. *Et — hoc.* Ouili Mosaicae legis: dicit autem de Gentibus.

Vers. 16. *Illas quoque oportet me adducere.* Congregare sub meam pascendi doctrinam.

Vers. 16. *Et — audient.* Obedient, parebunt.

Vers. 16. *Et — grex.* Ex Iudaeis et Gentibus congregatus.

Vers. 16. *Vnus pastor.* Horum et illorum, Christus.

Vers. 17. *Propterea — meam.* Quia morior pro ouibus meis, quae etiam ipsius sunt: quia hominum amator sum, sicut et ipse. Dispensatorius itaque sermo est, qui nihilominus amborum demonstrat aequalitatem.

Quid ergo, prius non diligebatur? vtique omnino, quia filius et dilectus, faciensque patris voluntatem. Nam de eo dixit pater, Hic est filius meus dilectus, in quo mihi complacitum est: sed hoc tanquam notum praetermisit: nam variis in locis de hoc docuit: tum alibi, tum etiam vbi dixit, Pater diligit filium. Nunc vero de ea dilectionis causa loquitur, quod pro hominibus moriatur.

Vers. 17. *Vt iterum sumam eam.* In hoc quoque loco Vt, non est causalis, sed declaratiua eius, quod omnino futurum est. Neque enim propter hoc ponit, vt iterum sumat illam, sed ponit quidem pro mundo, sumit autem, vt se Deum manifestet.

Vers. 18.

ἂν ἐκόντι ἀποθανεῖν ὑπὲρ τῶν πλανωμένων παρ' αὐτοῦ.

Vers. 16. Καὶ — ταύτης. Τῆς τῦ μωσαϊκοῦ νόμου. λέγει δὲ περὶ τῶν ἐξ ἐθνῶν.

Vers. 16. Κἀκεῖνά με δεῖ ἀγαγεῖν. Συναγαγεῖν ὑπὸ τὴν ἐμὴν ποιμαντικήν.

Vers. 16. Καὶ — ἀκέσουσιν. Ὑπακούσουσι, πεισθήσονται.

Vers. 16. Καὶ — ποίμνη. Ἔκ τε τῶν ἰουδαίων καὶ τῶν ἐθνῶν συναφθεῖσα.

Vers. 16. Εἷς ποιμήν. Τούτων τε κἀκείνων, ὁ χριστός.

Vers. 17. Διὰ τοῦτο — με. Ὅτι ἀποθνήσκω ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν, εἴτουν, τῶν αὐτοῦ· ὅτι εἰμὶ φιλάνθρωπος, ὡς αὐτός. οἰκονομικὸς μὲν οὖν ὁ λόγος· ἐμφαίνει δὲ ὅμως τὸ ἴσον ἀμφοῖν.

Τί οὖν; πρότερον οὐκ ἠγαπᾶτο; πάνυ μὲν οὖν. ἐπεὶ καὶ υἱὸς, καὶ ἀγαπητὸς, καὶ ποιῶν τὸ θέλημα τῦ πατρός. περὶ αὐτῦ γὰρ εἶπεν ὁ πατήρ· οὗτός [b]) ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἀλλὰ τοῦτο μὲν, ὡς γνώριμον παρῆκε. διαφόρως γὰρ περὶ τούτου ἐδίδαξεν ἐν ἄλλοις τε καὶ ἐν οἷς ἔλεγεν· ὅτι ὁ [c]) πατὴρ φιλεῖ τὸν υἱόν· περὶ δὲ τῆς, διὰ τὸν ὑπὲρ τῶν ἀνθρώπων θάνατον, ἀγάπης, φησὶ νῦν.

b) Matth. 3, 17.
c) Io. 5, 20.

Vers. 17. Ἵνα πάλιν λάβω αὐτήν. Κἀνταῦθα τὸ ἵνα, οὐκ ἔστιν αἰτιολογικὸν, ἀλλὰ δηλωτικὸν τῦ πάντως ἐσομένου. ὐ γὰρ διὰ τοῦτο τίθησιν, ἵνα πάλιν λάβῃ αὐτήν· ἀλλὰ τίθησι μὲν ὑπὲρ τῦ κόσμου, λαμβάνει δὲ αὐτὴν ὑπὲρ τῦ φανῆναι, ὅτι θεός ἐστιν.

Vers. 18.

Verſ. 18. *Nemo — me.* Inuito, hoc eſt, nemo me morti tradit nolentem.

Verſ. 18. *Sed — meipſo.* Vltroneus, tanquam hominum amator. Sermoni autem immoratur, ſignificans mortem ſuam, quae per crucem futura eſt et reſurrectionem ex mortuis.

Verſ. 18. *Poteſtatem — meam.* Poteſtatem habeo tanquam Deus omnipotens, omnemque habens virtutem. Vane igitur ac fruſtra laborant inſidiatores, me nolente: quanquam poſtmodum dementes exprobrando dicebant, Alios ſaluos fecit, ſeipſum non poteſt ſaluum facere.

Verſ. 18. *Hoc — meo.* Vt ponam animam pro ouibus, vt moriar pro mundo. Nam propterea illum occiderunt, quod homines docebat, et illos e tenebris educebat ad lucem, a peccato ad virtutem, a morte ad vitam.

Quum ergo ſuperius dixiſſet, Propterea diligit me pater, quia pono animam meam: voluntatem, quam ad mortem habebat ſignificauit: hic vero dicens, Hoc praeceptum accepi a patre meo: oſtendit patris condemnationem, vt ipſe moreretur. Si autem praecepto opus fuit, quomodo dicebat, Ego pono illam a meipſo? Et poteſtatem habeo ponendi eam? et ante iſta, Ego ſum paſtor bonus? nam talis praecepto non indiget. Nihil ergo aliud oſtendit patris praeceptum, quam ſolam conformitatem ad patrem: huiusmodi ſiquidem diſpenſatoria ſunt, propter auditorum imbecillitatem, veluti frequenter diximus.

Verſ. 19. *Diſſenſio — v. 20. auditis?* Daemoniacum ac inſanum eum dicebant, quaſi maiora homine loquentem, quum hinc potius cognoſcere oportuiſſet, quod Deus eſſet.

Verſ. 21.

Verſ. 18. Οὐδεὶς — ἐμῦ. Ἄκοντος, ἤγουν, ἐδεὶς με θανατοῖ, μὴ βελόμενον.

Verſ. 18. Ἀλλ' — ἐμοῦ. Ἑκουσίως, ὡς φιλάνθρωπος. ἐνδιατρίβει δὲ τῷ λόγῳ, δηλῶν τὸν διὰ ςαυροῦ θάνατον αὐτῦ, καὶ τὴν ἐκ νεκρῶν ἀνάςασιν.

Verſ. 18. Ἐξεσίαν — αὐτήν. Ἐξεσίαν ἔχω, ὡς θεὸς παντεξέσιος καὶ παντοδύναμος. λοιπὸν ἐῦν μάταιος ὁ πόνος τοῖς ἐπιβελεύουσιν, ἐμοῦ μὴ θέλοντος, εἰ καὶ ὕςερον οἱ ἀσύνετοι ὀνειδίζοντες ἔλεγον· ἄλλες[d]) ἔσωσεν, ἑαυτὸν ἐ δύναται σῶσαι. d) Matt. 27, 42.

Verſ. 18. Ταύτην — με. Τὸ θεῖναι τὴν ψυχήν μου ὑπὲρ τῶν προβάτων, τὸ ἀποθανεῖν ὑπὲρ τῦ κόσμου. διὰ τοῦτο γὰρ ἀνεῖλον αὐτὸν, διότι ἐδίδασκε τοὺς ἀνθρώπους, καὶ ἐξῆγεν αὐτοὺς ἀπὸ σκότους εἰς φῶς, ἀπὸ ἁμαρτίας εἰς ἀρετὴν, ἀπὸ θανάτου εἰς ζωήν.

Ἀνωτέρω μὲν οὖν εἰπών· διὰ[e]) τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου· τὸ ἑκέσιον τῦ θανάτου δεδήλωκεν· ἐνταῦθα δὲ εἰρηκώς· ὅτι ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου, τὸ κατὰ γνώμην τοῦ πατρὸς ἀποθνήσκειν ἐσήμανεν. εἰ γὰρ ἐντολῆς ἐδεῖτο, πῶς ἔλεγεν; ὅτι[f]) ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτῦ· καὶ, ὅτι ἐξεσίαν ἔχω θεῖναι αὐτήν· καὶ πρὸ τέτων· ὅτι[g]) ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ τοιῦτος γὰρ ἐντολῆς ἐ δεῖται. ἐδὲν ἓν ἕτερον ἡ ἐντολὴ τῦ πατρὸς δείκνυσιν, ἢ μόνον τὴν πρὸς τὸν πατέρα ὁμόνοιαν. οἰκονομικὰ δὲ τὰ τοιαῦτα, διὰ τὴν τῶν ἀκεόντων ἀσθένειαν, ὡς πολλάκις εἰρήκαμεν.

e) Io. 10, 17.
f) Io. 10, 17. 18.
g) Io. 10, 11.

Verſ. 19. Σχίσμα — v. 20. ἀκούετε; Δαιμονῶντα καὶ μαινόμενον αὐτὸν ἔλεγον, ὡς μείζονα ἢ κατὰ ἄνθρωπον φθεγγόμενον, δέον ἐντεῦθεν μᾶλλον γνῶναι, ὅτι θεός ἐςιν.

Verſ. 21.

Verſ. 21. *Alii — aperire?* Haec arguebant non eſſe daemoniaci, a ſupernaturali miraculorum operatione. Chriſtus vero non coarguit eos, qui ſibi contumeliam inferebant: nam ſuperius abunde illis reſpondit, quando dixerunt, Nonne bene dicimus nos, quod Samaritanus es tu, et daemonium habes?

Praeterea contumelioſos huiusmodi ſermones non ex directo in illum effundebant, ſed inter ſe tali modo nugabantur. Tacens itaque docuit nos, ne ad iniurias conuertamur, quae non directe in nos effunduntur: non ſolum enim motus non eſt ad huiusmodi ſermones, ſed neque malorum aduerſus eos meminit, ſicut ex ſequentibus manifeſtum eſt.

Alio item modo: Tacuit videns illos, qui ab his diffidebant pro ſe reſpondentes: et quia hi ne ſermone quidem erant digni, qui tanto viſo miraculo ita calumniabantur.

Verſ. 22. *Facta ſunt — Ieroſolymis.* Dedicatoria templi: ſiquidem quotannis ſolenniter diem illum colebant, quo iterum ſub Zorobbabel aedificatum, poſt reditum ex captiuitate perfectum eſt.

Verſ. 22. *Et hyems erat.* Non ſolum ob aëris intemperiem, ſed etiam ob infidelitatem. Tempus autem innuit propter dedicationem primae aedificationis templi: nam illa circiter autumnum celebrabatur.

Verſ. 23. *Et — Solomonis.* Nam et ipſe feſto aderat.

Verſ. 24. *Circumdederunt — Iudaei.* Sperantes, ab eius ſermonibus aliquam ſe accepturos comprehendendi occaſionem, ſiquidem, quum de

Vers. 21. Ἄλλοι — ἀνοίγειν; Συνελογίσαντο, ταῦτα μὴ εἶναι δαιμονιζομένου, ἀπὸ τῆς ὑπερφυοῦς θαυματουργίας. ὁ δὲ χριστὸς νῦν οὐκ ἐλέγχει τοὺς ὑβρίζοντας αὐτόν, προλαβὼν γὰρ ἱκανῶς ἀπελογήσατο πρὸς αὐτούς, ὅτε εἶπον· οὐ h) καλῶς ἐλέγομεν ἡμεῖς, ὅτι σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; h) Io. 8, 48.

Ἄλλως τε καὶ, οὐκ ἐξ ὀρθοῦ πρὸς αὐτὸν ἐκένωσαν τοὺς τοιούτους ὑβριστικοὺς λόγους, ἀλλὰ καθ' ἑαυτοὺς ἐφλυάρουν οὕτω. διὸ καὶ σιγήσας ἐπαίδευσεν ἡμᾶς, μὴ ἐπιστρέφεσθαι τῶν μὴ ἐξ ὀρθοῦ πρὸς ἡμᾶς χεομένων ὕβρεων. οὐ μόνον γὰρ οὐκ ἐπεστράφη τῶν τοιούτων λόγων, ἀλλ' οὐδ' ἐμνησικάκησεν αὐτοῖς, ὡς ἀπὸ τῶν ἐφεξῆς δῆλον.

Καὶ καθ' ἕτερον δὲ τρόπον ἐσίγησεν, ὁρῶν τοὺς σχισθέντας ἀπ' αὐτῶν ὑπεραπολογουμένους αὐτοῦ, καὶ ὅτι οὐδὲ λόγου ἦσαν ἐκεῖνοι ἄξιοι, μετὰ τηλικοῦτον θαῦμα οὕτως ὑβρίζοντες.

Vers. 22. Ἐγένετο — ἱεροσολύμοις. Τὰ τοῦ ναοῦ. ἑώρταζον γὰρ λαμπρῶς ἀνὰ πᾶν ἔτος τὴν ἡμέραν, καθ' ἣν τὸ δεύτερον ὑπὸ ζοροβάβελ οἰκοδομηθεὶς ἀπηρτίσθη, μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον.

Vers. 22. Καὶ χειμὼν ἦν. Οὐ μόνον ἐξ ἀέρος, ἀλλὰ καὶ ἐξ ἀπιστίας. παρεσημειώσατο δὲ τὸν καιρόν, διὰ τὰ ἐγκαίνια τῆς πρώτης οἰκοδομῆς τοῦ ναοῦ. ἐκεῖνα γὰρ κατὰ τὸ μετόπωρον ἑωρτάζοντο.

Vers. 23. Καὶ — σολομῶνος. Παρῆν γὰρ τῇ ἑορτῇ καὶ αὐτός.

Vers. 24. Ἐκύκλωσαν — ἰουδαῖοι. Προσδοκῶντες, ἀπὸ τῶν λόγων αὐτοῦ δράξασθαί τινος ἀφορμῆς εἰς ἐπίθεσιν. τοῖς ἔργοις γὰρ αὐτοῦ μηδὲν ἐγκα-

de operibus nihil eum possent arguere, a verbis praetextum aliquem inuenire cupiebant, neque enim ipsi a malitia cessabant, neque ipse a clementia quiescebat.

Vers. 24. *Et dixerunt ei.* Fraudulenter et dolose.

Vers. 24. *Quousque — suspendis?* Suspensam ac dubiam tenes inter fidem et infidelitatem.

Vers. 24. *Si — libere.* Manifeste, verbis non obtectis. Atqui plane sciebant, quod hoc dixisset: ideo etiam in superioribus decretum fecerant, vt, si quis confiteretur eum esse Christum, extra synagogam eiiceretur, sed nunc sinistra mente hoc interrogant, audire volentes, quomodo hoc diceret, vt disputatione ita procedente, magni quippiam rursum de seipso loqueretur, et occasionem, vt dictum est, illum comprehendendi acciperent. Ipse vero huiusmodi cognita vafritie, neque nunc hos tentantes arguit: docens, non ad omnia coarguendos esse tentatores: sed multa patienter esse ferenda.

Neque dixit, Quomodo me, tanquam fide dignum interrogatis, cuius testimonium repulistis dicentes, Tu de teipso testimonium perhibes, testimonium tuum non est verum: quem legis transgressorem appellastis, Deo contrarium ac seductorem: peccatorem, Samaritanum, daemoniacum ac insanum, talibusque multis nominibus: quem lapidibus appetitis et persequimini, ac occidere festinatis. Verum nihil dixit huiusmodi, nec malorum meminit, docens iniuriarum obliuionem

erga

ἐγκαλεῖν δυνάμενοι, ἐπεθύμουν ἀπὸ τῶν ῥημάτων εὑρεῖν τινὰ πρόφασιν. οὔτε γὰρ αὐτοὶ τῆς κακίας ἔληγον, οὔτ' αὐτὸς τῆς ἀνεξικακίας.

Verſ. 24. Καὶ ἔλεγον αὐτῷ. Ὑπούλως καὶ δολερῶς.

Verſ. 24. Ἕως — αἴρεις; Αἰωρεῖς, ἀναρτᾷς, μεταξὺ[7]) πίστεως καὶ ἀπιστίας.

Verſ. 24. Εἰ — παῤῥησίᾳ. Φανερῶς, ἀπαρακαλύπτως. καίτοι σαφῶς ἐγίνωσκον, ὅτι τοῦτο λέγει. διὸ καὶ προλαβόντες συνεφώνησαν, ἵνα[i]) ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστὸν, ἀποσυνάγωγος γένηται. ἀλλὰ νῦν σκαιᾷ γνώμῃ τοῦτο ἐρωτῶσι, βουλόμενοι προσερωτῆσαι, πόθεν τοῦτο λέγει, ἵνα προβαινούσης οὕτω τῆς συζητήσεως, φθέγξηταί τι μέγα πάλιν περὶ ἑαυτοῦ, καὶ λάβωσιν ἀφορμὴν, ὡς εἴρηται· αὐτὸς δὲ, γινώσκων τὴν τοιαύτην μηχανὴν, οὐδὲ νῦν ἐλέγχει τούτους πειράζοντας, παιδεύων, μὴ πάντα τοὺς ἐπιβουλεύοντας ἐλέγχειν, ἀλλὰ μακροθύμως φέρειν τὰ πολλά.

i) Io. 9. 22.

Καὶ οὐκ εἶπε, πῶς[8]) ὡς ἀξιόπιστον ἐρωτᾶτε, οὗ τὴν μαρτυρίαν ἀπεδοκιμάσατε, λέγοντες· σὺ[k]) περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· ὃν ἐκαλέσατε παράνομον καὶ ἀντίθεον καὶ πλάνον καὶ ἁμαρτωλὸν, καὶ σαμαρείτην, καὶ δαιμονῶντα, καὶ μαινόμενον, καὶ πολλὰ τοιαῦτα, ὃν λιθάζετε καὶ διώκετε καὶ ἀνελεῖν ἐπείγεσθε; ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν, οὐδ' ἐμνησικάκησε, διδάσκων, ἀμνησίαν τῶν φθασάντων

k) Io. 8, 13.

7) μετὰ πίστεως. B.
8) ὡς, abeſt. A. ibidem mox οὐ, pro οὗ.

erga eos, qui condemnare properarent, sed mansuetissime ad interrogationem respondet.

Tu vero mihi considera peruersam ac contentiosam Judaeorum mentem. Siquidem quando concionatur ac sermonibus docet, dicunt, Quod signum ostendis nobis? quando vero miraculum operatur, ac demonstrationes operibus exhibet, dicunt, Si tu es Christus, dic nobis libere. Quum sermones docent, opera requirunt: operibus clamantibus, sermones petunt: ad contrarium semper maligne transmutati. Quia ergo dementiae erat, operibus eum praedicantibus, a sermonibus quaerere testimonium, vide quo pacto respondeat, simul quidem manifestans, quod non discendi causa interrogarent, simul etiam significans, opera sua amplius ac vehementius clamare quam verba.

Verſ. 25. *Respondit — creditis.* Dixi vobis de quo interrogatis, non verbis solum, verum etiam operibus: sed non creditis: vane ergo et curiose interrogatis.

Verſ. 25. *Opera — v. 26. de me.* Testificantur, quod ego sim. Rursus autem addit, Nomine patris mei: ne Deo contrarius videatur.

Nomen vero hoc in loco quidam dixerunt diuinitatem: quidam autem fortitudinem: alii vero potentiam. Nominatur enim et Deus, et Fortis et Potens, aliisque modis similibus. Si quid autem patris est, idem est et filii. Quia ergo a solo verbo se credituros esse simulabant, leniter ostendit, quod dolose agerent, ac si diceret: Si operibus non creditis, quomodo verbis credetis?

Verſ. 26. *Quia non — meis.* Ego siquidem vniuersa, quae boni pastoris sunt, praestiti:

των καταψηφίζεσθαι· πραότατα δὲ πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται.

Σὺ δέ μοι σκόπει τὸ διεστραμμένον καὶ φιλόνεικον τῶν Ἰουδαίων. ὅταν μὲν γὰρ δημηγορῇ καὶ διὰ λόγων διδάσκῃ, λέγουσι, τί σημεῖον[l]) δεικνύεις ἡμῖν; ὅταν δὲ θαυματουργῇ, καὶ διὰ τῶν ἔργων παρέχῃ τὰς ἀποδείξεις, λέγουσιν· εἰ σὺ εἶ ὁ χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. τῶν λόγων διδασκόντων, ἔργα ζητοῦσι· τῶν ἔργων βοώντων, λόγους αἰτοῦσι, πρὸς τὸ ἐναντίον ἀεὶ κακοήθως μεθιστάμενοι. ἐπεὶ οὖν ἀνοίας ἦν, τῶν ἔργων ἀνακηρυττόντων αὐτὸν, ζητεῖν τὴν ἀπὸ τῶν λόγων μαρτυρίαν· ὅρα, πῶς ἀποκρίνεται; ὁμοῦ μὲν ἐμφαίνων, ὅτι οὐχ ἕνεκα τοῦ μαθεῖν ἐρωτῶσιν· οὐ γὰρ πιστεύουσιν· ὁμοῦ δὲ δηλῶν, ὅτι τὰ ἔργα αὐτοῦ μεῖζον τῶν λόγων κεκράγασιν. l) Io. 2, 18.

Verſ. 25. Ἀπεκρίθη — πιστεύετε. Εἶπον ὑμῖν, περὶ οὗ ἐρωτᾶτε, οὐ μόνον διὰ λόγων, ἀλλὰ καὶ δι' ἔργων, ἀλλ' οὐ πιστεύετε. μάτην οὖν ἐρωτᾶτε, καὶ περιέργως.

Verſ. 25. Τὰ ἔργα — v. 26. πιστεύετε.[9]) Μαρτυρεῖ, ὅτι ἐγώ εἰμι. πάλιν δὲ, τὸ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ἵνα μὴ δόξῃ ἀντίθεος.

Ὄνομα δὲ νῦν, τινὲς μὲν, τὴν θεότητα εἶπον, τινὲς δὲ, τὴν ἰσχὺν, ἄλλοι δὲ, τὴν ἐξουσίαν. ὀνομάζεται γὰρ, καὶ θεὸς, καὶ ἰσχυρὸς, καὶ ἐξουσιαστὴς, καὶ τὰ τοιαῦτα. εἴ τι δὲ τοῦ πατρὸς, τοῦτο καὶ τοῦ υἱοῦ. ἐπεὶ οὖν προσεποιοῦντο πεισθῆναι ἀπὸ ψιλοῦ ῥήματος, δείκνυσιν ὁμαλῶς, ὅτι κακουργοῦσιν, ὡσανεὶ λέγων· εἰ τοῖς ἔργοις οὐ πιστεύετε, πῶς τοῖς λόγοις πιστεύσετε;

Verſ. 26. Οὐ γὰρ — ἐμῶν. Ἐγὼ μὲν γὰρ, ὡς ποιμὴν καλὸς, πάντα τὰ τοῦ καλοῦ ποι-

9) Hentenius omiſit: ἀλλ' ὑμεῖς οὐ πιστεύετε.

stiti; vos autem a cognatione ouium mearum vosipsos separastis.

Vers. 26. *Sicut* — v. 27. *me.* De his superius dictum est.

Vers. 28. *Et ego* — *aeternum.* Et de hac vita frequenter dictum est et data interpretatio.

Vers. 28. *Nec* — *mea.* Quisquam ex his, qui illis insidiantur. Manum vero dicit virtutem ac potestatem suam. Hoc autem dixit, quia statuerant Iudaei, vt, si quis consiteretur eum esse Christum, extra synagogam eiiceretur: confirmat enim, quod frustra laborent.

† † Rapere quidem ex inuicta dextra eum, qui non vult, nemo hostis potest: potest tamen deceptum, et eum, qui se ipsum prodit in errorem ducere. Hoc autem, non per inuictam dextram, sed per voluntariam leuitatem eius, qui recedit.

Vers. 29. *Pater* — *est.* Maior omnibus insidiatoribus, vt dictum est. Rursus ergo, quod ait, Dedit mihi, dispensatorium est.

Vers. 29. *Et* — *mei.* Ne autem, tanquam impotens, videatur, auxilium a patre poscere, subintulit:

Vers. 30. *Ego* — *sumus.* Vnum potentia, siue eiusdem potentiae: quod si vnum potentia, vnum sane et diuinitate et essentia, et natura. Dicens itaque, Ego et pater, dualitatem significauit personarum, diuersitatem hypostaseon: subdens autem, Vnum sumus, diuinitatis vnitatem, identitatem essentiae, naturae et potentiae.

Vers. 31.

[1]) Haec in margine habent Codd. A. B. Hentenius non habet.

[2]) ὑπὸ τοῦ. A. [3]) οὖν, abest. A.

-νούμενος ἐνεδειξάμην· ὑμεῖς δὲ, ἀπερρήξατε ἑαυτοὺς τῆς τῶν προβάτων συγγενείας.

Vers. 26. Καθὼς — v. 27. μοι. Εἴρηται περὶ τούτων ἀνωτέρω.

Vers. 28. Κἀγὼ — αἰῶνα. Καὶ περὶ τῆς ζωῆς ταύτης πολλάκις εἴρηται καὶ ἡρμήνευται.

Vers. 28. Καὶ οὐχ — μου. Τὶς, τῶν ἐπιβουλευόντων αὐτοῖς. χεῖρα δὲ λέγει, τὴν δύναμιν καὶ ἐξουσίαν αὐτοῦ· τοῦτο δὲ εἶπε, διότι συνεφώνησαν Ἰουδαῖοι, ἵνα[m]) ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστὸν, ἀποσυνάγωγος γένηται. βεβαιοῖ γὰρ, ὅτι εἰς κενὸν σπουδάζουσιν. m) Io. 9. 22.

[Ἁρπάσαι[1]) μὲν, ἐκ τῆς ἀηττήτου δεξιᾶς, τὸν μὴ βουλόμενον, οὐδεὶς ἐχθρὸς δύναται· ἀποπλανῆσαι δὲ τὸν ἀπατώμενον καὶ προδιδόντα ἑαυτὸν δύναται. καὶ τοῦτο, οὐ παρὰ τὴν ἄμαχον δεξιὰν, ἀλλὰ παρὰ τὴν αὐτεξούσιον εὐχέρειαν τοῦ ἑκουσίως ἀποφοιτήσαντος.]

Vers. 29. Ὁ πατήρ — ἐστί. Μείζων πάντων, τῶν ἐπιβουλευόντων, ὡς εἴρηται. πάλιν οὖν, τὸ δέδωκέ μοι, οἰκονομικόν.

Vers. 29. Καὶ — μου. Ἵνα δὲ μὴ δόξῃ ὡς ἀσθενὴς, βοηθεῖσθαι παρὰ[2]) τοῦ πατρὸς, ἐπήγαγεν·

Vers. 30. Ἐγὼ — ἐσμέν. Ἓν, κατὰ τὴν δύναμιν, ἤγουν, ταυτοδύναμοι. εἰ δὲ ἓν κατὰ τὴν δύναμιν, ἓν ἄρα καὶ κατὰ τὴν θεότητα καὶ οὐσίαν καὶ φύσιν. διὰ μὲν οὖν[3]) τοῦ εἰπεῖν· ἐγὼ καὶ ὁ πατὴρ, τὴν δυάδα ἐδήλωσε τῶν προσώπων, τὸ διάφορον τῶν ὑποστάσεων· διὰ δὲ τοῦ, ἕν ἐσμεν, τὴν μονάδα τῆς θεότητος, τὸ ταυτὸν τῆς οὐσίας καὶ φύσεως καὶ δυνάμεως.

Verſ. 31. *Suſtulerunt — eum.* Quia natura filium Dei ſe dicebat: nam hoc ſignificat, Vnum ſumus.

Vide ergo, quomodo conuicti ſint, quod non diſcendi cauſa interrogarent, ſed occaſionis alicuius arripiendae, qua eum comprehenderent, vt diximus.

Et quare dedit eis occaſionem? Quia volebat eos a ſeipſis conuinci, quod tentarent, malumque machinarentur. Praeterea non oportuit omnia diſpenſatorie loqui, ſed etiam denudare in parte veritatem.

Verſ. 32. *Reſpondit — meo.* Quae me patri aequalem oſtendunt.

Verſ. 32. *Propter — me?* Propter quod opus, quod me non oſtendat patri eſſe aequalem. Opera ergo me patri aequalem eſſe praedicant, et ego taceo.

Verſ. 33. *Reſponderunt — Deum.* Interim ergo bona eſſe eius opera fatebantur: quod ſi bona ſunt eius opera, haec eadem teſtantur, quod non blaſphemet, dicens ſeſe Deum eſſe: ſunt enim Dei opera et non puri hominis.

Verſ. 34. *Reſpondit — eſtis?* Hoc in loco legem appellat, librum Pſalmorum: nam id in illo ſcriptum eſt. Lex autem dicitur liber iſte, quia ea, quae in eo habentur oracula, ſunt a Deo afflata, et quia homines inſtruunt et corrigunt.

Verſ. 35. *Si — v. 36. ſum?* Solui, hoc eſt, excidere, reiici. Sanctificauit autem, hoc eſt ſeparauit, elegit. Quod autem dicit idem eſt, ac ſi diceret: Si Deus illos dixit Deos, quum homines

Verf. 31. Ἐβάστασαν — αὐτόν. Διότι υἱὸν τοῦ θεοῦ φύσει εἶπεν ἑαυτόν. τοῦτο γὰρ ἐμφαίνει τὸ, ἕν ἐσμεν.

Ὅρα δὲ, πῶς ἠλέγχθησαν, οὐχ ὑπὲρ τοῦ μαθεῖν ἐρωτῶντες, ἀλλ᾽ ὑπὲρ τοῦ δράξασθαί τινος ἀφορμῆς εἰς ἐπίθεσιν, ὡς προέφημεν.

Καὶ διατί δέδωκεν αὐτοῖς ἀφορμήν; διότι ἐβούλετο νῦν αὐτοὺς ὑφ᾽ ἑαυτῶν ἐλεγχθῆναι πειράζοντας καὶ κακουργοῦντας. ἄλλως τε δὲ, οὐκ ἔδει πάντα οἰκονομικῶς λέγειν, ἀλλὰ καὶ γυμνοῦν ἐν μέρει τὴν ἀλήθειαν.

Verf. 32. Ἀπεκρίθη — μου. Δεικνύοντά με ἴσον τῷ πατρί.

Verf. 32. Διὰ — με; Διὰ ποῖον ἔργον, μὴ δεικνύον με ἴσον τῷ πατρί; τὰ ἔργα οὖν, ἴσον με τῷ πατρὶ κηρύττουσι, κἂν ἐγὼ[4]) σιωπήσω.

Verf. 33. Ἀπεκρίθησαν — θεόν. Διὰ καλὸν ἔργον οὐ λιθάζομέν σε, ἀλλὰ διὰ βλασφημίαν. πῶς οὖν ὡμολόγησαν καλὰ τὰ ἔργα αὐτοῦ· εἰ δὲ καλὰ τὰ ἔργα αὐτοῦ, αὐτὰ ταῦτα μαρτυροῦσιν, ὅτι οὐ βλασφημεῖ, λέγων ἑαυτὸν θεόν. ἔργα γάρ εἰσι θεοῦ, καὶ οὐκ ἀνθρώπου ψιλοῦ.

Verf. 34. Ἀπεκρίθη — ἐστέ; Νόμον ἐπὶ τοῦ παρόντος, τὴν βίβλον τῶν ψαλμῶν φησίν· ἐν ἐκείνῃ γὰρ τοῦτο γέγραπται· ἐπεὶ καὶ αὕτη νόμος, διά τε τὰ ἐν αὐτῇ θεόπνευστα λόγια, καὶ διὰ τὸ παιδαγωγεῖν καὶ ῥυθμίζειν τοὺς ἀνθρώπους.

Verf. 35. Εἰ — v. 36. εἰμι; Λυθῆναι, ἀντὶ τοῦ, πεσεῖν, ἀθετηθῆναι. ἡγίασε δὲ, ἀντὶ τοῦ, ἀφώρισεν, ἐξελέξατο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ἐκείνους εἶπε θεοὺς ὁ θεὸς, ἀνθρώπους ὄντας,

4) ἐγὼ σιγήσω. A.

nes essent, de me dicitis, Blasphemas, quia dixi, Filius Dei sum? de me, inquam, quem pater separauit, elegit ac misit in mundum.

Humilius autem ista loquitur. Primum namque deprimit et concedere videtur sermonem, ac humiliora loquitur, quo furorem illorum consoletur ac mitiget: deinde subdit etiam sublimiora.

Vers. 37. *Si* — v. 38. *credite?* Ab operum aequalitate, aequalitatem ac identitatem cum patre ostendit.

Vers. 38. *Vt* — *eo.* In me pater conspicitur: nihil enim aliud sum ego, quam quod pater est, permanens tamen filius: et nihil aliud pater est, quam quod filius, permanens tamen pater. Qui ergo filium nouit, et patrem nouit: et qui patrem cognouit, filium cognouit.

Vel aliter: Filius est in patre, tanquam imaginis pulchritudo in archetypo: pater vero in filio, tanquam exemplaris pulchritudo in imagine: imaginem autem patris dicimus filium, non qualemcunque sed per omnia similem.

Vers. 39. *Quaerebant* — v. 40. *ibi.* Vbi magnum aliquod signum fecisset, fugiebat propter populi plausum ac laudem. Vbi etiam magnum quippiam de seipso loquutus esset, secedebat propter rabiem inuidorum: illi concedens, vt per suam absentiam cessaret ac quiesceret. Abiit autem in locum, vbi Iohannes baptizabat, vt praesentium memoriae suggereretur signum, quod factum fuerat, quum baptizaretur, ac Iohannis testimonium, quo de eo testificatus fuerat, et ita crederent, quod sane etiam factum est. Vide enim.

Vers. 41.

ὄντας, ἐμὲ ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, διότι εἶπον υἱὸς τοῦ θεοῦ εἰμι, ἐμὲ, ὃν ὁ πατὴρ ἀφώρισεν, ἐξελέξατο καὶ ἀπέστειλεν εἰς τὸν κόσμον;

Συγκαταβατικῶς δὲ ταῦτά φησι. πρῶτον γὰρ χαλᾷ καὶ καθυφίησι τῷ λόγῳ, καὶ ταπεινότερα φθέγγεται, παραμυθούμενος τὸν θυμὸν αὐτῶν· ἔπειτα ἐπάγει τὰ ὑψηλότερα.

Verſ. 37. Εἰ — v. 38. πιστεύσατε. Ἀπὸ τῆς τῶν ἔργων ἰσότητος καὶ ταυτότητος τὴν πρὸς τὸν πατέρα ἰσότητα καὶ ταυτότητα δείκνυσι.

Verſ. 38. Ἵνα — αὐτῷ. Ὅτι ἐν ἐμοὶ θεωρεῖται ὁ πατήρ. οὐδὲν γὰρ ἄλλο ἐγὼ, ἢ ὅπερ ὁ πατὴρ, μένων υἱός· καὶ οὐδὲν ἄλλο ὁ πατὴρ, ἢ ὅπερ ἐγὼ, μένων πατήρ. ὁ οὖν τὸν υἱὸν γνοὺς, τὸν πατέρα ἔγνω· καὶ ὁ τὸν πατέρα μαθὼν, τὸν υἱὸν ἔμαθε.

Καὶ ἑτέρως δέ. ὁ μὲν υἱὸς ἐν τῷ πατρὶ, ὡς τὸ τῆς εἰκόνος κάλλος [ἐν τῷ [5]) ἀρχετύπῳ· ὁ δὲ πατὴρ ἐν τῷ υἱῷ, ὡς τὸ τοῦ πρωτοτύπου κάλλος ἐν] τῇ εἰκόνι. εἰκόνα δὲ τοῦ πατρὸς τὸν υἱὸν λέγομεν, οὐχ ἁπλῶς, ἀλλ' ἀπαράλλακτον.

Verſ. 39. Ἐζήτουν — v. 40. ἐκεῖ. Ὅταν μὲν μέγα τι σημεῖον ποιήσῃ, φεύγει διὰ τὸν κρότον καὶ τὴν εὐφημίαν τοῦ ὄχλου· ὅταν δὲ μέγα τι περὶ ἑαυτοῦ φθέγξηται, ἀναχωρεῖ διὰ τὸν θυμὸν τῶν φθονερῶν, ἐνδιδοὺς αὐτῷ λωφῆσαι καὶ λῆξαι τῇ ἀπιστίᾳ αὐτοῦ. ἀπῆλθε δὲ εἰς τὸν τόπον, ὅπου ὁ ἰωάννης τὸ πρότερον ἐβάπτιζεν, ἵνα ἀναμνησθῶσιν οἱ παρόντες τοῦ γεγονότος, ὅτε ἐβαπτίσθη, σημείου, καὶ τῆς ἰωάννου μαρτυρίας, ἣν ἐμαρτύρησε περὶ αὐτοῦ, καὶ πιστεύσωσιν, ὃ δὴ καὶ γέγονεν. ὅρα γάρ.

5) Incluſa exciderunt. A.

Verſ. 41. *Et — erant.* Conſidera, quomodo inter ſe argumentabantur? Iohannes quidem ſignum fecit nullum, hic autem multa: maior ergo hic eſt illo. Deinde aliud quoque ſumunt excellentiae ſignum: quia etiam, quaecunque de hoc dixit Iohannes vera erant, rebus ipſis iam demonſtrata. Dixerat autem, Qui poſt me venturus eſt, fortior me eſt, aliaque multa et magna. Alibi etiam, Et ego vidi, et teſtimonium perhibui, quod hic ſit filius Dei.

Aliter praeterea declaratur ſimpliciter hic ſermo. Iohannes quidem ſignum fecit nullum: attamen omnia, quaecunque de hoc dixit, vera erant, et ideo teſtimonium eius fide dignum eſt.

Verſ. 42. *Et — eum.* Vidiſti, quantum eis profuerit locus, et a peruerſis hominibus ſeparari? nam frequenter ob hoc educit ipſos et ab illorum conuerſatione abducit, quod etiam in veteri teſtamento feciſſe apparet, quum longe ab Aegyptiis in deſerto Hebraeos informauit ac correxit.

Cap. XI. De Lazaro.

Cap. XI. v. 1. *Aegrotabat — huius.*

Deinde etiam ſignum addit, quo Maria cognoſcatur.

Verſ. 2. *Erat — aegrotabat.* Huiusmodi opus notam ac celebrem effecerat.

Verſ. 3. *Miſerunt — eum.* Non abierunt, ſed miſerunt, vtpote fiduciam habentes: nam multa illis erat cum eo familiaritas. Praeterea

*) Leue quidem eſt, ſed ex leuioribus diſcitur Criſis N. Teſtamenti in grauioribus. Vnde hic ἀυτου, loco

Verſ. 41. Καὶ — ἦν. Σκόπει, πῶς πρὸς ἑαυτοὺς συλλογίζονται; ἰωάννης μὲν, σημεῖον ἐποίησεν οὐδέν· αὐτὸς δὲ πολλά. μείζων ἄρα οὗτος ἐκείνου. εἶτα λαμβάνουσι καὶ ἕτερον σημεῖον τῆς ὑπεροχῆς· ὅτι καὶ πάντα, ὅσα εἶπεν ἰωάννης περὶ[b]) αὐτοῦ, ἀληθῆ ἦν, ἐκ τῶν ἀποτελεσμάτων φανέντα· εἶπε δὲ, ὅτι ὁ[n]) ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστι, καὶ ἄλλα πολλὰ καὶ μεγάλα, καὶ· ὅτι κἀγὼ[o]) ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.

n) Matt. 3, 11.

o) Io. 1, 34.

Ἑρμηνεύεται δὲ καὶ ἑτέρως ἁπλούστερον ὁ λόγος· ὅτι ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδὲν, πάντα δὲ ὅμως, ὅσα εἶπε περὶ αὐτοῦ, ἀληθῆ ἦν· καὶ διὰ τοῦτο ἀξιόπιστος ἡ μαρτυρία αὐτοῦ.

Verſ. 42. Καὶ — αὐτόν. Εἶδες, πόσον αὐτοὺς ὤνησεν ὁ τόπος, καὶ ἡ τῶν πονηρῶν ἀνθρώπων ἀπαλλαγή; διὰ τοῦτο γὰρ πολλάκις αὐτοὺς ἐξάγει καὶ ἀπάγει τῆς ἐκείνων συνουσίας, ὅπερ οὖν καὶ ἐπὶ τῆς παλαιᾶς φαίνεται ποιήσας, πόῤῥω τῶν αἰγυπτίων, ἐπὶ τῆς ἐρήμου τοὺς ἑβραίους διαπλάττων καὶ ῥυθμίζων.

Κεφ. ΙΑ. Περὶ τοῦ λαζάρου.

Cap. XI. V. 1. Ἦν — αὐτῆς.

Εἶτα προστίθησι καὶ γνώρισμα τῆς μαρίας.

Verſ. 2. Ἦν — ἠσθένει. Γνώριμον καὶ διαβόητον αὐτὴν τὸ τοιοῦτον ἔργον ἐποίησεν.

Verſ. 3. Ἀπέστειλαν — αὐτόν. Οὐκ ἀπῆλθον, ἀλλ' ἀπέστειλαν, ὡς θαῤῥοῦσαι. πολλὴν γὰρ εἶχον πρὸς αὐτὸν οἰκείωσιν. ἄλλως τε δὲ, καὶ

loco τούτου; Ex Chryſoſtom. Tom. VIII. pag. 364. E.

ea tanquam mulieres debiles, et veluti luctu detentae. Siquidem, quod non despicientes miserint, postmodum significauerunt, quando venienti multa cum festinatione occurrerunt.

Vers. 3. *Dicentes — aegrotat.* Hoc dixerunt, cupientes eum ad misericordiam attrahere. Nam adhuc tanquam hominem audiebant, magnum quidem, non tamen etiam Deum.

Vers. 4. *Vt audiuit — mortem.* Non dirigitur ad eam, quae proprie mors est, sed ad somnum aliquem: nam quae proprie mors dicitur, vsque ad communem omnium durat resurrectionem: haec vero et mors dici potest, et non mors: illud quidem, propter diuisionem animae et corporis, hoc autem, propter mox futuram resuscitationem.

Vers. 4. *Sed pro gloria Dei.* Patris.

Vers. 4. *Vt — eum.* Nam gloria patris, gloria filii est. Item et hic dictiones Pro, et *Vt*, non causales sunt, sed significatiuae eius, quod euenturum erat. Nam pater et filius glorificandi erant per eum.

Quidam vero per gloriam intelligunt crucem, hoc est, pro crucifixione Dei, vt crucifigatur filius Dei per eum. Cognita namque a Iudaeis Lazari resuscitatione, huiusmodi magnitudine miraculi ad

7) Ita Codex A. et Henten.: Sed Codex B. coniungit textum ab ἀλλ᾽ ὑπὲρ τῆς ad δι᾽ αὐτῆς. Omittit ergo interpretationem: Τοῦ πατρὸς, ac continuo proximum scholium subiicit: Δόξα γὰρ τοῦ πατρὸς κ. τ. λ.

8) Origenis ad hunc locum interpretatio intercidit. Chrysostomus multoties δόξαν de cruce explicat. Sed ad hunc locum Tom. VIII. p. 369 nihil reperio. Nec Cyrillus tale quid habet Tom. IV. p. 677.

καὶ ὡς γυναῖκες ἀσθενεῖς, καὶ ὡς κατεχόμεναι τῷ πένθει. ὅτι γὰρ οὐ καταφρονοῦσαι ἀπέστειλαν, ἐδήλωσαν ὕστερον, ὑπαντήσασαι αὐτῷ μετὰ πολλῆς τῆς σπουδῆς.

Vers. 3. Λέγουσαι — ἀσθενεῖ. Τοῦτο εἶπον, ἐπισπάσασθαι αὐτὸν εἰς οἶκτον βουλόμεναι. ἔτι γὰρ, ὡς ἀνθρώπῳ, προσεῖχον, μεγάλῳ μὲν, πλὴν οὐχὶ καὶ θεῷ.

Vers. 4. Ἀκούσας — θάνατον. Οὐ γίνεται πρὸς θάνατον κυρίως, ἀλλὰ πρὸς ὕπνον τινά. θάνατος γὰρ κυρίως, ὁ μέχρι τῆς κοινῆς ἀναστάσεως· οὗτος δὲ, καὶ θάνατος, καὶ οὐ θάνατος· τὸ μὲν, διὰ τὴν διάζευξιν τῆς ψυχῆς καὶ τοῦ σώματος· τὸ δὲ, διὰ τὴν ὅσον οὔπω ἀνάστασιν.

Vers. 4. Ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ. Τοῦ πατρός.[7])

Vers. 4. Ἵνα — αὐτῆς. Δόξα γὰρ τοῦ πατρὸς ἡ δόξα τοῦ υἱοῦ. κἀνταῦθα δὲ τὸ ὑπὲρ καὶ τὸ ἵνα, οὐκ αἰτιολογικὰ, ἀλλὰ δηλωτικὰ τοῦ ἐκβησομένου, ὅτι μέλλει δοξασθῆναι ὁ πατὴρ καὶ ὁ υἱὸς δι' αὐτῆς.

Τινὲς[8]) δὲ δόξαν, τὸν σταυρὸν νοοῦντες, ἑρμηνεύουσιν, ὅτι ὑπὲρ τῆς σταυρώσεως τοῦ θεοῦ, ἵνα σταυρωθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. ἔμελλον γὰρ οἱ ἰουδαῖοι, τὴν ἀνάστασιν τοῦ λαζάρου μαθόντες, τῇ ὑπερβολῇ τοῦ τοιούτου θαύματος ἐξαφθῆναι πρὸς ἀκαθ-

677. A. qui ibi, ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, de filio explicat. Dissentit ergo ab Euthymio. Obiter addo ex Cyrill. l. l. p. 676. E. ad: αὕτη ἡ ἀσθένεια κ. τ. λ. Λέγει μέντοι ταῦτα ὁ κύριος, οὐχ ἵνα ἀπελθόντες οἱ ἄνθρωποι ἀπαγγείλωσι ταῖς ἀδελφαῖς τοῦ λαζάρου, ἀλλ' ὡς θεὸς προλέγων τὸ ἐσόμενον, ὅτι πρὸς δόξαν θεοῦ ἑώρα τὸ τοῦ πράγματος ἀποτέλεσμα κ. τ. λ.

ad insanabilem exarserunt insaniam: et festini exsurrexerunt, vt illum occiderent.

Vers. 5. *Diligebat — Lazarum.* Non tantum propter fidem earum, verum etiam propter alias ipsarum virtutes.

Vers. 6. *Vt — diebus.* Praedictam misit responsionem, qua eas consolaretur: ipse vero adhuc permansit expectans, donec animam exhalaret ac sepeliretur, vt nemo dicere posset, quod ipsum nondum mortuum excitasset, sed ebrium aut viribus defectum, seu numine afflatum.

Vers. 7. *Deinde — iterum.* Praedicit hoc, quo arguat illorum timiditatem ab infidelitate emanantem, et, vt hoc praecognito, non turbarentur subito re insperata. Erat autem Bethania in Iudaea.

Vers. 8. *Dicunt — illuc?* Nunc, id est, paulo ante. Nam et pro illo metuebant, et magis pro seipsis.

Vers. 9. *Respondit.* — v. 10. *eo.* Exemplo eos exhortatur, quod, quemadmodum si quis ambulauerit in die, videlicet in vnaquauis duodecim diei horarum, non offendit et caetera: ita etiam, si quis in luce virtutis ambulat, non offendit, incidens in aliquod periculum, quia lucem virtutis videt, et viae ducem habet. Si quis autem ambulauerit in tenebris malitiae, offendit, quia lux non est in eo. Vos itaque in luce ambulantes non offendetis. Atqui etiam ipsi offenderunt, seu periculum passi sunt, sed non tunc. Dum enim comprehenderetur dixit, Si me quaeritis, sinite hos abire: nam de illo tempore nunc sermo est.

Intel-

ἀκάθεκτον μανίαν, καὶ διαναστῆναι σπουδαίως εἰς τὸ ἀποκτεῖναι αὐτόν.

Vers. 5. Ἠγάπα — λάζαρον. Οὐ μόνον διὰ τὴν πίστιν αὐτῶν, ἀλλὰ καὶ διὰ τὰς ἄλλας τούτων ἀρετάς.

Vers. 6. Ὡς — ἡμέρας. Τὴν μὲν προρρηθεῖσαν ἀπόκρισιν ἔπεμψε παρηγορῶν αὐτάς· αὐτὸς δὲ ἔμεινεν ἔτι, περιμένων, ἵνα ἀποπνεύσῃ καὶ ταφῇ, ὥστε μηδένα δύνασθαι λέγειν, ὅτι οὐκ ἀποθανόντα αὐτὸν ἀνέστησεν, ἀλλὰ καρωθέντα, ἢ ἐκλυθέντα, ἢ κάτοχον γενόμενον.

Vers. 7. Ἔπειτα — πάλιν. Προλέγει τοῦτο, ἵνα τε ἐλέγξῃ τὴν ἐξ ἀπιστίας δειλίαν αὐτῶν, καὶ ἵνα προμαθόντες, μὴ ταραχθῶσιν ἀθρόον τότε, τῷ ἀπροσδοκήτῳ τοῦ προστάγματος. ἐν τῇ ἰουδαίᾳ γὰρ ἦν ἡ βηθανία.

Vers. 8. Λέγουσιν — ἐκεῖ; Νῦν, ἀντὶ τοῦ, πρὸ μικροῦ. ἐδειλίων μὲν γάρ, καὶ ὑπὲρ αὐτοῦ· τὸ δὲ πλέον, ὑπὲρ ἑαυτῶν.

Vers. 9. Ἀπεκρίθη — v. 10. αὐτῷ. Διὰ παραδείγματος παραθαῤῥύνει αὐτούς, ὅτι ὥσπερ ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, ἤγουν, ἐν ἑκάστῃ τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας, οὐ προσκόπτει καὶ τὰ ἑξῆς· οὕτω καὶ ἐάν τις περιπατῇ ἐν τῷ φωτὶ τῆς ἀρετῆς, οὐ προσκόπτει εἰς κίνδυνον, ὅτι τὸ φῶς τῆς ἀρετῆς βλέπει, καὶ ὁδηγεῖται. ἐὰν δέ τις περιπατῇ ἐν τῷ σκότει τῆς κακίας, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. λοιπὸν οὖν ὑμεῖς, ἐν τῷ φωτὶ περιπατοῦντες, οὐ προσκόψετε. καὶ μὴν καὶ αὐτοὶ προσέκοψαν, εἴτουν, ἐκινδύνευσαν· ἀλλ' οὐ τότε. συλλαμβανόμενος γὰρ εἶπεν· εἰ p) ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. p) Io. 18, 8.
περὶ ἐκείνου γὰρ τοῦ καιροῦ νῦν ὁ λόγος.

Νοεῖται

Intelligitur autem et alio modo. Si quis ambulauerit in die, non offendit et caetera: hoc est, Si quis ambulauerit in me aut mecum, qui sum lux et dies: nam quamdiu, inquit, in mundo sum, lux sum mundi: non offendit ad vllum periculum, potentia siquidem ac virtus mea deducit illum.

Vers. 11. *Haec* — v. 13. *diceret.* Ipse dicebat, Amicus noster, ostendens necessariam esse ad eum profectionem. Illi vero dicebant, Saluus erit siue sanabitur, volentes eius consilio obstare: nondum enim metum abiecerant.

Quod autem dicit, Vt a somno excitem eum, facilitatem resurrectionis ostendit. Hinc itaque illos intelligere oportuit, quod de morte et resurrectione eius diceret. Quomodo enim profecturus erat stadia quindecim, vt eum a somno excitaret? sed opinabantur, aenigma aliquod esse, qualia multa dicebat.

Vers. 14. *Tunc* — *manifeste.* †† Aperte.

Vers. 14. *Lazarus* — v. 15. *ibi.* Gaudeo, quod non fuerim ibi: gaudeo autem propter vos, vt plenius credatis, quum videritis eum resurgentem. Nam si ibi fuissem, vel non fuisset mortuus, vel non tantum apparuisset miraculum, vel suspicioni fuisset subiectum, vt praediximus.

Vers. 15. *Sed* — *eum.* Ne maliuoli erga amicos videamur. Haec autem, Non eram ibi: et, Eamus, ac similia tanquam homo dicit.

Vers. 16. *Dixit* — *eo.* Apparet quidem magnae sermo audaciae, verum potius est timiditatis ac infidelitatis: diffidebat namque, quod non

*) Inclusa absunt. A.

Νοεῖται δὲ καὶ ἑτέρως, ὅτι ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, καὶ τὰ ἑξῆς. καὶ ἐάν τις περιπατῇ ἐν ἐμοὶ, εἴτουν, μετ' ἐμοῦ, οὐ προσκόπτει, ὅτι ἡ δύναμίς μου ὁδηγεῖ αὐτόν.

Verſ. 11. Ταῦτα — v. 13. λέγει. Ἐκεῖνος μὲν εἶπεν, ὅτι ὁ φίλος ἡμῶν, ἐμφαίνων ἀναγκαίαν τὴν εἰς αὐτὸν ἄφιξιν· αὐτοὶ δὲ εἶπον, ὅτι σωθήσεται, ἤγουν, ὑγιανεῖ, βουλόμενοι ἐγκόψαι τὴν ὁρμὴν αὐτοῦ. οὔπω γὰρ ἀπεβάλοντο τὸν φόβον.

Τὸ δὲ, ἵνα ἐξυπνίσω αὐτὸν, τὸ ῥᾴδιον τῆς ἀναστάσεως ὑποφαίνει. ἔδει δὲ αὐτοὺς ἐντεῦθεν γοῦν συνιέναι, ὅτι περὶ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ φησί. [πῶς[9]) γὰρ ἂν ἔμελλε πορεύεσθαι στάδια πεντεκαίδεκα, ὥστε ἐξυπνίσαι αὐτόν; ἀλλ' ἐνόμισαν αἴνιγμά τι εἶναι, οἷα πολλὰ ἔλεγε.]

Verſ. 14. Τότε — παῤῥησίᾳ. Φανερῶς.[1])

Verſ. 14. Λάζαρος — v. 15. ἐκεῖ. Καὶ χαίρω, ὅτι οὐκ ἤμην ἐκεῖ. χαίρω δὲ, δι' ὑμᾶς, ἵνα πιστεύσητε πλέον, ὅταν ἴδητε αὐτὸν ἀνιστάμενον. εἰ γὰρ ἦν ἐκεῖ, ἢ οὐκ ἂν ἀπέθανεν, ἢ οὐκ ἂν τηλικοῦτον ἐφάνη τὸ θαῦμα, ἢ καὶ ὑπωπτεύθη ἂν, ὡς προειρήκαμεν.

Verſ. 15. Ἀλλ' — αὐτόν. Ἵνα μὴ δόξωμεν ἀφιλόστοργοι. τὸ δὲ οὐκ ἤμην, καὶ τὸ ἄγωμεν, καὶ τὰ τοιαῦτα, ὡς ἄνθρωπος λέγει.

Verſ. 16. Εἶπεν — αὐτοῦ. Δοκεῖ μὲν εὐτολμίας ὁ λόγος, ἔστι δὲ μᾶλλον δειλίας καὶ ἀπιστίας. ἠπίστει γὰρ, ὅτι οὐ προσκόψουσιν, ὡς προ-

[1]) Hoc praetermiſſo vocabulo, textum coniunxit Hentenius.

non offenderent, vt praedixerat, et propterea opinabatur omnes ſimul cum praeceptore occidendos eſſe. Non tamen increpauit eum Chriſtus, tolerans adhuc eius imbecillitatem. Didymus vero quaſi geminus dicebatur, quod ſimul cum fratre natus eſſet.

Verſ. 17. *Quum igitur veniſſet — ſepultum.* Ipſe quidem mortuus fuerat, poſtquam ſorores ad Chriſtum miſerant eodem ſane die: hic vero manſit in loco, vbi erat duobus diebus, illo videlicet ac ſequenti: tertio autem dixit diſcipulis, Lazarus amicus noſter dormit et caetera: in quarto abiit, quum expectaſſet, donec oleret, vt magis manifeſtaretur ſuae magnitudo potentiae. Sorores autem non amplius ad eum miſerunt, de fratris vita iam deſperantes.

Verſ. 18. *Erat* — v. 19. *ſuo.* Graece quidem dicitur, *πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν*: eſt autem Graecanici ſermonis idioma, idem ſignificans, quod ad Martham et Mariam. Verum, quo pacto conſolabantur illas, quum indubie amarent Ieſum? Aut propter nobilitatem illarum: aut propter alias virtutes: aut propter calamitatis magnitudinem.

Praeterea non erant hi ex eis, qui omnino mali erant, quod ex eo manifeſtum eſt, quia multi crediderunt in eum.

Verſ. 20. *Martha ergo — ſedebat.* Ipſa ſola, vt hoc audiuit. Non communicauit autem ſorori, ne illa quoque exeunte, tumultum concitarent, qui ad conſolandum venerant.

Verſ. 21. *Dixit* — v. 22. *Deus.* Si fuiſſes hic, frater meus non fuiſſet mortuus: petiuiſſes nam-

προεῖπε, καὶ διὰ τοῦτο προσεδόκα συναναιρεθῆναι πάντας τῷ διδασκάλῳ· οὐκ ἐπετίμησε δὲ αὐτῷ ὁ χριςὸς, διαβαςάζων ἔτι τὴν ἀσθένειαν αὐτοῦ. δίδυμος δὲ ἐλέγετο, διὰ τὸ συνάμα ἀδελφῷ γεννηθῆναι.

Verſ. 17. Ἐλθὼν οὖν — ἐν τῷ μνημείῳ. Αὐτὸς μὲν ἀπέθανε, μεθὸ ἀπέςειλαν αἱ ἀδελφαὶ πρὸς τὸν χριςὸν, κατ᾽ αὐτὴν ἄρα τὴν ἡμέραν· οὗτος [2]) δὲ ἔμεινεν, ἐν ᾧ ἦν τόπῳ, δύο ἡμέρας, αὐτήν τε, καὶ ἑτέραν. κατὰ δὲ τὴν τρίτην εἶπε τοῖς μαθηταῖς, ὅτι λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· καὶ τὰ ἑξῆς. ἐν δὲ τῇ τετάρτῃ ἀπῆλθεν, περιμείνας, ἵνα ὀζέσῃ, ὥςε πλέον φανῆναι τὸ μεγαλεῖον τῆς αὐτȣ̃ δυνάμεως. αὐταὶ δὲ οὐκέτι ἀπέςειλαν πρὸς αὐτὸν, ἀπογνοῦσαι λοιπὸν τὴν ζωὴν τȣ̃ ἀδελφȣ̃.

Verſ. 18. Ἦν — v. 19. αὐτῶν. Πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν, τȣτέςι, πρὸς μάρθαν καὶ μαρίαν, καὶ τοῦτο γὰρ ἰδίωμα λόγου, ἀλλὰ πῶς αὐτὰς παρεμυθȣ̃ντο, φίλας ȣ̃σας τȣ̃ ἰησȣ̃; πάντως, ἢ διὰ τὴν εὐγένειαν αὐτῶν, ἢ διὰ τὰς ἄλλας ἀρετὰς, ἢ διὰ τὸ μέγεθος τῆς συμφορᾶς.

Ἄλλως τε, οὐδ᾽ ἦσαν οὗτοι τῶν πάντῃ πονηρῶν. καὶ τοῦτο δῆλον ἀπὸ τοῦ πιςεῦσαι πολλοὺς αὐτῶν.

Verſ. 20. Ἡ οὖν μάρθα — ἐκαθέζετο. Αὐτὴ μόνη τȣ̃το ἀκούσασα, οὐκ ἐκοινώσατο καὶ πρὸς τὴν ἀδελφὴν, ἵνα μὴ, κἀκείνης ἐξελθούσης, θορυβηθῶσιν οἱ παραμυθούμενοι.

Verſ. 21. Εἶπεν — v. 22. θεός. Εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. ἠτήσω γὰρ

 ἂν

[2]) αὐτὸς, pro οὗτος. A.

namque a Deo, ne ipse moreretur, et indubie auditus fuisses, vtpote Dei amicus. Nondum enim cognoscebat, quod, licet vt homo aberat, tamen vt Deus praesens erat.

Vers. 23. *Ait* — v. 24. *die.* Quod ergo dixerat, scio quod quaecunque poposceris a Deo dabit tibi Deus: non dixit, quod eum resuscitaturus esset, sed ne a Deo abiiceretur. Siquidem nondum conuenientem de Christo habebat opinionem, sicut nec discipuli, qui tamen, tot ac tanta et audierant et viderant.

Vers. 25. *Dixit* — *vita.* Virtus resurrectionis et fons vitae, qui exsuscito vitamque tribuo, tanquam Deus. Primum itaque modeste loquutus est dicens, Resurget frater tuus: at illa non intelligente, detegit iam occultam suam potestatem, et attollit mentem eius.

Vers. 25. *Qui* — v. 26. *aeternum.* Etiamsi nunc moriatur praesenti morte, viuet vita, qua in futurum viuitur, hoc est, beata. Et qui adhuc viuit praesenti vita, nequaquam morietur futura morte, hoc est, misera. Haec dicens ostendit illam esse veram vitam, veramque mortem, vtpote inuariabiles, et omni inter se successione carentes, et de illis maxime curandum esse.

Vers. 26. *Credis hoc?* Me esse resurrectionem ac vitam et caetera.

Vers. 27. *Ait* — *venturus erat.* Quod magna de seipso dixerit, cognouit: quomodo autem ea dixerit, ignorauit: et propterea vnum interrogata, aliud respondet. Sed vnde id sciebat, quod

3) *ὑπὲρ*, abest. A.
4) *ἀναστῆσαι* videtur legisse Hentenius.
5) *καὶ*, abest. A.

ἂν τὸν Θεὸν,[5]) ὑπὲρ τοῦ μὴ ἀποθανεῖν αὐτὸν, καὶ εἰσηκούσθης ἄν, ὡς θεοφιλής. οὔπω γὰρ ἐγίνωσκεν, ὅτι εἰ καὶ ὡς ἄνθρωπος εἴπῃ, ἀλλ' ὡς Θεὸς παρῆν.

Verſ. 23. Λέγει — v. 24. ἡμέρᾳ. Ὥστε καὶ τὸ οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι ὁ Θεὸς, οὐ περὶ τοῦ ἀναστῆναι[4]) αὐτὸν εἶπεν, ἀλλὰ περὶ τοῦ μὴ ἀπορριφῆναι αὐτὸν τοῦ Θεοῦ. οὔπω γὰρ εἶχε περὶ τοῦ χριστοῦ τὴν προσήκουσαν ὑπόληψιν. καὶ γὰρ οὐδ' οἱ μαθηταὶ, καίτοι τοσαῦτα καὶ τοιαῦτα καὶ[5]) ἀκούσαντες, καὶ ἰδόντες.

Verſ. 25. Εἶπεν — ζωή. Ἡ δύναμις τῆς ἀναστάσεως, καὶ ἡ πηγὴ τῆς ζωῆς, ὁ ἀνιστῶν καὶ ὁ ζωῶν, ὡς Θεός. πρῶτον μὲν οὖν μετρίως εἶπεν, ἀναστήσεται ὁ ἀδελφός σου· ἐκείνης δὲ μὴ συνιείσης, ἀποκαλύπτει λοιπὸν τὴν κεκρυμμένην ἐξουσίαν αὐτοῦ, καὶ ἀνάγει τὸν νοῦν αὐτῆς.

Verſ. 25. Ὁ — v. 26. αἰῶνα. Κἂν ἀποθάνῃ ἤδη τὸν ἐνταῦθα θάνατον, ζήσεται τὴν[6]) ἐκεῖ ζωὴν, τὴν μακαρίαν. καὶ ὁ ζῶν ἔτι τὴν ἐνταῦθα ζωὴν, οὐ μὴ ἀποθάνῃ τὸν ἐκεῖ θάνατον, τὸν ἄθλιον. ταῦτα εἰπὼν, ἔδειξεν, ὅτι[7]) ἐκεῖνά εἰσιν ἀληθὴς ζωὴ καὶ ἀληθὴς θάνατος, ὡς ἀναλλοίωτα καὶ ἀδιάδοχα, κἀκείνων μάλιστα φροντιστέον.

Verſ. 26. Πιστεύεις τοῦτο; Τὸ ἐμὲ εἶναι τὴν ἀνάστασιν, καὶ τὴν ζωὴν, καὶ τὰ ἑξῆς.

Verſ. 27. Λέγει — ἐρχόμενος. Ὅτι μὲν μεγάλα περὶ ἑαυτοῦ[8]) εἶπεν, ἔγνω· πῶς δὲ ταῦτα εἶπεν, ἠγνόησε. διὰ τοῦτο ἕτερον ἐρωτηθεῖσα, ἕτερον ἀποκρίνεται. ἀλλὰ πόθεν ἐγνώκεν,

6) τὴν, abeſt. A.
7) ὅτι κἀκεῖνα. A.
8) αὐτοῦ. A.

quod respondit? ab his, qui in eum credebant. Nam et quod superius dixerat, Scio quod resurget in resurrectione in nouissimo die, ab ipso Christo didicerat, et a discipulis ipsius. Nam frequenter cum illis apud eas hospitabatur.

Vers. 28. *Et — vocat te.* Expectans magnum aliquod bonum a sermonibus eius, currit et vocat clanculum sororem, ne qui praesentes erant Iudaei cognoscerent, ac insidiatoribus fortassis eum proderent. Dixit autem, vocat te, vt illa citius occurreret.

Vers. 29. *Illa — eum.* Prae vehementi, quo eum persequebatur honore.

Vers. 30. *Nondum — Martha.* Erat adhuc ibi, docens eos, qui secum erant, et docendi praetextu expectabat illas, ne accedere videretur, tanquam gloriam a miraculo captans. Aut hoc dixit euangelista, ostendens, quod et quae vocauit, et quae vocata est, adeo velociter cucurrerunt, vt eum illuc praeuenerint.

Vers. 31. *Iudaei ergo — ibi.* Sequuti sunt eam, veriti, ne quid fortassis contra seipsam perpetraret. Facti sunt autem testes miraculi, etiam non asciti.

Vers. 32. *Igitur Maria — frater.* Quanquam sorore feruentior erat erga Christi honorem; siquidem ipsa procidit ad pedes eius: eadem tamen dicit, eandem de illo habens opinionem.

Vers. 33.

ειν, ὃ ἀπεκρίθη; ἀπὸ τῶν πιστευόντων εἰς αὐτόν. καὶ γὰρ καὶ ὅπερ ἀνωτέρω εἶπε, τὸ οἶδα,[q]) ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὑπ᾽[9]) αὐτοῦ τε τοῦ χριστοῦ διδάσκοντος ἔμαθε, καὶ ἀπὸ τῶν μαθητῶν αὐτοῦ. πολλάκις γὰρ παρ᾽ αὐταῖς μετ᾽ αὐτῶν ἐξενοδοχεῖτο. q) Io. 11, 24.

Vers. 28. Καὶ — φωνεῖ σε. Προσδοκήσασά τι ἀγαθὸν ἀπὸ τῶν λόγων αὐτοῦ, τρέχει, καὶ καλεῖ τὴν ἀδελφὴν λάθρα, ἵνα μὴ οἱ παρόντες ἰουδαῖοι τοῦτο γνῶσι, καὶ ἴσως καταμηνύσωσιν αὐτὸν τοῖς ἐπιβουλεύουσιν. εἶπε δὲ, ὅτι φωνεῖ σε, ἵνα θᾶττον ἀπαντήσῃ.

Vers. 29. Ἐκείνη — αὐτόν. Ὑπὸ πολλῆς μάλα τῆς πρὸς αὐτὸν τιμῆς.

Vers. 30. Οὔπω — μάρθα. Ἦν ἔτι ἐκεῖ, διδάσκων τοὺς σὺν αὐτῷ, καὶ προφάσει τοῦ διδάσκειν, περιμένων αὐτάς, ἵνα μὴ δόξῃ ἐπιπηδᾷν, ὡς φιλόδοξος, τῷ θαύματι. ἢ τοῦτο εἶπεν ὁ εὐαγγελιστής, ἐμφαίνων, ὅτι καὶ ἡ καλέσασα, καὶ ἡ κληθεῖσα τοσοῦτον ὀξέως ἔδραμον, ὡς προφθάσαι αὐτὸν ἐκεῖ.

Vers. 31. Οἱ οὖν ἰουδαῖοι — ἐκεῖ. Ἠκολούθησαν μὲν, καθέξοντες, εἴ πού τι μέλλοι καθ᾽ ἑαυτῆς διαπράξασθαι. γεγόνασι δὲ μάρτυρες τοῦ θαύματος ἀπαράγραπτοι.

Vers. 32. Ἡ οὖν μαρία — ἀδελφός. Εἰ καὶ θερμοτέρα ἦν τῆς ἀδελφῆς πρὸς τὴν εἰς αὐτὸν τιμήν· καὶ γὰρ[1]) αὐτὴ ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ· ἀλλά γε τὰ αὐτὰ λέγει, τὴν αὐτὴν καὶ αὐτὴ περὶ αὐτοῦ ὑπόληψιν ἔχουσα.

9) ἀπ᾽. A.
1) Forte αὕτη.

Verſ. 33. *Ieſus — ſpiritu et turbauit ſe ipſum.* Non ea dixit ad illam, quae ſorori dixerat: tum propter eos, qui ſimul aduenerant, tum etiam, quod ſciret futurum eſſe, vt per otium eadem ab illa diſceret. Iam autem commota in ipſo humana natura ad compaſſionem (Solent namque qui humani ſunt, alios videndo lachrymantes, excitari ad miſericordiam).

Infremuit ſpiritu, hoc eſt, affectum cohibuit, ipſum reprimens: torue ac auſtere prae turbatione intuitus eſt: ne cum lachrymis interrogaret.

Nam ſpiritus dicitur hic turbationis affectus. Quum autem infremuiſſet, turbauit ſeipſum ſiue concuſſit: contingit enim, vt concutiantur ſuperiores corporis partes eorum, qui ita infremunt.

Quidam vero Spiritum intelligentes diuinitatem eius, interpretantur, quod acriter humanae naturae comminatus eſt per diuinitatem: et concuſſit eam comminatione perterritam.

Verſ. 34. *Et — v. 35. Ieſus.* Tanquam homo et interrogat et lachrymatur, aliaque facit, quaecunque eſſe hominem ipſum confirmant: tanquam Deus vero quatriduanum ac olidum iam mortuum ſuſcitat, caeteraque operatur, quaecunque teſtantur eum eſſe Deum. Vult enim vtramque ſui naturam agnoſci, et ideo nunc quidem humano more, nunc vero diuino, varia demonſtrat.

Verſ. 36. *Dicebant — eum.* Videntes eum lachrymantem.

Verſ. 37. *Quidam — moreretur.* Impotentiam ei exprobrant, et ironice dicunt, Qui caeci oculos aperuit: eo quod iſtud non fecerit, nec illud

Verf. 33. Ἰησοῦς — πνεύματι.ª) Οὐκ εἶπε πρὸς αὐτὴν, ἃ καὶ πρὸς τὴν ἀδελφὴν, διὰ τοὺς συνελθόντας· ἅμα δὲ καὶ ἐγίνωσκεν, ὅτι μαθήσεται ταῦτα παρ᾽ ἐκείνης κατὰ σχολήν. κινηθείσης δὲ ἤδη τῆς ἐν αὐτῷ ἀνθρωπίνης φύσεως εἰς συμπάθειαν· τὸ γὰρ ὁρᾷν ἑτέρους δακρύοντας ἐρεθίζειν οἶδε πρὸς οἶκτον τοὺς φιλανθρώπους.

Ἐνεβριμήσατο τῷ πνεύματι, τουτέστιν, ἐπετίμησε τῷ πάθει, ἀναχαιτίζων αὐτὸ, δριμύ τι καὶ αὐστηρὸν ἐνέβλεψε τῇ συγχύσει, ἵνα μὴ μετὰ δακρύων ποιήσηται τὴν ἐρώτησιν.

Πνεῦμα γὰρ ἐνταῦθα νοεῖται, τὸ πάθος τῆς συγχύσεως. ἐμβριμησάμενος δὲ ἐτάραξεν ἑαυτὸν, ἤγουν, διέσεισε. συμβαίνει γὰρ τινάσσεσθαι τὰ ἀνωτέρω μέρη τῶν οὕτως ἐμβριμωμένων.

Τινὲς δὲ πνεῦμα, τὴν θεότητα αὐτοῦ νοοῦντες, ἑρμηνεύουσιν, ὅτι ἐνεβριμήσατο τῇ ἀνθρωπίνῃ φύσει ἐν τῇ θεότητι, καὶ ἐκλόνησεν αὐτὴν φοβηθεῖσαν τὴν ἐμβρίμησιν.

Verf. 34. Καὶ — v. 35. ἰησοῦς. Ὡς ἄνθρωπος μὲν καὶ ἐρωτᾷ, καὶ δακρύει, καὶ τἄλλα ποιεῖ, ὅσα βεβαιοῦσιν, ὅτι ἄνθρωπός ἐστιν· ὡς δὲ θεὸς, ἀνιστᾷ τὸν τεταρταῖον καὶ ὀδωδότα νεκρὸν, καὶ τὰ λοιπὰ ἐνεργεῖ, ὅσα μαρτυροῦσιν, ὅτι θεός ἐστιν. βούλεται γὰρ ἀμφοτέρας αὐτοῦ τὰς φύσεις διαγινώσκεσθαι, καὶ διὰ τοῦτο τὰ μὲν ἀνθρωποπρεπῶς, τὰ δὲ θεοπρεπῶς ἐπιδείκνυται.

Verf. 36. Ἔλεγον — αὐτόν. Ἰδόντες αὐτὸν δακρύσαντα.

Verf. 37. Τινὲς — ἀποθάνῃ. Ἀδυναμίαν ὀνειδίζουσιν αὐτῷ, καὶ εἰρωνευόμενοι λέγουσιν, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ· ἀπὸ τοῦ μὴ ποι-

ª) καὶ ἐτάραξεν ἑαυτὸν, quod mei omittunt, interpres expreſſit. Vocabulum ἐκλόνησεν, in fine ſcholii, videtur etiam tueri haec.

illud fecisse arbitrantes. Ignorant siquidem id, quod facturus est, illo maius esse: nam maius est¹) mortem, quae iam aduenerit ac dominata sit, repellere, quam accedentem prohibere.

Vers. 38. *Iesus — monumentum.* Lachrymatus quidem est, sinens naturam, quae sua sunt, ostendere: modicam lachrymandi super mortuos mensuram tradens nobis. Deinde rursum infremit, ac affectum cohibet, vetans, ne vltra modum progrediatur.

Vers. 38. *Erat — v. 39. lapidem.* Quare non suscitauit eum imposito lapide? Vt qui lapidem sustulissent, et primi grauem sensissent odorem, potissimum miraculo testimonium exhiberent. Siquidem etiam propter hoc non resuscitauit eum absens, sed cum multis venit ad monumentum, et reuinctum fasciis sepulchralibus ac sudario excitauit, iussitque, vt soluerent eum, ad infallibilem miraculi demonstrationem, vt ab his omnibus veritas testimonium acciperet: et ne rursum, quemadmodum de caeco, vlla remanere posset ambiguitas.

Vers. 39. *Dicit — est.* Iam olet, et ideo impossibile est, eum resuscitare iam curruptum. Nam praedictum est, quod nondum de eo conuenientem habebat opinionem: nec ea, quae sibi ille dixerat, intellexit.

Vers. 40. *Ait — Dei?* Verisimile est enim, hoc etiam eum dixisse illi: Aut hoc sibi volebant, quae illi dixerat.

Vers. 41. *Sustulerunt — mortuus.* Sustulerunt eum a loco in quo iacebat.

Vers. 41.

1) *ei*, abest A.

ποιῆσαι τοῦτο, κἀκεῖνο ψευδὲς οἰόμενοι. ἀγνοοῦσι δὲ, ὅτι, ὃ μέλλει ποιῆσαι, μεῖζόν ἐστι. τοῦ γὰρ κωλῦσαι ἐπιόντα τὸν θάνατον, μεῖζον τὸ παραγενόμενον ἤδη καὶ κυριεύσαντα ἀπελάσαι αὐτόν.

Verſ. 38. Ἰησοῦς — μνημεῖον. Ἐδάκρυσε μὲν, ἀφεὶς τὴν φύσιν ἐνδείξασθαι τὰ ἑαυτῆς· ὀλίγον δὲ, μέτρα τῶν ἐπὶ νεκροῖς δακρύων παραδιδοὺς ἡμῖν. εἶτα πάλιν ἐμβριμᾶται τῷ πάθει, κωλύων ἐκπεσεῖν εἰς ἀμετρίαν.

Verſ. 38. Ἦν — v. 39. λίθον. Διατί οὐκ ἀνέστησεν αὐτὸν ἐπικειμένου τοῦ λίθου; ἵνα[3]) οἱ τὸν λίθον ἄραντες, καὶ πρῶτοι τῆς ὀσμῆς ὀσφρανθέντες, αὐτοὶ μαρτυρήσωσι μάλιστα τῷ θαύματι. διὰ τοῦτο γὰρ καὶ οὐκ ἀπὼν ἀνέστησεν αὐτὸν, καὶ μετὰ πολλῶν ἦλθεν εἰς τὸ μνημεῖον, καὶ δεδεμένον κειρίαις[4]) καὶ σουδαρίῳ ἤγειρεν αὐτὸν, καὶ προσέταξε λῦσαι αὐτὸν, πρὸς ἀναντίῤῥητον ἀπόδειξιν τοῦ θαύματος, ἵνα διὰ πάντων τούτων ἡ ἀλήθεια μαρτυρηθῇ, καὶ μὴ πάλιν, ὡς ἐπὶ τοῦ τυφλοῦ, γένηταί τις ἀμφιβολία.

Verſ. 39. Λέγει — ἐστιν. Ἤδη ὄζει, καὶ λοιπὸν, ἀδύνατον ἀναστῆναι αὐτὸν διεφθορότα. προείρηται γὰρ, ὅτι οὔπω περὶ αὐτοῦ τὴν προσήκουσαν ὑπόληψιν εἶχεν, οὐδὲ ἃ εἶπεν αὐτῇ, νενόηκε.

Verſ. 40. Λέγει — θεοῦ; Εἰκὸς γὰρ, καὶ τοῦτο εἰπεῖν αὐτῇ, ἢ τοῦτο νοῆσαι ἐδίδουν,[5]) ἃ εἶπεν αὐτῇ.

Verſ. 41. Ἦραν — κείμενος. Ἦραν αὐτὸν ἀπὸ τοῦ τόπου, ὅπου ἦν κείμενος.

Verſ. 41.

4) κηρίαις. B.
5) ἐδίδου. B. Forte ἐδίδω.

Verſ. 41. *Ieſus autem — me.* Vide dictiones Surſum, et Gratias ago: vt a Deo miſſus eſſe credatur. Ipſe ſiquidem in progreſſu docet, hanc eſſe cauſam. Dicebant enim Iudaei, Non eſt hic a Deo. Sed quomodo dixit, Quia audiſti me, quum precatus non ſit? Non eſt precatus, oſtendens, quod precatione opus illi non eſſet. Dixit autem, Quia audiſti me, inſinuans voluntatis identitatem: Gratias tibi ago, quia voluiſti, quod ego volo.

Verſ. 42. *Ego — audis.* Semper vis, quae volo: nam eadem vtrique voluntas eſt ac mens eadem. Deinde addit et cauſam huiusmodi gratiarum actionis humiliumque verborum.

Verſ. 42. *Sed — dixi.* Dixi, gratias tibi ago, quia audiſti me, propter imbecillitatem circumſtantium.

Verſ. 42. *Vt — miſeris.* Nam hoc maxime neceſſarium erat. Qui enim credit, quod Deus eum miſerit, eius etiam credet ſermonibus: quum aliis, tum his, quibus ſe Dei eſſe filium oſtendit: qui autem non credit, quod Deus eum miſerit, is neque eius ſermones ſuſcipiet.

Verſ. 43. *Et — foras.* Voce magna clamauit, oſtendens, quod animam vocet non praeſentem, ſed procul abſentem: vtque omnes, qui praeſentes erant, audirent hanc autoritatiuae poteſtatis iuſſionem: et quum in opus deductam viderent, ſublimiter de eo, tanquam de Deo, ſentirent.

Non dixit autem, Reſurge, ſed veni foras: cum eo, qui mortuus fuerat, tanquam cum viuente colloquens. Siquidem apud Deum etiam mortui

*) Hentenius legit, ὅρα et εὐχαριστῶ.

Vers. 41. Ὁ δὲ Ἰησοῦς — μου. Ὁρᾷ *) ἄνω, καὶ εὐχαριστεῖ, ἵνα πιστευθῇ, ὅτι παρὰ τοῦ θεοῦ ἀπεστάλη. αὐτὸς γὰρ προϊὼν διδάσκει, ταύτην εἶναι τὴν αἰτίαν. ἔλεγον γὰρ οἱ Ἰουδαῖοι, ὅτι οὐκ ἔστιν ἀπὸ θεοῦ. ἀλλὰ πῶς εἶπεν, ὅτι ἤκουσάς μου; οὐ γὰρ ηὔξατο. οὐκ ηὔξατο μὲν, ἐμφαίνων, ὅτι οὐ δεῖται εὔξασθαι· εἶπε δὲ, ὅτι ἤκουσάς μου. ὑποδηλῶν τὸ ταυτὸν τοῦ θελήματος. εὐχαριστῶ σοι, ὅτι ἠθέλησας, ὃ θέλω.

Vers. 42. Ἐγὼ — ἀκούεις. Πάντοτε θέλεις, ἃ θέλω. τὸ αὐτὸ γὰρ ἀμφοτέροις θέλημα, ἡ αὐτὴ γνώμη. εἶτα προστίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης εὐχαριστίας, καὶ τῶν ταπεινῶν ῥημάτων.

Vers. 42. Ἀλλὰ — εἶπον. Τὸ εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου, διὰ τὴν ἀσθένειαν τῶν περιεστώτων.

Vers. 42. Ἵνα — ἀπέστειλας. Τοῦτο γὰρ ἦν ἀναγκαιότατον. ὁ γὰρ πιστεύσας, ὅτι ὁ θεὸς αὐτὸν ἀπέστειλε, πιστεύσει πάντως καὶ τοῖς λόγοις αὐτοῦ, τοῖς τε ἄλλοις, καὶ τοῖς περὶ τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ. ὁ δὲ μὴ πιστεύσας, ὅτι ὁ θεὸς αὐτὸν ἀπέστειλεν, οὐδὲ τοὺς λόγους αὐτοῦ παραδέξεται.

Vers. 43. Καὶ — ἔξω. Φωνῇ μεγάλῃ ἐκραύγασεν, ἐνδεικνύμενος, ὅτι καλεῖ τὴν ψυχὴν οὐ παροῦσαν, ἀλλ' ἀποῦσαν πόῤῥω, καὶ ἵνα πάντες οἱ 7) παρόντες ἀκούσωσι τὸ ἐξουσιαστικὸν τοῦτο κέλευσμα, καὶ ὅταν ἴδωσιν εἰς ἔργον ἐκβὰν, ὑψηλόν τι καὶ θεοπρεπὲς περὶ αὐτοῦ ἐννοήσωσιν.

Οὐκ εἶπε δὲ ἀνάστηθι, ἀλλὰ δεῦρο ἔξω· ὡς ζῶντι τῷ τεθνηκότι διαλεγόμενος. παρὰ γὰρ τῷ θεῷ καὶ οἱ νεκροὶ ζῶσι. τοῦτο οὖν ἐστιν, ὃ ἔλεγεν· ὅτι

7) οἱ παρόντες, desunt. A.

tui viuunt. Hoc ergo est, quod dicebat, Venit tempus et nunc est, quando mortui audient vocem filii Dei, et qui audierint, viuent. Vide enim, quid sequatur.

Verſ. 44. *Et — faſciis ſepulchralibus.* Vinculis quibus mortui obuinciri ſolent. O maximum ac dupſum miraculum! Non ſolum, qui iam olebat, reſurrexit, ſed etiam, qui obuinctus erat, exiuit a monumento. Itaque gratiarum actio, diſpenſationis erat, iuſſio ac opus, autoritatis: illa propter praeſentium imbecillitatem facta eſt, haec autem propter eius potentiam et virtutem accidit. Propterea in praecedentibus dicebat, Si non facio opera patris mei, nolite credere mihi: ſi autem facio, etſi mihi non vultis credere, operibus credite.

Verſ. 44. *Et — erat obuincta.* Parua faſciola, qua ad hoc vsque tempus vtuntur Hebraei ad tegmen capitis.

Verſ. 44. *Ait — abire.* Vos eum ſoluite, vt et tactus ferat teſtimonium, quod non phantaſma, ſed ipſe vere ſit. Et ſinite abire, ne cum eo ambulans laudis ac plauſus cauſa fiat: vtque per otium perfectius ſcrutentur eum, qui voluerint.

Vtinam autem et mens mea in affectionum monumento ſepulta, earumque faſciis alligata, ac inſenſibilitatis lapidem ſuperpoſitum habens, et iam olida graui peccatorum odore, verbi ſermone reſurgeret.

Verſ. 45. *Multi — v. 46. Ieſus.* Non tanquam admirantes, ſed quaſi de praeſtigiatore calumniantes: hi autem ſunt, qui dicebant: Non potuit hic, qui caeci oculos aperuit, facere, ne hic moreretur?

Verſ. 47.

ὅτι r) ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκού- r) Io. 5. 25.
σονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαν-
τες ζήσονται. ὅρα γάρ.

Verſ. 44. Καὶ — κειρίαις. Δεσμοῖς νεκροστολικοῖς. ὢ μεγίστου καὶ διπλοῦ θαύματος! οὐ μόνον σεσηπὼς ὢν ἀνέστη, ἀλλὰ καὶ δεδεμένος ὤν, ἐξῆλθε τοῦ μνημείου. ἡ μὲν οὖν εὐχαριστία, τῆς οἰκονομίας· τὸ δὲ κέλευσμα καὶ τὸ ἔργον, τῆς ἐξουσίας. ἐκείνη, διὰ τὴν ἐκείνων ἀσθένειαν· ταῦτα δὲ, διὰ τὴν τούτου δύναμιν. διὰ ταῦτα προλαβὼν
ἔλεγεν· εἰ οὐ s) ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ s) Io. 10. 37.
πιστεύετέ μοι. εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε.

Verſ. 44. Καὶ — περιεδέδετο. Φακιολίῳ μικρῷ, οἵῳ χρῶνται μέχρι καὶ νῦν ἑβραῖοι καλύμματι κεφαλῆς.

Verſ. 44. Λέγει — ὑπάγειν. Ὑμεῖς αὐτὸν λύσατε, ἵνα καὶ ἡ ἀφὴ μαρτυρήσῃ, ὅτι οὐ φάσμα, ἀλλ᾽ ἐκεῖνος ὄντως ἐστὶν, καὶ ἄφετε ὑπάγειν, ἵνα μὴ, μετ᾽ αὐτοῦ περιπατῶν, εὐφημίας αὐτῷ καὶ κρότου γίνηται αἴτιος, καὶ ἵνα κατὰ σχολὴν τελεώτερον αὐτὸν [8]) περιεργάζωνται οἱ βουλόμενοι.

Εἴη δὲ καὶ τὸν ἐμὸν νοῦν, ἐντεθαμμένον μνημείῳ τῶν παθῶν, καὶ δεδεμένον κειρίαις αὐτῶν, καὶ λίθον ἀναισθησίας ἐπικείμενον ἔχοντα, καὶ ὄζοντα δυσωδίᾳ τῶν ἁμαρτιῶν, τῷ λόγῳ τοῦ λόγου ἐξαναστῆναι.

Verſ. 45. Πολλοὶ — v. 46. ἰησοῦς. Οὐχ ὡς θαυμάζοντες, ἀλλὰ διαβάλλοντες, ὡς γόητα. οὗτοι δέ εἰσιν οἱ εἰπόντες· οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ τὰ ἑξῆς.

Verſ. 47.

8) περιεργάσωνται. A.

Verſ. 47. *Congregauerunt* — v. 48. *gentem.* Tollent, ſiue, perdent. Speciosſum autem praetextum imponere volentes inſidiis, quas aduerſus ſaluatorem ſtruebant, ac populum contra eum mouere molientes, timorem cauſabantur Romanorum, quia, ſi omnes crediderint in eum, exiſtimabitur, tyrannidem meditari: venientque Romani, ac perdent vniuerſos, tanquam tyrannidis ac defectionis participes.

Atqui ipſe defectionem non docuit, quin potius cenſum Caeſari exſolui permiſit: quumque populi regem vellent eum conſtituere, aufugit, et frugaliter oberrabat, ac vitam probiſſimam omnibus proponebat: quae magis eſt tyrannidis interitus. At ipſi, quanquam non expectabant, nec timebant, ſed prae inuidia perditionem Romanorum in praetextum aſſumebant: ea tamen paſſi ſunt, quae cauſabantur: non quia Chriſto obſequuti ſunt, ſed quia ei non paruerunt. Nam propter illum traditi ſunt, vt etiam teſtatur Ioſephus. Et ipſi quidem praetextum ſumſerunt occidendi illum, ne a Romanis internecioni traderentur: quia vero occiderunt, internecioni traditi ſunt, et quae fecerunt, vt effugerent, ea quia fecerunt, non effugerunt.

Verſ. 49. *Vnus* — *Caiaphas.* †† Appellatus, nimirum.

Verſ. 49. *Cum eſſet Pontifex anni illius.* Quum in legis transgreſſionem impegiſſent, is qui potens erat, a Romanis pontificatum in annum emebat: et ipſe quidem principatum ſuo anno obtinebat:

9) Incluſa abſunt. A.
†) Vide ſupra ad Cap. VIII. verſ. 28.

Verſ. 47. Συνήγαγον — v. 48. ἔθνος. Ἀρῦσιν, ἤγουν, ἀπολέσωσιν. εὐπρόσωπον δὲ ἀφορμὴν ἐπιθεῖναι τῇ κατὰ τοῦ σωτῆρος ἐπιβουλῇ θέλοντες, καὶ τὸν λαὸν κινῆσαι κατ᾽ αὐτοῦ μηχανώμενοι, προφασίζονται τὸν φόβον τῶν ῥωμαίων, ὅτι ἐὰν πάντες πιστεύσωσιν εἰς αὐτὸν, ὑποπτευθήσεται τυραννίδα μελετᾶν, καὶ ἐλεύσονται οἱ ῥωμαῖοι, καὶ ἀπολέσουσι πάντας, ὡς κοινωνοὺς τῆς τυραννίδος καὶ ἀποστασίας.

Καὶ μὴν αὐτὸς μὲν ἀποστασίαν οὐκ ἐδίδαξεν, ἀλλὰ καὶ μᾶλλον ἐπέτρεψε κῆνσον ἀποδοῦναι καίσαρι, καὶ βουλομένων τῶν ὄχλων ποιῆσαι αὐτὸν βασιλέα, ἔφυγε, καὶ εὐτελῶς περιήρχετο, καὶ βίον ἄριστον ὑπετίθετο, ἅπερ ἀναίρεσίς ἐστι μᾶλλον τυραννίδος· [αὐτοὶ[9]) δὲ, εἰ καὶ μὴ προσδοκῶντες, ἀλλ᾽ ἐκ φθόνου προεφασίσαντο τὴν ῥωμαίων ἀπώλειαν, ὅμως πεπόνθασιν, ἃ προεφασίσαντο, οὐ διότι ἐπείθοντο τῷ χριστῷ, ἀλλὰ διότι οὐκ ἐπείθοντο. δι᾽ ἐκεῖνον γὰρ προεδόθησαν, ὡς καὶ ἰώσηπος[1]) μαρτυρεῖ. καὶ αὐτοὶ μὲν προεφασίζοντο ἀνελεῖν αὐτὸν, ἵνα μὴ ἐξολοθρευθῶσιν ὑπὸ ῥωμαίων· ἐπεὶ δὲ ἀνεῖλον, ἐξωλοθρεύθησαν· καὶ ἅπερ, ὡς διαφευξόμενοι ἔπραξαν, ταῦτα, ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον.]

Verſ. 49. Εἷς — καϊάφας. Ὀνομαζόμενος, δηλονότι.[2])

Verſ. 49. Ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου. Ἐξοκειλάντων γὰρ εἰς παρανομίας, ὁ δυνάμενος ἐνιαυσιαίαν ὠνεῖτο τὴν ἀρχιερωσύνην ἀπὸ τῶν ῥωμαίων, καὶ αὐτὸς μὲν ἦρχεν ἐν τῷ ἐνιαυτῷ αὐτοῦ,

[2]) Omiſſis his duobus vocabulis, textum coniunxit Hentenius. Eorum loco autem in contextu, poſt Caiaphas, addidit *nomine.*

tinebat: qui vero ante eum tenuerant, assidebant illi, simulque cum eo consultabant, dicti et ipsi pontifices, quod etiam ipsi principatum tenuissent, de quibus etiam in euangelio iuxta Matthaeum significauimus.

Vers. 49. *Dixit — quicquam.* Quod vtile sit, quod expediat, adeo segniter affecti.

Vers. 50. *Nec — v. 51. dixit.* Hoc: Quidnam? Vt vnus homo moriatur pro populo.

Vers. 51. *Sed — natione.* Non quod dignus esset, vaticinatus est, sed quod pontifex esset anni illius: non propter propriam virtutem, sed propter pontificalem dignitatem. Adhuc enim diuina gratia in templo permanebat: quae ore illius vtens, cor non tetigit.

Prophetauit autem, quod futurum esset, vt Iesus moreretur pro natione Iudaeorum. Pro ipsis namque mortuus est, vt eos saluos faceret: dicebat enim, Non sum missus, nisi ad oues perditas domus Israël. Et rursum, Et animam meam pono pro ouibus. Ne autem pro ipsis solis mori putetur, addit euangelista:

Vers. 52. *Nec — vnum.* Sicut enim non pro solis Iudaeis incarnatus est, verum etiam pro caeteris: ita sane et mortuus est non pro solis illis, sed et pro his. Nam, quae docebat et faciebat, etiam pro his erant: vt, quum illi in primis didicissent, veluti qui etiam primi Deum cognouerant: postmodum et alios docerent. Filios itaque Dei, Gentes nominauit, vt qui filii erant futuri.

Et has siquidem Christus oues suas, ab eo, quod futurum erat, appellauit. Dispersas autem ob

3) συμβουλευταὶ ἦσαν.
4) Inclusa absunt. A.
5) Inclusa absunt. A.

του, οἱ πρὸ αὐτοῦ δὲ συνήδρευον καὶ [3]) συνεβούλευον αὐτῷ, καλούμενοι καὶ αὐτοὶ ἀρχιερεῖς, ὡς καὶ αὐτοὶ ἀρχιερατεύσαντες. [περὶ [4]) ὧν καὶ ἐν τῷ κατὰ ματθαῖον εὐαγγελίῳ δεδηλώκαμεν.]

Verſ. 49. Εἶπεν — οὐδέν. Οὐδὲν συμφέρον, οὐδὲν χρήσιμον, οὕτω ῥαθύμως διακείμενοι.

Verſ. 50. Οὐδὲ — v. 51. εἶπε. Τοῦτο ποῖον; τὸ ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ.

Verſ. 51. Ἀλλ᾽ — ἔθνους. Οὐχ ὡς ἄξιος, προεφήτευσεν· ἀλλ᾽, ὡς ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου· οὐ δι᾽ οἰκείαν ἀρετήν· ἀλλὰ διὰ τὸ ἀρχιερατικὸν ἀξίωμα. ἔτι γὰρ ἡ θεία χάρις παρέμενε τῷ ναῷ, ἥτις τῷ στόματι αὐτοῦ χρησαμένη, τῆς καρδίας οὐχ ἥψατο.

Προεφήτευσε δὲ, ὅτι ἔμελλεν ὁ ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους τῶν ἰουδαίων. ὑπὲρ αὐτῶν γὰρ ἀπέθανε, σπουδάζων σῶσαι αὐτούς. ἔλεγε γάρ· οὐκ [t]) ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. [καὶ [5]) πάλιν ἔλεγε· καὶ [v]) τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. ἵνα δὲ μὴ δόξῃ ὑπὲρ αὐτῶν μόνων ἀποθανεῖν, προστίθησι.]

t) Matt. 15, 24.

v) Io. 10, 15.

Verſ. 52. Καὶ — ἕν. Ὥσπερ γὰρ ἐνηνθρώπησεν, οὐχ ὑπὲρ τῶν ἰουδαίων μόνων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ἐθνῶν· οὕτως ἄρα καὶ ἀπέθανεν, οὐχ ὑπὲρ ἐκείνων μόνων, ἀλλὰ καὶ ὑπὲρ τούτων. ἃ γὰρ ἐδίδασκε καὶ ἐποίει, καὶ ὑπὲρ τούτων ἦσαν, ἵνα προηγουμένως ἐκεῖνοι μαθόντες, ὡς καὶ πρῶτοι πάλαι τὸν θεὸν ἐπιγνόντες, ἔπειτα καὶ τούτους διδάξωσι. τέκνα μὲν οὖν τοῦ θεοῦ, τὰ ἔθνη ὠνόμασεν, ὡς μέλλοντα γενέσθαι.

Καὶ γὰρ καὶ ὁ χριστὸς πρόβατα αὐτοῦ ταῦτα προσηγόρευσεν, ἀπὸ τοῦ μέλλοντος. διεσκορπισμένα

ob varia de Deo dogmata, eo quod bonum non haberent pastorem. Congregaret in vnum gregem, in vnam fidem. Caeteri vero non quasi vaticinium, sed quasi consilium suscipientes, suffragiis illud comprobant.

Verſ. 53. *Ab — eum.* Atqui etiam prius illum occidere tentabant, vt praedictum est, sed nunc cum consilio et deliberatione sententiam decreuerunt: nunc cum omni animi promtitudine et studio annisi sunt.

Verſ. 54. *Iesus — suis.* Iam non manifeste ambulabat, sed abiit in regionem, quae deserto vicina erat, videlicet in ciuitatem, quae dicebatur Ephraim, de tribu Ephraim. Nam humano more seipsum seruabat, dum adhuc tempus expectaret. Quomodo ergo putas, turbabantur discipuli videntes, illum humano more sese seruantem?

Verſ. 55. *Instabat — pascha.* De regione Ierosolymorum.

Verſ. 55. *Vt purificarent se.* Secundum legem.

Verſ. 56. *Quaerebant — festum?* Pulchra purificatio cum insidiis et ad homicidium promtitudine. Festum itaque commutauerunt in illius venationem.

Verſ. 57. *Dederant — eum.* Admirandum pontificum praeceptum, proditio ad mortem. O scelestos, quibus primordiis festum honorant! quibus animis caedem spirantibus celebraturi sunt!

Cap.

δὲ, τοῖς διαφόροις περὶ Θεοῦ δόγμασι, παρὰ τὸ μὴ ἔχειν ποιμένα καλόν· συναγάγῃ δὲ, εἰς ἓν ποίμνιον, εἰς μίαν πίστιν. οἱ δὲ λοιποὶ, οὐχ ὡς προφητείαν, ἀλλ' ὡς συμβουλὴν τὸν λόγον δεξάμενοι, κυροῦσιν αὐτόν.

Vers. 53. Ἀπ' — αὐτόν. Καὶ μὴν καὶ πρότερον ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὡς προείρηται· ἀλλὰ νῦν μετὰ συμβουλῆς καὶ σκέψεως ἐκύρωσαν τὴν γνώμην, νῦν μετὰ πάσης προθυμίας καὶ σπουδῆς ἐπεχείρησαν.

Vers. 54. Ἰησοῦς — αὐτοῦ. Οὐκέτι φανερῶς περιεπάτει, ἀλλὰ ἀπῆλθεν εἰς τὴν χώραν τὴν ἐγγὺς τῆς ἐρήμου, ἤγουν, εἰς πόλιν ἐφραὶμ [6]) ὀνομαζομένην, ἀπὸ τοῦ φυλάρχου ἐφραίμ. ἀνθρωπίνως γὰρ σώζει ἑαυτὸν, ἀναμένων ἔτι τὸν καιρόν. πῶς οὖν οἴει θορυβεῖσθαι τοὺς μαθητὰς, ὁρῶντας αὐτὸν ἀνθρωπίνως σωζόμενον;

Vers. 55. Ἦν δὲ ἐγγὺς — τοῦ πάσχα. Ἐκ τῆς χώρας τῶν ἱεροσολύμων.

Vers. 55. Ἵνα ἁγνίσωσιν ἑαυτούς. Κατὰ τὸν νόμον.

Vers. 56. Ἐζήτουν — ἑορτήν; Καλὸς ἁγνισμὸς, μετὰ ἐπιβουλῆς καὶ προαιρέσεως μιαιφόνου. τὴν ἑορτὴν οὖν ἐποιοῦντο θήρατρον αὐτοῦ.

Vers. 57. Δεδώκεισαν — αὐτόν. Θαυμαστὴ τῶν ἀρχιερέων ἡ ἐντολὴ, προδοσία ἐπὶ θανάτῳ. ὢ τῶν ἀνοσίων! οἵοις μὲν προοιμίοις τιμῶσι τὴν ἑορτήν; οἵαις δὲ ψυχαῖς, φόνου πνεούσαις, ἑορτάζειν μέλλουσιν;

6) λεγομένην. A.

Cap. XII. v. 1. *Iesus ergo* — v. 3. 10)

Ipse quidem eo venit, paulatim Ierosolymam appropinquans; quum iam suae passionis tempus instaret, simul autem, vt discipuli Lazarum, qui a mortuis surrexerat, epulantem inspicerent. Sorores vero coenam ei parauerunt, tanquam magistro et benefactori summo, ac plus quam homini.

Cap. XII. De ea, quae vnxit dominum vnguento.

Vers. 3. *Maria ergo — preciosae.* Pisticae, hoc est, purae, et ad puritatem ac munditiem ordinatae: aut etiam appellatio quaedam est haec vnguenti.

Vers. 3. *Vnxit pedes Iesu.* Tanquam domini sui, tanquam Dei.

Vers. 3. *Et — eius.* Ostendens magnitudinem, qua eum prosequebatur, reuerentiae ac fidei. Lege quoque sexagesimum secundum caput euangelii secundum Matthaeum, quod etiam ad praesentia conducit.

Vers. 3. *Domus autem — vnguenti.* Nam et mundus suaui Christi Iesu odore implendus erat.

Cap. XIII. De verbis Iudae.

Vers. 4. *Dicit — v. 6. portabat.* De hoc manifeste dictum est praedicto capite, vbi habetur, Amen dico vobis, vbicunque praedicatum fuerit hoc

10) καὶ, addit. A.

Cap. XII. v. 1. Ὁ οὖν ἰησοῦς — v. 2. αὐτῷ.
Αὐτὸς μὲν ἦλθεν ἐκεῖ, πλησιάζων κατὰ μικρὸν τοῖς ἱεροσολύμοις, ἐγγίζοντος ἤδη τῦ καιρῦ[7]) τῦ πάθυς αὐτῦ· ἅμα δὲ, ἵνα[8]) οἱ μαθηταὶ θεάσωνται τὸν ἐκ νεκρῶν ἀναςάντα λάζαρον ἐσθίοντα. αἱ ἀδελφαὶ δὲ ἐποίησαν αὐτῷ δεῖπνον, ὡς διδασκάλῳ, καὶ εὐεργέτῃ, καὶ ὑπὲρ ἄνθρωπον.

Κεφ. ΙΒ. Περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.

Verſ. 3. Ἡ οὖν μαρία — πολυτίμου. Πιςικῆς, ἤτοι, ἀκράτυ καὶ καταπεπιςευμένης εἰς καθαρότητα, ἢ καὶ προσηγορία τις ἦν τούτο μύρου.

Verſ. 3. Ἤλειψε τοὺς πόδας τοῦ ἰησοῦ. Ὡς δεσπότυ αὐτῆς, ὡς θεῦ.

Verſ. 3. Καὶ — αὐτῦ. Ἐνδεικνυμένη τὸ μέγεθος τῆς εἰς αὐτὸν τιμῆς καὶ πίςεως. [ἀνάγνωθι[9]) δὲ καὶ τὸ ἑξηκοςὸν δεύτερον κεφάλαιον τῦ κατὰ ματθαῖον, χρησιμεῦον εἰς τὰ παρόντα.]

Verſ. 3. Ἡ δὲ οἰκία — μύρυ. Ἔμελλε γὰρ καὶ ὁ κόσμος πληρωθῆναι τῆς εὐωδίας τοῦ ἰησοῦ.

Κεφ. ΙΓ. Περὶ ὧν εἶπεν ἰούδας.

Verſ. 4. Λέγει — v. 6. ἐβάςαζεν. Εἴρηται περὶ τύτου σαφῶς ἐν τῷ δηλωθέντι κεφαλαίῳ, ἔνθα κεῖται τὸ· ἀμὴν[x]) λέγω ὑμῖν, ὅπου ἐὰν x) Matt. 26, 13.

8) Ante ἵνα, addit καὶ. A.
9) Incluſa abſunt. A.

hoc euangelium et caetera: et eorum totam quaere interpretationem.

Non autem arguit Christus Iudae propositum, magna clementia nitens eum conuertere. Verum, quomodo sciens ipsum furem, permisit omnino seruare marsupium? Propter illius imbecillitatem, vt inde suam fouens auaritiam, ob eam non incideret, in praeceptoris proditionem.

Vers. 7. *Ait — istud.* In diem sepulturae meae seruauit vnguentum[1], siue in tempus sepulchrae meae: tanquam vaticinata, propinquam esse mortem meam. Hoc autem planius scripsit Marcus, quod et de alia muliere dictum est. Ait enim: Praeuenit, vt vngeret corpus meum in sepulturam. Moris siquidem erat cum vnguentis sepelire corpora, vt conseruarentur.

Vers. 8. *Pauperes — habebitis.* Apud Marcum vero dixit, Semper pauperes habetis vobiscum, et quum volueritis, potestis illis benefacere. Dicendo autem, Me non semper habebitis: suggessit illis de caede sua, quae paulo post futura erat.

Vers. 9. *Cognouit — v. 11. Iesum.* Christum occidere quaerebant sumto praetextu, quod solueret sabbathum, et se Deo aequalem faceret, quodque multi in eum crederent. Lazarum vero quare? an quia reuixerat? quod ergo crimen est reuixisse? Itaque tota res est inuidia. Nam inuidebant non benefactori tantum, verum etiam beneficio affectis: ideo quoque caecum foras ejecerant,

[1]) Inclusa absunt. A.

[2]) Nemo opinetur, Hentenium legisse ἔχετε. Sed *habebitis* dedit, sententiam secutus. De confusione temporum supra disputauit in praefatione. Vide praefat. ad Euang. Matth. pag. 118.

[3]) Inclusa absunt. A.

ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς· καὶ ζήτησον τὴν ὅλην ἐξήγησιν αὐτοῦ.

[Οὐκ ἤλεγξε[x]) δὲ τὸν σκοπὸν τοῦ ἰούδα ὁ χριστὸς, τῇ πολλῇ μακροθυμίᾳ βουλόμενος ἐπιστρέψαι αὐτόν. ἀλλὰ πῶς, κλέπτοντα αὐτὸν εἰδὼς, βαλλαντιοφύλακα εἶναι αὐτὸν εἴασε; πάντως διὰ τὴν ἀσθένειαν ἐκείνου, ἵνα τὴν φιλαργυρίαν ἐκεῖθεν παραμυθούμενος, μὴ δι᾽ αὐτὴν ἐμπέσῃ εἰς προδοσίαν τοῦ διδασκάλου.]

Verſ. 7. Εἶπεν — αὐτό. Εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου ἐφύλαξε τὸ μύρον, ἤγουν, εἰς τὸν καιρὸν τοῦ ἐνταφιασμοῦ μου, ὡσανεὶ προφητεύουσα τὸν πλησιάζοντά μου θάνατον. τοῦτο δὲ φανερώτερον ὁ μάρκος ἔγραψεν, ῥηθὲν καὶ περὶ τῆς ἄλλης γυναικός. εἴρηκε γάρ· ὅτι[y]) προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. ἔθος γὰρ ἦν, μύροις ἐνταφιάζειν τὰ σώματα πρὸς τὸ διαρκεῖν.

y) Marc. 14, 8.

Verſ. 8. Τοὺς πτωχοὺς — ἔχετε.[2])

[Παρὰ[3]) δὲ τῷ μάρκῳ εἴρηκε· πάντοτε[z]) τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι.] εἰπὼν δέ· ὅτι ἐμὲ δὲ οὐ πάντοτε ἔχετε· ὑπόμνησιν αὐτοῖς ἐνέβαλε τῆς μετ᾽ ὀλίγον σφαγῆς αὐτοῦ.

z) Marc. 14, 7.

Verſ. 9. Ἔγνω — v. 11. ἰησοῦν. Τὸν μὲν χριστὸν ἐζήτουν ἀποκτεῖναι, προφασιζόμενοι, ὅτι λύει τὸ σάββατον, καὶ ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ θεῷ, καὶ ὅτι πολλοὶ πιστεύουσιν εἰς αὐτόν· τὸν δὲ λάζαρον διατί; διότι ἀνέζησε; καὶ ποῖον ἔγκλημα τὸ ἀναζῆσαι; φθόνος οὖν τὸ πᾶν. ἐφθόνουν γὰρ οὐ μόνον τῷ εὐεργετοῦντι, ἀλλὰ καὶ τοῖς εὐεργετουμένοις. διὸ καὶ τὸν τυφλὸν ἐξέβαλον ἔξω,

rant, et Lazarum interficere volebant: adeo erant non inuidi tantum, sed et veloces ad caedem. Propterea de eis quoque dicebat propheta, Manus eorum sanguine plenae sunt. Mordebat etiam illos, quod instante festo plurima turba illud relinqueret et ad eum curreret.

Vers. 12. *Postero* — v. 13. *ei.* Ne propter se Lazarum occiderent, Ierosolyma venit: simul autem, vt populus cum ramis sibi occurreret, et consternarentur insidiatores, possentque ad mentem sanam redire. Acceperunt autem ramos, in signum victoriae, his eum, tanquam mortis victorem, venerantes.

Vers. 13. *Et* — *Israël.* Hoc maxime Iudaeos praefocabat, persuasam esse turbam, quod a Deo veniret. Quaere autem quadragesimo quinto iuxta Matthaeum capite, vbi dicitur, Turbae vero, quae praeibant et quae sequebantur, clamabant dicentes, Hosia na filio Dauid, et eius lege interpretationem, ac sequentium duorum dictorum, pulchre admodum propositam.

Cap. XIV. De asello.

Vers. 14. *Nactus* — *illum.* Rursum in illo quaere expositionem principii capitis, totamque perlege, quum sit plurimum necessaria.

Nactus est autem asellum, ab his, quos miserat, discipulis adductum, quemadmodum caeteri scripserunt euangelistae. Illi vero omnia, quae de Lazaro erant, quaeque sequuntur vsque ad asinam et pullum praetermiserunt, quemadmodum et alia multa, tum miracula, tum dogmata: siue omnino obliti, siue potius diuiniori aliqua dispensatione,

καὶ τὸν λάζαρον ἀνελεῖν βουλεύονται. οὕτως ἦσαν οὐ φθονεροὶ μόνον, ἀλλὰ καὶ ταχεῖς εἰς φόνους. διὸ καὶ ὁ προφήτης περὶ αὐτῶν ἔλεγεν· αἱ[a]) χεῖρες αὐτῶν αἵματος πλήρεις. ἔδακνε δὲ αὐτοὺς καὶ τὸ, τῆς ἑορτῆς ἐγγιζούσης, πολὺν ὄχλον ἀφεῖναι ταύτην, καὶ τρέχειν πρὸς αὐτόν. a) Ies. 1, 15.

Verſ. 12. Τῇ ἐπαύριον — v. 13. αὐτῷ. Ἵνα μὴ δι' αὐτὸν ἀνέλωσι τὸν λάζαρον, ἔρχεται πρὸς τὰ ἱεροσόλυμα· ἅμα δὲ, ἵνα καὶ ὁ ὄχλος μετὰ τῶν βαΐων ὑπαντήσῃ αὐτῷ, καὶ καταπλαγῶσιν οἱ ἐπιβουλεύοντες, καὶ δυνηθῶσι συνιέναι. ἔλαβον δὲ τὰ βαΐα, σύμβολον νίκης, τούτοις αὐτὸν, ὡς νικητὴν τοῦ θανάτου, γεραίροντες.

Verſ. 13. Καὶ — ἰσραήλ. Τοῦτο μάλιστα τοὺς ἰουδαίους ἀπέπνιγε, τὸ πεισθῆναι τὸν ὄχλον, ὅτι ἀπὸ θεοῦ ἔρχεται. ζήτησον δὲ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον, τό· οἱ[b]) δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες, ὡσαννὰ τῷ υἱῷ δαυΐδ· καὶ ἀνάγνωθι τὴν ἑρμηνείαν αὐτοῦ τε καὶ τῶν ἑφεξῆς δύο ῥητῶν, ἄριστα ἐκτεθειμένην. b) Matth. 21, 9.

Κεφ. ΙΔ. Περὶ τοῦ ὄνου.

Verſ. 14. Εὑρὼν — αὐτό. Ζήτησον ἐν ἐκείνῳ πάλιν τὴν ἐξήγησιν τῆς ἀρχῆς τοῦ κεφαλαίου, καὶ ἀνάγνωθι πᾶσαν, ἀναγκαιοτάτην οὖσαν.

Εὗρε δὲ τὸ ὀνάριον ἀχθὲν ὑπὸ τῶν ἀποσταλέντων μαθητῶν, ὡς οἱ ἄλλοι ἱστόρησαν εὐαγγελισταί. ἐκεῖνοι γὰρ πάντα μὲν, τὰ κατὰ τὸν εἰρημένον λάζαρον καὶ τὰ ἑφεξῆς ἄχρι τῆς ὄνου καὶ τοῦ πώλου παρέδραμον, ὥσπερ καὶ ἄλλα πολλὰ θαύματα καὶ διδάγματα, εἴτε ἐπιλαθόμενοι ἁπλῶς, εἴτε καὶ κατά τινα θειοτέραν οἰκονομίαν, ὡς

ſatione, vt haberet et hic poſt ipſos, quae propria ſcriberet in euangelii confirmationem.

His ergo relictis, dicunt, Matthaeus quidem, quod vbi appropinquaſſent Ieroſolymis, veniſſentque Bethphage ad montem Oliuarum, tunc Ieſus miſit duos diſcipulos et caetera. Marcus vero, Dum appropinquant Ieroſolymis ad Bethphage et Bethaniam, iuxta montem Oliuarum, mittit duos e diſcipulis ſuis. Similiter autem et Lucas.

Apparet ergo quod egreſſus a domo Lazari, quum adhuc Bethaniae eſſet, miſit diſcipulos, duxeruntque aſinam et pullum. Ideo caeteri quidem euangeliſtae, tanquam ſimpliciter procedente verſus Ieroſolyma Chriſto, narrant: non interrumpentes ſermonem itineris verſus Ieroſyma, per eam, quae de Lazaro eſſet mentionem. Iohannes vero, quae ſilentio praeterita erant, latius ſcripſit: de pullo autem ac ſequenti itinere compendioſius, quod iam conſcripta eſſent.

Hoc autem etiam conſiderare oportet, quod hi, qui palmarum ramos geſtabant, exierunt obuiam, qui vero ramorum multitudinem ab arboribus caedebant ac ſternebant in via, poſtquam occurriſſent, caedebant, de quibus Matthaeus et Marcus dixerunt.

Verſ. 14. *Sicut* — v. 15. *aſinae.* Noli timere, nam manſuetus eſt, et non ſicut multi, qui tibi dominati ſunt, minax, et iniuſtus, ac tyrannus. Quaere autem, vbi praedicto capite dicitur, Hoc autem totum factum eſt, vt compleretur,

4) Incluſa abſunt. A. *ὑπερβάντες*, intellige, *οἱ λοιποὶ εὐαγγελισαὶ*, deinde *Φασὶ ματθαῖος μὲν* — *μάρκος δέ.*
5) Ita correxi, loco *ὅτι τε.*
6) *βηθσφαγὴ* legebatur.

ὡς ἂν ἔχοι καὶ οὗτος μετ' αὐτοὺς γράφειν ἰδικῶς, εἰς βεβαίωσιν τοῦ εὐαγγελίου.

[Ὑπερβάντες [4]) δὲ ταῦτά φασι, ματθαῖος μὲν ὅτι [5]) ὅτε ἤγγισαν [c]) εἰς ἱεροσόλυμα, καὶ ἦλθον εἰς [6]) βηθφαγὴ, πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, καὶ τὰ ἑξῆς· μάρκος δὲ ὅτι [d]) ὅτε ἤγγισεν [7]) εἰς ἱεροσόλυμα, εἰς βηθφαγὴ καὶ βηθανίαν, πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ· ὁμοίως δὲ καὶ [e]) λουκᾶς.

c) Matth. 21, 1.
d) Marc. 11, 1.
e) Luc. 19, 29.

Φαίνεται οὖν, ὅτι ἐξελθὼν ἀπὸ τοῦ οἴκου τοῦ λαζάρου, καὶ ἔτι ἐν βηθανίᾳ ὢν, ἀπέστειλε τοὺς μαθητὰς, καὶ ἤγαγον τὴν ὄνον, καὶ τὸν πῶλον. διὸ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ, ὡς ἁπλῶς ὁδεύοντος ἐπὶ τὰ ἱεροσόλυμα τοῦ χριστοῦ, διηγοῦνται, μὴ διακόψαντες τὸν λόγον τῆς ἐπὶ τὰ ἱεροσόλυμα πορείας, τῇ μνήμῃ τῇ κατὰ τὸν λάζαρον· ὁ δὲ ἰωάννης τὰ παρασεσιωπημένα μὲν πλατύτερον ἱστορεῖ· τὰ κατὰ τὸν πῶλον δὲ καὶ τὴν ἑξῆς ὁδὸν, ἐπιτομώτερον, ὡς προϊστορημένα.

Καὶ τοῦτο δὲ χρὴ ἐπιτηρῆσαι, ὅτι τὰ μὲν βαΐα τῶν φοινίκων βαστάζοντες ἐξῆλθον εἰς ὑπάντησιν. οὓς δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ, μετὰ τὸ ὑπαντῆσαι ἔκοπτον, περὶ ὧν ματθαῖος καὶ μάρκος εἶπον.]

Vers. 14. Καθώς — v. 15. ὄνου. Μὴ φοβοῦ, πραῢς γάρ ἐστι, καὶ οὐχ ὡς οἱ πολλοὶ τῶν βασιλευσάντων σου, ἀπηνὴς καὶ ἄδικος καὶ τύραννος. ζήτησον δὲ ἐν τῷ δηλωθέντι κεφαλαίῳ τό· τοῦτο [f]) δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν.

f) Matth. 21, 4.

7) Apud Marcum est, ἐγγίζουσιν. Nec aliter ibi in contextu habent Codd. Euthymii. Est ergo hic corruptio per negligentiam, ex loco parallelo Matthaei. Et Hentenius quidem ἤγγισαν, vt habet Matthaeus, videtur legisse.

tur, quod dictum est per prophetam et caetera: ibi siquidem interpretationem inuenies.

Quod si Iohannes nomen Mansuetus omisit, ne admireris: frequenter enim dictiones aliquas veteris testamenti relinquunt, aut quasi memoriae non occurrentes, aut quasi per ea, quae sequuntur declaratas. Nam quum super pullum sedeat asinae, mansuetus utique est ac modestus. Sed et Sedens ac Ascendens, idem significant, quum per eandem dictionem hebraicam significentur. Rursumque pullus asinae asinus est, et pullus filius subiugalis.

Vers. 16. *Haec — primo.* Haec, puta talia prophetica dicta, non cognouerunt ante crucem, quod de eo praedicta fuissent.

Vers. 16. *Sed — ei.* Postquam glorificatus est per crucem et resurrectionem: tunc per spiritus sancti descensionem recordati sunt, quod haec prophetica omnia propter eum scripta essent siue de eo, et quod haec omnia, quae scripta sunt fecerant ei Iudaei.

Vers. 17. *Testimonium igitur perhibebat — mortuis.* Testimonium perhibebat de signo, quod circa Lazarum ediderat.

Vers. 18. *Propterea — signum.* Turba quidem eorum, qui tunc crediderant, testimonium perhibebat: turba vero eorum, qui audierant, obuiam ei cum illis processit.

Vers. 19. *Pharisaei ergo — abiit.* Mundum dicunt multitudinem. Post eum abiit, hoc est, sequitur eum. Si igitur per pharisaeos intelligas insidiatores, sibiipsis indignantur, quod prae segnitie

ῥηθὲν διὰ τοῦ προφήτου, καὶ τὰ ἑξῆς. ἐκεῖ γὰρ εὑρήσεις τὴν ἑρμηνείαν.

Εἰ δὲ ἀφῆκεν ὁ ἰωάννης τὸ πραῢς, μὴ θαυμάσῃς. πολλάκις γὰρ λέξεις τινὰς τῶν παλαιῶν παραλιμπάνουσιν, ἢ ὡς μὴ ἐπὶ μνήμην ἰούσας, ἢ ὡς ἐμφαινομένας τοῖς ἑξῆς. ἐπεὶ γὰρ κάθηται ἐπὶ πῶλον ὄνου, πάντως πραῢς ἐστι καὶ ἐπιεικής. ἀλλὰ καὶ τὸ καθήμενος καὶ τὸ ἐπιβεβηκὼς, τὸ αὐτὸ δηλοῦσι, σημαινούσης ἀμφότερα τῆς ἑβραϊκῆς λέξεως· καὶ αὖθις ὁ πῶλος τῆς ὄνου, ὄνος ἐστὶ, καὶ πῶλος, υἱὸς ὑποζυγίου.

Verſ. 16. Ταῦτα — πρῶτον. Ταῦτα, ἤτοι τὰ τοιαῦτα προφητικὰ ῥητὰ, οὐκ ἔγνωσαν πρὸ τοῦ σταυροῦ, ὅτι περὶ αὐτοῦ ἦσαν.

Verſ. 16. Ἀλλ' — αὐτῷ. Ὅτε ἐδοξάσθη διὰ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, τότε διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος ἐμνήσθησαν, ὅτι ταῦτα τὰ προφητικὰ πάντα δι' αὐτὸν *) ἦσαν γεγραμμένα, ἤτοι, περὶ αὐτοῦ, καὶ ὅτι ταῦτα πάντα τὰ γεγραμμένα ἐποίησαν αὐτῷ οἱ ἰουδαῖοι.

Verſ. 17. Ἐμαρτύρει οὖν — νεκρῶν. Ἐμαρτύρει, περὶ τοῦ κατὰ τὸν λάζαρον σημείου.

Verſ. 18. Διὰ τοῦτο — σημεῖον. Ὁ ὄχλος μὲν τῶν τηνικαῦτα πιστευσάντων, ἐμαρτύρει· ὁ ὄχλος δὲ τῶν ἀκουσάντων, ὑπήντησεν αὐτῷ μετ' αὐτῶν.

Verſ. 19. Οἱ οὖν φαρισαῖοι — ἀπῆλθε. Κόσμον, τὰ πλήθη λέγουσιν· ὀπίσω δὲ αὐτοῦ ἀπῆλθεν, ἀντὶ τοῦ, ἀκολουθεῖ αὐτῷ. εἰ μὲν οὖν φαρισαίους ἐνταῦθα νοήσεις, τοὺς ἐπιβουλεύοντας, μέμφονται ἑαυτοῖς, ὡς οὐκ ἀνύουσιν οὐδὲν διὰ

*) Ita explicat τὸ ἐπ' αὐτῷ.

segnitie nihil proficiant: si vero eos, qui crediderant, sed fidem propter aliorum timorem occultabant, indignantur apud se insidiatoribus, quod frustra laborarent, nihilque proficerent.

Cap. XV. De Graecis, qui accesserunt.

Vers. 20. *Erant — festo.* Multi siquidem Graeci cultum amantes Iudaeorum, et cupientes fieri proselyti ascendebant et adorabant in festo.

Vers. 21. *Hi — videre.* Quum de eius fama audissent, cupiunt eum videre.

Vers. 22. *Venit — Andreae.* De Graecis istis, tanquam maiori.

Vers. 22. *Rursumque — v. 23. hominis.* Quia tunc futurum erat, vt moreretur, quum Iudaei de eius morte sententiam tulissent, Gentes vero ad eum accedere coepissent. Nunc autem et hoc et illud factum est: nam et dicti Graeci e Gentibus erant. Ait, Venit tempus, vt moriar: siquidem post mortem ac resurrectionem glorificandus erat in omnibus Gentibus, praedicato euangelio in vniuerso mundo.

Quumque extinxisse sibi visi sunt Iudaei eius gloriam, tunc in vniuerso orbe magis resplenduit. Quia ergo Iudaei cum deliberatione sententiam de eius morte tulerant, indignum erat Dei iustitia, vt diutius apud incurabiles permaneret, eosque, qui ad sanationem parati erant, despiceret. Et quare tunc

9) ἠσπάζοντο. A.

¹) πρώτῳ corrigendum, refertur enim ad ἀνδρέα. Atque ita Hentenius.

διὰ ῥαθυμίαν· εἰ δὲ μᾶλλον τοὺς πιςεύσαντας μὲν, κρύπτοντας δὲ τὴν πίςιν, διὰ τὸν φόβον τῶν ἄλλων· μέμφονται καθ' ἑαυτοὺς τοῖς ἐπιβουλεύουσιν, ὡς μάτην σπουδάζουσι, καὶ οὐκ ἀνύουσιν οὐδὲν.

Κεφ. ΙΕ. Περὶ τῶν προσελθόντων ἑλλήνων.

Vers. 20. Ἦσαν — ἑορτῇ. Πολλοὶ γὰρ ἕλληνες,[9]) ἀσπαζόμενοι τὴν θρησκείαν τῶν ἰουδαίων, καὶ θέλοντες γενέσθαι προσήλυτοι, ἀνέβαινον καὶ προσεκύνουν ἐν τῇ ἑορτῇ.

Vers. 21. Οὗτοι — ἰδεῖν. Ἀκούσαντες τὴν περὶ αὐτοῦ φήμην, θέλουσιν αὐτὸν ἰδεῖν.

Vers. 22. Ἔρχεται — ἀνδρέᾳ. Περὶ τῶν ἑλλήνων τούτων, ὡς[1]) πρώτων.

Vers. 22. Καὶ πάλιν — v. 23. ἀνθρώπου. Ἐπεὶ τότε ἔμελλεν ἀποθανεῖν, ὅτε οἱ μὲν ἰουδαῖοι κυρώσουσι τὸν αὐτοῦ θάνατον, τὰ δὲ ἔθνη ἄρξονται προσέρχεσθαι αὐτῷ· γέγονε δὲ ἤδη καὶ τοῦτο κἀκεῖνο· ἐξ ἐθνῶν γὰρ οἱ ῥηθέντες ἕλληνες· φησὶν, ἐλήλυθεν ὁ καιρὸς, ἵνα ἀποθάνω. μετὰ γὰρ τὸν θάνατον καὶ τὴν ἀνάςασιν, ἔμελλε δοξασθῆναι ἐν πᾶσι τοῖς ἔθνεσι, κηρυχθέντος τοῦ εὐαγγελίου ἐν ὅλῳ τῷ κόσμῳ. καὶ ὅτε ἔδοξαν οἱ ἰουδαῖοι σβέσαι τὴν δόξαν αὐτοῦ, τότε[2]) μᾶλλον ἔλαμψεν εἰς πᾶσαν τὴν οἰκουμένην.

[Ἐπεὶ[3]) οὖν ἰουδαῖοι μὲν μετὰ διασκέψεως ἐκύρωσαν τὸν αὐτοῦ θάνατον, τὰ ἔθνη δὲ ἐζήτησαν αὐτὸν, ἀνάξιον ἦν τῆς τοῦ θεοῦ δικαιοσύνης, παραμένειν ἔτι τοῖς ἀνιάτοις, καὶ περιορᾷν τοὺς ἑτοίμους εἰς θεραπείαν. καὶ διατί μὴ μετέβη τό-τε

2) μᾶλλον, abest. A. 3) Inclusa absunt. A.

tunc ad Gentes non transiuit? Vt omnem Iudaeorum de perfidia responsionem circumcluderet: non solum enim ipse non transiuit, sed nec discipulos in viam Gentium abire permisit, passusque ab ingratis innumera, non reliquit illos: docens, sanans ac modis omnibus beneficia praestans, donec illum occiderunt.

Vers. 24. *Amen — adfert.* Discipulos consolatur, ostendens per exemplum, quod vtile sit ac necessarium, vt ipse moriatur: nam in modum tritici mors eius multos adferet fructus, eritque fertilis ac vtilis. Propter praedictam enim caussam post mortem suam discipulos suos missurus erat in omnes gentes, vt iam mors eius vita esset Gentium. Mortem autem tritici intellige mihi corruptionem ipsius. Deinde illos quoque accendit, vt mortem despiciant, nec in propositis periculis retinendae vitae cupidi sint, supra fidem, quae in ipsum est.

Vers. 25. *Qui — eam.* Qui tempore martyrii vitae retinendae cupidus est, obsequens animae suae plus, quam oporteat, amans eam male concupiscentem. Ne gradiaris, ait, in concupiscentiis animae tuae. Qui amat eam supra Deum, perdet eam in futuro seculo, hoc est, in supplicium coniiciet, vt qui fidem prodiderit.

Vers. 25. *Et — eam.* Qui contrarium facit, hoc est, qui retinendae vitae non nimis cupidus est et caetera. Similia quoque dixit iuxta finem decimi noni iuxta Matthaeum capitis, et aliis in locis.

Vers. 26

4) αὐτοὺς, omisso πολλοὺς. B.
5) αὐτοῦ, abest. A.
6) μαρτυρίας. B.
7) Ita Chrysost. hunc locum laudat. T. VIII. p. 400. C.

τὰ ἐπὶ τὰ ἔθνη; διὰ τὸ περιελεῖν πᾶσαν ἀπολογίαν ἀγνωμοσύνης τῶν ἰουδαίων. οὐ μόνον γὰρ αὐτὸς οὐ μετέβη, ἀλλ' ἐδὲ τὰς μαθητὰς ἀφῆκεν εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, καὶ μυρία πάσχων ὑπὸ τῶν ἀχαρίςων, ἐκ ἀνῆκε διδάσκων, θεραπεύων, καὶ πάντα τρόπον εὐεργετῶν, ἕως ἀνεῖλον αὐτόν.]

Verſ. 24. Ἀμὴν — φέρει. Παραμυθέμενος τὲς μαθητὰς, διὰ παραδείγματος ἀποδείκνυσιν, ὅτι συμφέρον καὶ ἀναγκαῖον, ἀποθανεῖν αὐτόν. τρόπον γὰρ σίτε ὁ θάνατος[4]) αὐτοῦ πολλοὺς καρποφορήσει, καὶ γονιμώτατος ἔςαι, καὶ κερδαλέος. διὰ τὴν προῤῥηθεῖσαν γὰρ αἰτίαν μετὰ τὸν θάνατον αὐτε ἔμελλον οἱ μαθηταὶ[5]) αὐτοῦ ἀποςαλῆναι εἰς τὸ μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ λοιπὸν ὁ θάνατος αὐτε ζωὴ τῶν ἐθνῶν. θάνατον δὲ σίτε νόει μοι, τὴν φθορὰν αὐτοῦ. εἶτα παραθήγει καὶ αὐτοὺς ἐπὶ τὸ καταφρονεῖν τοῦ θανάτου, καὶ μὴ φιλοψυχεῖν ἐν τοῖς προκειμένοις κινδύνοις ὑπὲρ τῆς εἰς αὐτὸν πίςεως.

Verſ. 25. Ὁ — αὐτήν. Ὁ φιλοψυχῶν ἐν καιρῷ[6]) μαρτυρίου, ὁ χαριζόμενος τῇ ψυχῇ παρὰ τὸ δέον, ὁ φιλῶν αὐτὴν, ἐπιθυμέσαν κακῶς· μὴ[g]) πορεύου,[7]) γάρ φησιν, ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς σου· ὁ φιλῶν αὐτὴν παρὰ τὸν θεὸν, ἀπολέσει αὐτὴν ἐν τῷ μέλλοντι αἰῶνι, [τετέςιν,[8]) εἰς κόλασιν ἐμβαλεῖ, ὡς προδεδωκυῖαν τὴν πίςιν.] g) Sirac. 18,30.

Verſ. 25. Καὶ — αὐτήν. Ὁ τἐναντίον ποιῶν, ἤγουν, ὁ μὴ φιλοψυχῶν, καὶ τὰ ἑξῆς. εἴρηκε δὲ τοιαῦτα καὶ πρὸς τῷ τέλει τοῦ ἐννεακαιδεκάτε κεφαλαίε τε κατὰ ματθαῖον [καὶ[9]) ἐν ἄλλοις.]

8) Incluſa abſunt. A.
9) Incluſa abſunt. A.

Verſ. 26. *Si — ſequatur.* Me ſequatur; per imitationem, hoc eſt, ſi quis meus voluerit eſſe diſcipulus, me imitetur. Quemadmodum enim neceſſe eſt, miniſtrum ſequi dominum, ita quoque diſcipulum oportet ſequi praeceptorem.

Verſ. 26. *Et — erit.* Aut idem rurſum proteſtans dicit, aut, poſtquam de praeſenti malorum tolerantia dixit, de futura etiam addidit fruitione, Qui me ſequitur in coelum conſcendet.

Verſ. 26. *Et — pater.* Glorificabit eum, tanquam miniſtrum legitimi filii ſui. Hoc autem dixit; quoniam adhuc patrem eſſe maiorem eo putabant. Ne quis autem dicat, quod facile de morte philoſophatur, vt qui extra humanam ſit imbecillitatem, oſtendit, quod et ipſe, tanquam homo, indutus eſt naturae infirmitate, ideo primo naturae concedit, vt quod ſuum eſt patiatur, deinde ſeipſum ad tolerantiam confortat, propter id, quod neceſſarium eſt ac vtile. Vide enim, quid dicat.

Verſ. 27. *Nunc — turbata eſt.* Humano modo commota angore trepidat propter inſtantem mortem.

Verſ. 27. *Et quid dicam?* Haeret prae timore.

Verſ. 27. *Pater — hac.* Libera me ex hoc terribili ac funeſto tempore. Poſtquam haec, vt homo dixit, humana formidine circumdatus, ſeipſum refocillat ac confortat dicens:

Verſ. 27. *Sed — hanc.* Propterea ſeruatus ſum in hoc tempus, vt nunc morerer: iam itaque viriliter ferre oportet. Relicta ergo nobis natu-

Verf. 26. Ἐὰν — ἀκολουθείτω. Ἐμοὶ ἀκολουθείτω, διὰ μιμήσεως, τουτέστιν, ἐὰν ἐμοὶ μαθητεύηταί τις, ἐμὲ μιμείσθω. ὥσπερ γὰρ ἀναγκαῖον τὸν ὑπηρέτην ἕπεσθαι τῷ κυρίῳ, οὕτω καὶ τὸν μαθητὴν τῷ διδασκάλῳ.

Verf. 26. Καὶ — ἔσται. Ἢ πάλιν τὸ αὐτὸ λέγει, διαμαρτυρόμενος, ἢ περὶ τῆς ἐνεστώσης κακοπαθείας εἰπὼν, προσέθηκε καὶ περὶ τῆς μελλούσης ἀπολαύσεως, ὅτι ὁ ἐμοὶ ἀκολουθῶν, εἰς τὸν οὐρανὸν ἀναβήσεται.

Verf. 26. Καὶ — πατήρ. Δοξάσει αὐτὸν, ὡς ὑπηρέτην τοῦ γνησίου υἱοῦ αὐτοῦ. τοῦτο δὲ εἶπε, διότι ἔτι τὸν πατέρα μείζονα αὐτοῦ ἐνόμιζον, ἵνα δὲ μὴ εἴπῃ τις, ὅτι ἐκτὸς τῆς ἀνθρωπίνης ἀσθενείας ὢν, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, δείκνυσιν, ὅτι καὶ αὐτὸς, ὡς ἄνθρωπος, περίκειται τὴν ἀσθένειαν τῆς φύσεως. διὸ πρῶτον μὲν συγχωρεῖ τῇ φύσει πάσχειν τὸ ἴδιον, εἶτα παραθαῤῥύνει ἑαυτὸν εἰς τὸ ὑπομεῖναι, διὰ τὸ ἀναγκαῖον καὶ χρήσιμον. ὅρα γάρ, τί φησι;

Verf. 27. Νῦν — τετάρακται. Ἀνθρωπίνως τεθορύβηται, ἀγωνιῶσα διὰ τὸν ἐγγίζοντα θάνατον.

Verf. 27. Καὶ τί εἴπω; Ἀπορούμενος, ὑπὸ τῆς ἀγωνίας.

Verf. 27. Πάτερ — ταύτης. Ῥῦσαί με ἐκ τοῦ καιροῦ τούτου, τοῦ φοβεροῦ, τοῦ θανατηφόρου. ταῦτα εἰπὼν, ὡς ἄνθρωπος, καὶ ὡς ἀνθρωπίνην δειλίαν περιβεβλημένος, ἀνακτᾶται ἑαυτὸν καὶ ἐπιῤῥώννυει λέγων·

Verf. 27. Ἀλλὰ — ταύτην. Διὰ τοῦτο ἐτηρήθην ἕως τοῦ νῦν καιροῦ, διὰ τὸ ἀποθανεῖν ἐν τούτῳ, καὶ λοιπὸν χρὴ φέρειν γενναίως. ἀπολι-

naturalis timoris mensura ac fortitudinis monumento, rursus ait.

Vers. 28. *Pater — nomen.* Quod apud coelestes virtutes glorificatum est, glorifica etiam illud coram hominibus terram incolentibus, per ea, quae in morte mea futura sunt signa: glorifica illud per gloriam nominis mei, siquidem mea gloria tua est.

Vers. 28. *Venit — glorificabo.* Glorificaui in his, quae facta sunt signis: et rursus glorificabo in his, quae in morte tua fient.

Vers. 29. *Turba ergo — esse factum.* Qui vocem non intellexerant, sed sonum duntaxat eius perceperant.

Vers. 29. *Alii — loquutus est.* Qui vocem intellexerant.

Vers. 30. *Respondit — vos.* Non propter me, vt discam, quod non scio. Nam omnia, quae patris sunt noui, sed propter vos, vt id discatis, de quo dubitatis, puta, quod a Deo sim: quomodo enim super me vox de coelo descendisset, nisi a Deo essem? quomodo praeterea Deus nomen suum et glorificasset, et rursus glorificaturus esset per me?

Vers. 31. *Nunc — huius.* Iam nunc hominum huius mundi vltio fit per meam punitionem. Aliis siquidem omnibus hominibus mors, peccati poena est. Nam omnes, inquit, peccauerunt, et per peccatum mors introiuit: mihi vero nequaquam, quia nunquam peccaui. Quum ergo diabolus etiam mihi, qui peccati expers semper permansi, mortem intulit: nunc praesenti tempore irrogatae mihi iniuriae poenas luit, quippe tyrannidis subuersionem:

τῶν οὖν ἡμῖν μέτρον φυσικῆς δειλίας, καὶ ὑπο-γραμμὸν ἀνδρείας, πάλιν λέγει.

Vers. 28. Πάτερ — ὄνομα. Δεδοξασμένον ὂν παρὰ ταῖς ἐρανίαις δυνάμεσι, δόξασον αὐτὸ καὶ παρὰ τοῖς ἐπὶ γῆς ἀνθρώποις, διὰ τῶν μελλόντων ἐπὶ τῷ θανάτῳ μου γενέσθαι σημείων. δόξασον αὐτὸ, διὰ τῆς τοῦ ἐμοῦ ὀνόματος δόξης. ἡ γὰρ ἐμὴ δόξα, σή.

Vers. 28. Ἦλθεν — δοξάσω. Ἐδόξασα, ἐν τοῖς προγεγενημένοις σημείοις, καὶ πάλιν δοξάσω, ἐν τοῖς ἐπὶ τῷ θανάτῳ σου γενησομένοις.

Vers. 29. Ὁ οὖν ὄχλος — γεγονέναι. Οὐ συνιεὶς τῆς φωνῆς, ἀλλὰ τὸν ἦχον αὐτῆς μόνον κατασχών.

Vers. 29. Ἄλλοι — λελάληκε. Συνιέντες αὐτῆς.

Vers. 30. Ἀπεκρίθη — ὑμᾶς. Οὐ δι' ἐμὲ, ἵνα μάθω, ὃ οὐκ οἶδα. πάντα γὰρ οἶδα τὰ τοῦ πατρὸς, ἀλλὰ δι' ὑμᾶς, ἵνα μάθητε, περὶ οὗ ἀμφιβάλλετε, ὅτι ἐκ τοῦ θεοῦ εἰμι. πῶς γὰρ ἂν ἦλθε φωνὴ ἐκ τοῦ ἐρανοῦ ἐπ' ἐμὲ, εἰ μὴ ἐκ τοῦ θεοῦ εἰμι; πῶς δ' ἂν ὁ θεὸς τὸ ὄνομα αὐτοῦ καὶ ἐδόξασε καὶ πάλιν δοξάσει δι' ἐμοῦ;

Vers. 31. Νῦν — τούτου. Νῦν ἤδη ἐκδίκησις τῶν τοῦ κόσμου τούτου ἀνθρώπων, διὰ τῆς ἐμῆς ἐκδικήσεως. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις ὁ θάνατος ἐπιτίμιον ἁμαρτίας ἐστί· πάντες[h]) γὰρ ἥμαρτον, φησὶ καὶ, διὰ[i]) τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος· ἐμοὶ δὲ, ἐδαμῶς· διότι ἐδαμῶς ἥμαρτον. ἐπεὶ οὖν κἀμοὶ τὸν θάνατον ὁ διάβολος ἐπάγει, ἀναμαρτήτῳ μεμενηκότι, νῦν ἐν τῷ ἐνεστῶτι καιρῷ δίκην δίδωσι τῆς ἐμῆς ἀδικίας, τὴν καθαίρεσιν τῆς τυραννίδος. αὕτη δὲ ἡ δίκη,

h) Rom. 3, 23.
i) Rom. 5, 12.

ſionem: nam mulcta ipſa, ſiue punitio, mundi huius eſt vltio: praeſens itaque repenſio contumeliae, quam mihi intulit, vltio eſt, et violentiae aduerſus primos generis propagatores totumque genus irrogatae.

Verſ. 31. *Nunc — foras.* Extra huiusmodi principatum, quem fraude acquiſiuit. Nam quia olim veterem Adam per ligni cibum e regno mundi eiecit: nouus nunc Adam ipſum per crucis lignum e mundi regno eiecit, progenitoris inobedientiam ſua curans obedientia.

Verſ. 32. *Et ego — meipſum.* Si adactus fuero in crucem, omnes vndique, qui fidem ſuſceperint, per eam traham ad meipſum. Et vere in cruce exaltatus, latronem primum attraxit, et centurionem, eosque, qui ſe cum illo ſeruabant, hinc coepit attrahere. Traham, inquit, tanquam a tyranno detentos, ipſo primum tyranno deiecto.

Hanc autem attractionem alibi Raptum vocauit dicens: Quomodo poteſt quis ingredi in domum fortis ac vaſa eius diripere, niſi primum alligauerit fortem, et tunc domum eius diripiet? Atqui ſuperius dixit, Nemo poteſt venire ad me, niſi pater, qui miſit me, traxerit eum: hic autem ait, Omnes traham ad meipſum, non contraria ſignificans, ſed quae patris ſunt ſibi concilians ac communia omnia oſtendens, et aequalitatem per talia demonſtrans.

Verſ. 33.

[1]) Malim οὖν pro νῦν, quae duo alibi etiam in his Codicibus confuſa eſſe animaduerti.

[2]) Durum hoc. Ac fortaſſe aliquis maluerit, διὰ τῆς τοῦ ξύλου βρώσεως. Sed mox huc refertur, διὰ τοῦ ξύλου τῆς ϛαυρώσεως. Membrorum ergo aequalitate excuſatur.

αἴτιον, ἡ κόλασις, τοῦ κόσμου τούτου ἐκδίκησίς ἐστι. λοιπὸν[1]) νῦν ἡ ἐκδίκησις τῆς εἰς ἐμὲ ἐπηρείας, ἐκδίκησίς ἐστι τῆς εἰς τοὺς γενάρχας καὶ ὅλον τὸ γένος ἐπηρείας.

Vers. 31. Νῦν — ἔξω. Ἔξω τῆς τοιαύτης ἀρχῆς, ἣν δι' ἀπάτης ἐκτήσατο. ἐπεὶ γὰρ αὐτὸς διὰ τοῦ ξύλου τῆς[2]) βρώσεως πάλαι τὸν παλαιὸν ἀδὰμ ἐξέβαλε τῆς βασιλείας τοῦ κόσμου· [αὐτὸν[3]) διὰ τοῦ ξύλου τῆς σταυρώσεως νῦν ὁ νέος ἀδὰμ ἐκβάλλει τῆς βασιλείας τοῦ κόσμου,] τὴν τοῦ προπάτορος παρακοὴν διὰ τῆς ἑαυτοῦ ὑπακοῆς ἰασάμενος.

Vers. 32. Κἀγὼ — ἐμαυτόν. Ἐὰν ἀναχθῶ ἐπὶ τὸν σταυρὸν, πάντας πανταχόθεν τοὺς δεκτικοὺς τῆς πίστεως ἑλκύσω πρὸς ἐμαυτὸν δι' αὐτῆς. καὶ οὕτως, ὑψωθεὶς ἐπὶ τοῦ σταυροῦ, πρῶτον εἵλκυσε τὸν λῃστὴν, καὶ τὸν ἑκατόνταρχον, καὶ τοὺς μετ' αὐτοῦ τηροῦντας αὐτὸν, ἐντεῦθεν ἀρξάμενος ἑλκύειν. ἑλκύσω δὲ, φησι, κατεχομένους ὑπὸ τοῦ τυράννου, ἅτε πρῶτον ἐκεῖνον καταβαλών.

Ταύτην δὲ τὴν ἕλξιν, ἁρπαγὴν ἐκάλεσεν ἀλλαχοῦ λέγων· πῶς[k]) δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσῃ. ὀπίσω μὲν οὖν εἶπεν· ὅτι οὐδεὶς δύναται[l]) ἐλθεῖν πρὸς ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν· ἐνταῦθα δὲ λέγει, ὅτι πάντας ἑλκύσω πρὸς ἐμαυτόν· οὐκ ἐναντιολογῶν, ἀλλὰ τὰ τοῦ πατρὸς οἰκειούμενος, καὶ κοινὰ πάντα δεικνύων, καὶ τὸ ἴσον διὰ τῶν τοιούτων παριστῶν.

k) Matt. 12, 29.

l) Io. 6, 44.

3) Inclusa exciderant ex Cod. B.

Verſ. 33. *Hoc — eſſet moriturus.* Hoc? Quidnam? Si exaltatus fuero, ſiquidem exaltationem in cruce innuebat.

Verſ. 34. *Reſpondit — hominis?* Etiam hic Legem, ſimpliciter diuinam appellant ſcripturam. Nam frequentibus eius in locis immortalitas diuinitatis Chriſti ſignificatur: quemadmodum etiam mortalitas humanitatis eius, et maxime in Pſalmis Dauidicis.

Et vide doloſum eorum conatum: quum enim ſuperius de morte diſputantem audiſſent ac dicentem, oportet exaltari filium hominis (quanquam hoc euangeliſta non addiderit; ſiquidem variis in locis hoc eis loquutus eſt) quum etiam nunc addiderit, Si exaltatus fuero: intellexerunt, quod exaltationem diceret mortem: licet non de ea, quae per crucem fieret, conciperent: et hinc ſperabant conuinci poſſe ipſum non eſſe Chriſtum: tanquam dicentes, Nos audiuimus ex ſcriptura, quod Chriſtus non moriatur: et quomodo tu dicis, quod ipſum mori oporteat? Deinde, ne hoc de eo dicere videantur, aiunt.

Verſ. 34. *Quis — hominis?* Etenim ſi Chriſtus eſt, non moritur: quod ſi moritur, non eſt Chriſtus. Atqui o dementes! debilis eſt ratio veſtra: nam et hoc et illud verum eſt: immortalis quidem eſt diuinitate, mortalis autem humanitate. Sed Chriſtus nunc non docuit, quomodo immortalis eſſet, ſed quomodo mortalis; Sciens, eos non ſuſcepturos de ſua immortalitate ſermonem.

Conſidera namque, quod, quum etiam vocem, quae de coelo venerat, audiſſent, ac dixiſſent, Angelus

4) γὰρ, pro δέ. A.

Vers. 33. Τοῦτο — ἀποθνήσκειν. Τοῦτο, ποῖον; τὸ, ὅταν ὑψωθῶ. ὑπεδήλε γὰρ τὴν ἐπὶ τῦ ςαυρῦ ὕψωσιν.

Vers. 34. Ἀπεκρίθη — ἀνθρώπου; Κἀνταῦθα νόμον λέγυσιν ἁπλῶς, τὴν θείαν γραφήν. πολλαχῦ γὰρ αὐτῆς, τὸ ἀθάνατον τῆς θεότητος τῦ χριςῦ σημαίνεται, ὥσπερ καὶ τὸ θνητὸν τῆς ἀνθρωπότητος αὐτῦ, καὶ μᾶλλον ἐν τοῖς δαυϊτικοῖς ψαλμοῖς.

Ὅρα [4]) δὲ κακουργίαν. ἀκούσαντες γὰρ ἀνωτέρω περὶ του θανάτου φιλοσοφήσαντος, καὶ προσθέντος· ὅτι [m]) δεῖ ὑψωθῆναι τὸν υἱὸν του ἀνθρώπου· εἰ καὶ μὴ προσέθηκε τουτο ὁ εὐαγγελιςής· καὶ γὰρ διαφόρως ἔλεγε τουτο πρὸς αὐτοὺς· ἐπει καὶ νῦν εἶπεν· ὅτι ὅταν ὑψωθῶ, συνῆκαν, ὅτι ὕψωσιν, τὸν θάνατον λέγει, εἰ καὶ μὴ τὴν ἐπὶ ςαυροῦ ἐνόησαν, καὶ προσεδόκησαν ἐντεῦθεν ἐλέγξαι αὐτὸν, μὴ ὄντα χριςὸν, ὡσανεὶ λέγοντες, ἠκούσαμεν ἐκ τῆς γραφῆς, ὅτι ὁ χριςὸς οὐκ ἀποθνήσκει, καὶ πῶς συ λέγεις, ὅτι ἀποθανεῖν [5]) χρὴ αὐτόν; εἶτα, ἵνα μὴ δόξωσι περὶ αὐτου τῦτο λέγειν, φασί·

m) Io. 3. 14. 8. 28.

Vers. 34. Τίς — ἀνθρώπου; Εἰ μὲν γάρ ἐςιν ὁ χριςὸς, οὐκ ἀποθνήσκει· εἰ δὲ ἀποθνήσκει, οὐκ ἐςιν ὁ χριςός. καὶ μὴν, ὦ ἀνόητοι! σαθρὸς ὁ λόγος ὑμῶν. ἔςι γὰρ καὶ τουτο κἀκεῖνο. ἀθάνατος μὲν, τῇ ἀθεότητι· θνητὸς δὲ, τῇ ἀνθρωπότητι. ἀλλ' ὁ χριςὸς οὐκ ἐδίδαξε νῦν, πῶς μὲν ἐςιν ἀθάνατος, πῶς δὲ θνητὸς, εἰδὼς, αὐτοὺς οὐ παραδεξομένους τὸν περὶ τῆς θεότητος αὐτου λόγον.

Σκόπει γὰρ, ὅτι καὶ τὴν ἐλθῦσαν φωνὴν ἐκ τῦ ὀρανῦ ἐνωτιθέντες, καὶ εἰπόντες, ὅτι ἄγγελοι

5) δεῖ, pro χρή. A.

gelus ei loquutus est, adhuc tamen malignantur. Ideo simpliciter eos admonet.

Verſ. 35. *Dicit — comprehendant.* Lucem dicit ſeipſum. Nam et in praecedentibus dicebat, Ego ſum lux mundi, qui ſequitur me non ambulat in tenebris. Modicum autem tempus id dicit, quod ad mortem vsque deerat. Prae humanitate ergo ac benignitate proteſtatur et admonet illos, vt in luce ambulent, hoc eſt ſequantur eum eum lumine praeeuntem, viamque commonſtrantem et eius credant ſermonibus. Per tenebras vero errorem intelligo, quo eos ſeduxerunt illorum pontifices, poſtquam Chriſtum interfecerunt, affirmantes, quod ſeductor fuiſſet.

Intelliguntur quoque ſimpliciter Tenebrae, error Iudaeorum, qui corporalem cultum ſeruantes, arbitrabantur ſe Deo placere, ac ſaluos fieri. Atqui hae tenebrae iam illos habebant; ſed ait, Non vos comprehendant, id eſt, ne vſque ad finem dominentur vobis.

Verſ. 35. *Et — vadat.* Errat, offendit, praecipitatur.

Verſ. 36. *Donec — lucem.* Sermonem explanauit.

Verſ. 36. *Vt — ſitis.* In primordiis quoque euangelii dixit hic euangeliſta, Quotquot autem receperunt eum, dedit eis poteſtatem filios Dei fieri, credentibus in nomen eius. Sed ibi quidem intelligimus, quod filii fiant patris: hic autem, quod filii ipſius filii: vt diſcas, quod vna ſit patris et filii operatio, et amborum omnia eſſe communia.

Verſ. 36.

λῆρ αὐτῷ λελάληκεν, ἔτι πονηρεύονται. διὸ παραινεῖ αὐτοῖς ἁπλῶς.

Verſ. 35. Εἶπεν — καταλάβῃ. Φῶς, ἑαυτὸν λέγει. καὶ γὰρ καὶ προλαβὼν ἔλεγεν· ἐγώ εἰμι[n]) τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ. μικρὸν δὲ χρόνον φησὶ, τὸν ἄχρι τοῦ θανάτου αὐτοῦ. ὑπὸ φιλανθρωπίας τοίνυν διαμαρτύρεται, καὶ κατεπείγει αὐτοὺς εἰς τὸ περιπατεῖν ἐν τῷ φωτὶ, ἤγουν, ἀκολουθεῖν αὐτῷ, φωταγωγοῦντι καὶ ὁδηγοῦντι, καὶ πιστεύειν τοῖς λόγοις[6]) αὐτοῦ. σκοτίαν δὲ νοεῖ, τὴν πλάνην, ἣν ἐπλάνησαν αὐτοὺς οἱ ἄρχοντες αὐτῶν μετὰ τὸ ἀνελεῖν τὸν χριστὸν, πληροφορήσαντες, ὅτι πλάνος ἦν. n) Io. 8, 12.

Νοεῖται δὲ σκοτία, καὶ ἡ ἁπλῶς πλάνη τῶν Ἰουδαίων. τὴν γὰρ σωματικὴν λατρείαν φυλάσσοντες, δοκοῦσιν εὐαρεστεῖν τῷ θεῷ, καὶ σώζεσθαι· καὶ μὴν αὕτη ἡ σκοτία καὶ τότε εἶχεν αὐτούς· ἀλλὰ τὸ καταλάβῃ, ἀντὶ τοῦ, κατακυριεύσῃ μέχρι τέλους.

Verſ. 35. Καὶ — ὑπάγει. Πλανᾶται, προσκόπτει, κρημνίζεται.

Verſ. 36. Ἕως — φῶς. Ἐσαφήνισε τὸν λόγον.

Verſ. 36. Ἵνα — γένησθε. Καὶ ἐν προοιμίοις τοῦ εὐαγγελίου εἶπεν οὗτος ὁ εὐαγγελιστής, ὅτι[o]) ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. ἀλλ' ἐκεῖ μὲν νοοῦμεν, ὅτι τέκνα τοῦ πατρὸς γίνονται· ἐνταῦθα δὲ, ὅτι υἱοὶ τοῦ υἱοῦ, ἵνα μάθῃς, ὅτι μία ἐνέργεια πατρὸς καὶ υἱοῦ, καὶ κοινὰ πάντα ἀμφοῖν. o) Io. 1, 12.

Verſ. 36.

6) τῷ λόγῳ. A.

Verſ. 36. *Haec — sis.* Sciebat namque iram illorum turbatam eſſe ac irritatam: ideo abſcondit ſe, ne amplius inflammaretur, ſed magis eius ſeceſſione ſedaretur.

Verſ. 37. *Tam multa — eum.* Tam multa: quot autem ille ediderit, praetermiſit hic propter eorum multitudinem.

Verſ. 38. *Vt — compleretur.* Etiam hic dictio Vt, non eſt cauſalis ſed euentum dicit, ſiue eius, quod futurum eſt, completionem. Et vbicunque dicitur, Vt ſermo prophetae compleretur: Vt prophetia compleretur: dictio Vt, et Graecae dictiones ἵνα, ὅπως, ac ſimiles, dictam eandem habent ſignificationem: quanquam in aliis euangeliſtis hoc non manifeſtauimus. Neque enim, quia dixerunt prophetae, ideo facta ſunt, quae dixerant ſed, quia futurum erat, vt fierent, propterea praedixerunt prophetae. Nam ſcripturae idioma eſt, vt praediximus, quo ſignificat infallibilitatem prophetiae et omnimodam eius completionem.

Verſ. 38. *Quem — noſtro.* De his, qui non crediderunt, hoc dixit propheta: Auditum dicens horum ac ſimilium, prophetiam de Chriſto, quam prophetae quum audiſſent, auribus animarum ſuarum a diuino ſpiritu immiſſam, prophetauerunt: dicit ergo, quod nullus talium illi crediderunt.

Verſ. 38. *Et — reuelatum eſt?* Brachium patris eſt filius, vtpote potentia ac robur eius. Ait enim Paulus, Chriſtus Dei potentia. Nihil horum cognitum eſt, non propter ſui abſconſio-

7) Monuit quidem in ſuperioribus etiam, nec tamen ita aperte. Igitur mox dicit, προδεδήλωται.

Verſ. 36. Ταῦτα — αὐτῶν. Ἔγνω γὰρ τὸν θυμὸν αὐτῶν ταρασσόμενον καὶ ἀγριαινόμενον, καὶ ἐκρύβη, ἵνα μὴ ἐπὶ πλέον ἀναφλέγῃ, καταστέλλῃ δὲ μᾶλλον, τῇ ὑποχωρήσει αὐτοῦ.

Verſ. 37. Τοσαῦτα — αὐτόν. Τοσαῦτα, ὅσα ἐκεῖνος μὲν ἐποίησεν, οὗτος δὲ παρέλιπε, διὰ τὸ πλῆθος αὐτῶν.

Verſ. 38. Ἵνα — πληρωθῇ. Κἀνταῦθα τὸ ἵνα, οὐκ ἔστιν αἰτιολογίας, ἀλλ᾽ ἐκβάσεως, ἤτοι πληρώσεως τοῦ μέλλοντος, ὅτι ἔμελλε πληρωθῆναι. καὶ πανταχοῦ τὸ, ἵνα ὁ λόγος τοῦ προφήτου πληρωθῇ, καὶ τὸ, ἵνα ἡ προφητεία πληρωθῇ, καὶ τὸ, ὅπως, καὶ τὰ τοιαῦτα, τοιαύτην ἔχουσι τὴν σημασίαν, εἰ καὶ [q]) μὴ ἐν τοῖς ἄλλοις εὐαγγελισταῖς τοῦτο δεδηλώκαμεν. οὐ γὰρ, διότι εἶπον οἱ προφῆται, διὰ τοῦτο γεγόνασιν, ἃ εἶπον· ἀλλὰ διότι ἔμελλον γενέσθαι, διὰ τοῦτο εἶπον οἱ προφῆται. ἰδίωμα γάρ [r]) ἐστι τοῦτο τῆς γραφῆς, ὡς προδεδήλωται, δηλοῦν τὸ ἀψευδὲς τῆς προφητείας, καὶ τὸ πάντως πληρούμενον.

Verſ. 38. Ὃν — ἡμῶν; Περὶ τῶν μὴ πιστευσάντων τοῦτο εἴρηκεν ὁ προφήτης, τούτων τε, καὶ τῶν τοιούτων· ἀκοὴν λέγων, τὴν περὶ τοῦ Χριστοῦ προφητείαν, ἣν ἀκούσαντες οἱ προφῆται τοῖς ὠσὶ τῶν ψυχῶν αὐτῶν, ὑπὸ τοῦ θείου πνεύματος ἐνηχηθεῖσαν, προεφήτευσαν. λέγει δὲ, ὅτι οὐδεὶς τῶν τοιούτων ἐπίστευσεν αὐτῇ.

Verſ. 33. Καὶ — ἀπεκαλύφθη; Βραχίων τοῦ πατρὸς, ὁ υἱὸς, ὡς δύναμις αὐτοῦ. Φησὶ γὰρ ὁ Παῦλος· Χριστὸς [p]) θεοῦ δύναμις. οὐδενὶ τούτων ἐγνωρίσθη. οὐ παρὰ τὴν ἑαυτοῦ κρυφιότητα, p) 1 Cor. 1, 24.
ἀλλὰ

r) δὲ, pro γάρ. A.

sconsionem, sed propter illorum caecitatem. Ipse siquidem in modum solis, lucem suae diuinitatis ostendebat, et per sermones, et per opera. Illi vero malitia deprauatum habentes aspectum non illustrabantur.

Vers. 39. *Propterea — Iesaias.* Etiam hic Propterea, non causale est, sed futuri declaratiuum: quia futurum erat, vt credere non possent, siue non vellent: nam si voluissent, vtique credidissent. Non posse siquidem etiam significat, Non velle, sicut in praecedentibus docuimus. Aut, Non poterant credere, prohibiti a malitia et caecitate sua. Quid ergo iterum dixit Iesaias?

Vers. 40. *Excaecauit — cor.* Et hoc scripturae idioma est, Dei permissionem, quasi opus eius appellare. Siquidem Excaecauit, et indurauit, significant, excaecari ac indurari permisit, tanquam incurabiles: neminem enim vi attrahit, propter liberum cuiusque arbitrium. Simile etiam est, quod dicitur, Indurans indurabo cor Pharaonis, et, Declinare fecisti semitas nostras a via tua, et, Errare fecisti nos, domine, a via tua: frequentiaque sunt huiusmodi in veteri testamento idiomata.

Tale quoque est, quod apud Paulum dicitur, Tradidit illos Deus in reprobum sensum, et, Tradidit illos in affectiones ignominiae. Nam Deus non solum nemini hoc facit, sed nec relinquit, nisi eum relinquamus. Ait namque, Peccata vestra diuisionem faciunt inter me et vos. Rursumque dicit, Ignorasti legem Dei tui, ignorabo et ego te. Et Dauid, Ecce, qui elongant se a te, peribunt.

Ad

y) *τραυνῶς ἐγίνωσκον.* De *τρανοῦν*, hoc sensu, vide Huet. ad Orig. T. III. p. 564. nota *α*.

z) A. ponit vocabulum *κύριε*, paulo post, ante *συνεχῆ*.

a) *ὀ μόνον*, absunt. A.

ἀλλὰ παρὰ τὴν αὐτῶν τύφλωσιν. αὐτὸς μὲν γὰρ δίκην ἡλίου τὸ φῶς τῆς οἰκείας θεότητος ἐδείκνυε, καὶ διὰ λόγων, καὶ δι' ἔργων· αὐτοὶ δὲ σαθρωθέντες τῇ πονηρίᾳ τὴν ὅρασιν ἔχοντες, οὐκ [o]) ἐνετράνιζον.

Vers. 39. Διὰ τοῦτο — ἠσαΐας. Κἀνταῦθα τὸ διὰ τοῦτο, οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ μέλλοντος, ὅτι ἔμελλον. οὐ δύνασθαι πιστεύειν, ἤτουν, οὐ βούλεσθαι. εἰ γὰρ ἐβούλοντο, ἐπίστευον ἄν. τὸ γὰρ μὴ δύνασθαι, σημαίνει καὶ τὸ μὴ βούλεσθαι, ὡς καὶ προλαβόντες ἐδιδάξαμεν. ἢ οὐκ ἠδύναντο, κωλυόμενοι ὑπὸ τῆς κακίας καὶ πωρώσεως αὐτῶν. τί οὖν πάλιν εἶπεν ἠσαΐας.

Vers. 40. Τετύφλωκεν — καρδίαν. Ἰδίωμα καὶ τοῦτο τῆς γραφῆς, τὸ τὴν παραχώρησιν τοῦ θεοῦ, ὡς πρᾶξιν αὐτοῦ λέγειν. τὸ γὰρ τετύφλωκε, καὶ τὸ πεπώρωκεν, ἀντὶ τοῦ, παρεχώρησε τυφλωθῆναι καὶ πωρωθῆναι, ὡς ἀνιάτων. οὐδένα γὰρ ἀνθέλκει, διὰ τὸ αὐτεξούσιον ἑκάστου. τοιοῦτόν ἐστι καὶ τό σκληρύνω [q]) σκληρυνῶ τὴν καρδίαν φαραώ. καὶ τό, ἐξέκλινας [r]) τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· καὶ τό, ἐπλάνησας [s]) ἡμᾶς, κύριε, [s]) ἀπὸ τῆς ὁδοῦ σου· συνεχῆ δὲ τὰ τοιαῦτα ἰδιώματα παρὰ τῇ παλαιᾷ γραφῇ.

q) Exod. 4. 21.
r) Pſ. 43. 19.
s) Ieſ. 63. 17.

Τοιοῦτον δὲ καὶ τὸ παρὰ παύλῳ· παρέδωκεν [t]) αὐτοὺς εἰς ἀδόκιμον νοῦν· καί· παρέδωκεν [v]) αὐτοὺς εἰς πάθη ἀτιμίας. ὁ γὰρ θεὸς οὐ [a]) μόνον οὐδέν τι τοιοῦτον πράττει· ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ ἐγκαταλίπωμεν αὐτόν. λέγει γάρ· οὐχὶ [x]) αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν; καὶ πάλιν φησίν· ἐπελάθου [y]) νόμου θεοῦ σου. ἐπιλήσομαί σου κἀγώ· καὶ ὁ δαυίδ· ἰδοὺ οἱ μακρύνοντες [z]) ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται·

t) Rom. 1, 28.
v) Rom. 1, 26.
x) Ieſ. 59. 2.
y) Oſee. 4. 6.
z) Pſ. 72. 27.

Ad haec saluator ipse in Euangeliis ad Ierusalem, Quoties volui congregare filios tuos et caetera et noluistis.

Vers. 40. *Vt — eos.* Rursum Vt, non est, caussae redditiuum, sed futuri demonstratiuum, quia futurum erat, vt oculis non viderent, et corde non intelligerent, neque conuerterentur, nec sanarentur. Oculos autem dicit intellectuales: nam oculis non videre, declaratur per id, quod subditur, Corde non intelligere.
Haec tamen verba alio modo declarata sunt in euangelio iuxta Matthaeum, alio dicta tempore.

Vers. 41. *Haec — eo.* Haec puta, de caecitate ac induratione et caetera. Gloriam autem eius dicit gloriosam illam visionem, quando vidit dominum sedentem super solium excelsum, et ea quae circa ipsum erant, terribilia ac magnifica erant. Tunc enim filium vidit: et haec postmodum dixit ac loquutus est de eo, quum tunc haec ab eo audisset. Nam de Christo erant, quod excaecandi et indurandi erant, non visuri, nec intellecturi, quod Deus esset, neque conuertendi ab errore, vt sanarentur vulnera animarum ipsorum.

Vers. 42. *Veruntamen* — v. 43. *Dei.* Siquidem principes non erant, sed serui gloriae humanae. Propterea etiam dominus illis dicebat, Quomodo potestis vos credere, quum gloriam a vobis inuicem sumatis, et gloriam, quae a solo Deo est, non quaeratis.

Vers. 44. *Iesus — me.* Mitigata Iudaeorum ira apparuit iterum et docet. Quod autem dicit, tantundem est, ac si dicat, Qui credit in me, credit

²) Genitiuum habet Hentenius. Sed Datiuum videtur Euthymius elegisse, ne plures Genitiui concurrerent

καὶ αὖθις ὁ πατὴρ ἐν τοῖς εὐαγγελίοις πρὸς τὴν ἱερουσαλήμ· ποσάκις a) ἠθέλησα ἐπισυναγαγεῖν a) Matt. 23, 37.
τὰ τέκνα σου, καὶ τὰ ἑξῆς, καὶ οὐκ ἠθελήσατε.

Vers. 40. Ἵνα — αὐτοὺς. Πάλιν τὸ ἵνα, οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ μέλλοντος, ὅτι ἔμελλον μὴ ἰδεῖν τοῖς ὀφθαλμοῖς, μηδὲ νοῆσαι τῇ καρδίᾳ, μηδ' ἐπιστραφῆναι καὶ ἰαθῆναι. ὀφθαλμοὺς δὲ λέγει, τοὺς νοητούς. τοῦ γὰρ μὴ ἰδεῖν τοῖς ὀφθαλμοῖς ἑρμηνευτικὸν, τὸ μηδὲ νοῆσαι τῇ καρδίᾳ.

Ταῦτα δὲ τὰ ῥητὰ τρόπον ἕτερον ἡρμηνεύθησαν ἐν τῷ κατὰ ματθαῖον, καθ' ἕτερον ῥηθέντα καιρόν.

Vers. 41. Ταῦτα — αὐτοῦ. Ταῦτα, τὰ περὶ τῆς τυφλώσεως καὶ πωρώσεως, καὶ τὰ ἑξῆς. δόξαν δὲ αὐτοῦ, φησὶ, τὴν ἔνδοξον ὀπτασίαν ἐκείνην, ὅτε εἶδε τὸν κύριον b) καθήμενον ἐπὶ b) Ies. 6, 1.
θρόνου ὑψηλοῦ, καὶ τἄλλα, τὰ περὶ αὐτοῦ φοβερὰ καὶ ἐξαίσια. τὸν υἱὸν γὰρ εἶδε τότε, καὶ ταῦτα εἶπεν ὕστερον, καὶ ἐλάλησε περὶ αὐτοῦ, ἀκούσας αὐτὰ τότε παρ' αὐτοῦ. περὶ τοῦ χριστοῦ γὰρ ἦσαν, ὅτι ἔμελλον τυφλωθῆναι καὶ πωρωθῆναι, καὶ μὴ ἰδεῖν, μηδὲ συνιέναι, ὅτι θεός ἐστι, μηδ' ἐπιστραφῆναι ἀπὸ τῆς πλάνης, καὶ ἰαθῆναι τὰ τραύματα τῆς ψυχῆς αὐτῶν.

Vers. 42. Ὅμως — v. 43. θεοῦ. Οὐκ ἄρα ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι δόξης ἀνθρωπίνης. διὰ τοῦτο καὶ ὁ κύριος ἔλεγεν αὐτοῖς· πῶς c) c) Io. 5, 44.
δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες.

Vers. 44. Ἰησοῦς — με. Ἐνδόντος τοῖς 3) ἰουδαίοις τοῦ θυμοῦ, πάλιν ἀνεφάνη καὶ διδάσκει. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὁ πιστεύων εἰς ἐμὲ, πι-

credit in eum, qui me misit: non solum quia vna est natura et diuinitas amborum, verum etiam, quia honor ei, qui missus est, exhibitus, redundat in eum, qui misit. Et quod ait, Non credit in me, videtur quidem negationis, sed magis est exhortationis ad credendum. Simile quoque est et illud, Qui susceperit me, non me suscipit, sed eum, qui misit me. Nam et haec idiomatis sunt aliaque huiusmodi.

Scire autem oportet, quod aliud est credere ei, quam credere in eum: illud siquidem est, credere sermonibus eius, quod de caeteris etiam hominibus dicitur: hoc autem est, credere in diuinitatem eius, quod de solo Deo dicitur.

Vers. 45. *Et — me.* Visionem eam dicit, quae mentis est, ac si dicat, Qui meam cognouit dignitatem, eam quoque cognouit, quae patris est: nam vna et eadem est in nobis diuinitas; et ego patris imago sum, per omnia illi similis.

Videt autem quispiam Christi diuinitatem, non ex natura sua: diuina siquidem natura inuisibilis est, ac penitus inintelligibilis, iuxta illud, Deum nemo vidit unquam, sed ex operibus diuinis eiusque sermonibus.

Vers. 46. *Ego — veni.* Lux intellectualis soluens tenebras intellectus, per diuina opera ac verba, diuinitatis radios sanis ostendens oculis.

Vers. 46. *Vt — maneat.* Quae sunt in errore peccati. Frequenter etiam eadem contestando dicit, assiduitate volens durum illorum cor emollire, et quicquid ad se attinet, in medium adducens: propterea siquidem etiam clamabat.

Vers. 47.

4) καὶ ταῦτα. A.

ςεύει εἰς τὸν πέμψαντά με, οὐ μόνον διότι μία φύσις καὶ θεότης ἀμφοῖν, ἀλλὰ καὶ διότι ἡ εἰς τὸν ἀπεςαλμένον τιμὴ, εἰς τὸν ἀποςείλαντα διαβαίνει. τὸ δὲ οὐ πιςεύει εἰς ἐμὲ, δοκεῖ μὲν ἀρνήσεως· ἔςι δὲ μᾶλλον προτροπῆς εἰς τὸ πιςεύειν. τοιοῦτον δέ ἐςι καὶ τὸ ὁ [d]) ἐμὲ δεχόμενος, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποςείλαντά με. ἰδιωματικὰ γὰρ καὶ [4]) τὰ τοιαῦτα. d) Marc. 9, 37.

Χρὴ δὲ γινώσκειν, ὅτι ἕτερόν ἐςι τὸ πιςεύειν αὐτῷ, καὶ ἕτερόν ἐςι τὸ πιςεύειν εἰς αὐτόν· τὸ μὲν γάρ ἐςι πιςεύειν τοῖς λόγοις αὐτοῦ, ὃ καὶ ἐπὶ τῶν ἄλλων ἀνθρώπων λέγεται· τὸ δέ ἐςι, πιςεύειν εἰς τὴν θεότητα αὐτοῦ, ὅπερ ἐπὶ θεοῦ μόνου λέγεται.

Verſ. 45. Καὶ — με. Θεωρίαν, τὴν διὰ τοῦ νοῦ λέγει· ὅτι ὁ γνοὺς τὴν ἐμὴν θεότητα, ἔγνω τὴν τοῦ πατρός μου. μία γὰρ καὶ ἡ αὐτὴ θεότης ἐν ἡμῖν. καὶ ἐγὼ εἰκών εἰμι τοῦ πατρὸς ἀπαράλλακτος.

Θεωρεῖ δέ τις τὴν τοῦ χριςοῦ θεότητα, οὐκ ἀπὸ τῆς φύσεως αὐτῆς· ἀθεώρητος γὰρ ἡ θεία φύσις καὶ παντελῶς ἀνεννόητος· κατὰ τό· θεὸν [e]) οὐδεὶς ἑώρακε πώποτε· ἀλλ᾽ ἀπὸ τῶν θεοπρεπῶν ἔργων καὶ λόγων αὐτοῦ. e) Io. 1, 18.

Verſ. 46. Ἐγὼ — ἐλήλυθα. Φῶς νοητὸν, λύων τὸ νοητὸν σκότος, καὶ διὰ τῶν θεοπρεπῶν ἔργων καὶ λόγων παραδεικνύων τὰς ἀκτῖνας τῆς θεότητος τοῖς ὑγιέσιν ὀφθαλμοῖς.

Verſ. 46. Ἵνα — μείνῃ. Τῇ τῆς πλάνης, τῇ τῆς ἁμαρτίας. διαφόρως δὲ τὰ αὐτὰ λέγει διαμαρτυρόμενος, καὶ τῇ συνεχείᾳ μαλάξαι τὸ σκληρὸν τῆς καρδίας αὐτῶν βουλόμενος, καὶ πᾶν εἰσφέρων τὸ ἑαυτοῦ. διὰ τοῦτο γὰρ καὶ ἔκραξε.

Verſ. 47. *Et — rum.* In praeſenti ſeculo.

Verſ. 47. *Neque — mundum.* Dixit etiam tertio capite, Non miſit Deus filium ſuum in mundum, vt condemnet mundum, ſed vt ſaluetur mundus per eum: et ibi quoque lege enarrationem quae optima eſt.

Verſ. 49. *Qui — ipſum.* Qui mihi non paret, nec ſuſcipit verba mea, habet qui ſe conuincat ac condemnet: quis ſit autem is, audito.

Verſ. 48. *Sermo — die.* Quis autem ſit hic ſermo, aduerte.

Verſ. 49. *Quia — loquar.* Quia dicebant, non eſſe eum a Deo, et propterea non obediebant ei, ait: In nouiſſimo die ſermo, quem loquutus ſum dicens, quod ex meipſo non ſum loquutus, ſed pater, qui miſit me, ipſe mihi praeceptum dedit, quid dicam et quid loquar, ille condemnabit eum, loco accuſatoris conſtitutus, conuincens, omnemque amputans occaſionem, quem operibus confirmaui, ex omni parte oſtendens, quod Deo non ſim contrarius.

Verſ. 50. *Et — eſt.* Vtpote vitam concilians aeternam, tanquam ad vitam adducens aeternam. Sunt ergo inexcuſabiles, qui ea non ſuſcipiunt, quae mihi praecepta ſunt, vt loquar, videlicet verba mea, doctrinam meam: et ſibiipſis ſunt inimici, vtpote vitam non ſuſcipientes aeternam.

Haec vero, Quid dicam et quid loquar, idem ſignificant. Multa autem ſunt huiusmodi apud ſacram ſcripturam.

Verſ. 50.

Verſ. 47. Καὶ — αὐτόν. Ἐν τῷ νῦν αἰῶνι.

Verſ. 47. Οὐ — κόσμον. Εἶπε καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ· ὅτι, t) οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. καὶ ἀνάγνωθι πάλιν ἐκεῖ τὴν ἐξήγησιν εὖ ἔχουσαν. t) Io. 3, 17.

Verſ. 48. Ὁ — αὐτόν. Ὁ ἀπειθῶν ἐμοὶ, καὶ μὴ δεχόμενος τὰ ῥήματά μου, ἔχει τὸν [5]) κατακρίνοντα, τὸν ἐλέγχοντα αὐτόν. τίς δὲ ἐστιν αὐτος, ἄκουσον.

Verſ. 48. Ὁ λόγος — ἡμέρᾳ. Τίς δὲ ὁ λόγος οὗτος, ἐναντίαθητι.

Verſ. 49. Ὅτι — λαλήσω. Ἐπεὶ ἔλεγον, ὅτι οὐκ ἐστιν ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο οὐκ ἐπείθοντο αὐτῷ, φησὶν, ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ὁ λόγος, ὃν ἐλάλησα λέγων, ὅτι ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐνετείλατο, τί εἴπω καὶ τί λαλήσω, ἐκεῖνος κρινεῖ αὐτὸν, ἐν τάξει κατηγόρου ἱστάμενος καὶ διελέγχων, καὶ πᾶσαν ἀπολογίαν περιαιρῶν, ὃν ἐβεβαίουν τοῖς ἔργοις, πανταχόθεν δεικνύων, ὅτι οὐκ εἰμὶ ἀντίθεος.

Verſ. 50. Καὶ — ἐστιν. Ὡς ζωὴν αἰώνιον προξενοῦσα, ὡς εἰς ζωὴν αἰώνιον ἄγουσα. ἀναπολόγητοι οὖν οἱ μὴ δεχόμενοι τὰ ἐνταλθέντα μοι λαληθῆναι, ἤτοι, τὰ ῥήματά μου, τὴν διδασκαλίαν μου. καὶ ἐπίβουλοί εἰσιν ἑαυτῶν, ὡς μὴ δεχόμενοι τὴν αἰώνιον ζωήν.

Τὸ δὲ τί εἴπω καὶ τί λαλήσω, τὸ αὐτὸ δηλοῦσι. πολλὰ δὲ τοιαῦτα παρὰ τῇ γραφῇ.

5) τὸν κρίνοντα. A.

Vers. 50. *Quae — loquor.* Et per praedictam et per praesentem sententiam, rursum inducit eos ad fidem, parcens adhuc illis prae immensa benignitate. De huiusmodi autem humilitate verborum dispensatorie dictorum, variis in locis diximus. Illa namque, A meipso non veni: et, Ex meipso non sum loquutus: et, Ipse mihi praeceptum dedit, quid dicam et quid loquar, ac similia: manifestius quidem confirmant, quod Deo non sit contrarius: secretius vero innuunt, quod patri sit aequalis.

Cap. XIII. v. 1. *Ante — patrem.*

Nam postquam mortuus est ac resurrexit, a terra in coelum migrauit.

Vers. 1. *Quum dilexisset — eos.* Suos, vocat discipulos, vtpote domesticos propter obedientiam. Sui autem appellati quoque sunt omnes Iudaei, tanquam cognati: imo etiam omnes simul homines, tanquam creaturae ipsius. Addidit autem, Qui erant in mundo. Nam qui iam in virtute mortui erant, eius etiam proprii dicebantur, Abraham videlicet Isaac et Iacob, quique tempore illorum iusti erant. Quum dilexisset ergo discipulos ad id vsque temporis, tunc magis dilexit eos. Nam, In finem, idem significat, quod vehementer. Quia enim iam moriturus erat, eosque relicturus, dilectionem intendit ad accensionem vehementioris memoriae ipsius. Signum vero intentionis fuit, lotio pedum illorum: nam qui aliquem feruenter amat, ne extremum quidem eius ministerium deuitat.

Vers. 2. *Et coena facta.* In diuersorio, in instrato coenaculo: quia facta vespera, sicut dixit Mat-

Vers. 50. Ἃ — λαλῶ. Καὶ διὰ τοῦ προῤῥηθέντος, καὶ διὰ τοῦ παρόντος ῥητοῦ, πάλιν ἐνάγει τούτους εἰς πίστιν, ἔτι φειδόμενος αὐτῶν ὑπὸ τῆς ἀπείρου φιλανθρωπίας. περὶ μέντοι τῆς ταπεινότητος τῶν τοιούτων οἰκονομικῶν ῥημάτων, διαφόρως εἰρήκαμεν. τὸ γὰρ ἀπ' ἐμαυτοῦ οὐκ[g]) ἐλήλυθα, καὶ ἐξ[h]) ἐμαυτοῦ οὐκ ἐλάλησα, g) Io. 7, 28.
καὶ αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω, καὶ τὰ τοιαῦτα, φανερώτερον μὲν, τὸ μὴ εἶναι αὐτὸν ἀντίθεον βεβαιοῦσι· κρυφιώτερον δὲ, τὸ εἶναι αὐτὸν ἴσον τῷ πατρὶ ὑποφαίνουσι. h) Io. 12, 49.

Cap. XIII. v. 1. Πρὸ — πατέρα.

Ἀποθανὼν γὰρ καὶ ἀναστὰς, μετέβη ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν.

Vers. 1. Ἀγαπήσας — αὐτούς. Ἰδίους λέγει, τοὺς μαθητὰς, ὡς οἰκείους, διὰ τὴν εὐπείθειαν. ἴδιοι δὲ αὐτοῦ προσηγορεύθησαν καὶ οἱ πάντες ἰουδαῖοι, ὡς συγγενεῖς· καὶ οἱ σύμπαντες ἄνθρωποι, ὡς δημιουργήματα αὐτοῦ. τοὺς ἐν τῷ κόσμῳ δὲ εἶπε, διότι καὶ οἱ τετελευτηκότες ἐν ἀρετῇ, ἴδιοι αὐτοῦ ἦσαν, ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ, καὶ οἱ κατ' ἐκείνους δίκαιοι. ἀγαπήσας οὖν, φησὶ, τοὺς μαθητὰς ἄχρι τοῦ τότε καιροῦ, τότε μᾶλλον ἠγάπησεν αὐτούς· τὸ γὰρ εἰς τέλος, τὸ σφόδρα δηλοῖ. ἐπεὶ γὰρ ἔμελλεν ἤδη ἀποθανεῖν καὶ ἀπολιπεῖν αὐτοὺς, ἐπιτείνει τὴν ἀγάπην, εἰς ἐμπύρευμα μνήμης αὐτοῦ σφοδροτέρας. σημεῖον δὲ τῆς ἐπιτάσεως, τὸ νίψαι τοὺς πόδας αὐτῶν. ὁ γὰρ ἀγαπῶν τινὰ θερμῶς, οὐδὲ τὴν ἐσχάτην ὑπηρεσίαν αὐτοῦ παραιτεῖται.

Vers. 2. Καὶ δείπνου γενομένου. Ἐν τῷ καταλύματι, ὅπου τὸ ἐστρωμένον ἀνώγεων, ὅτε

Matthaeus, accubuit cum duodecim. Quaere ergo hanc sententiam sexagesimo tertio eius capite, ac lege omnem, quae ibi data est, expositionem.

Vers. 2. *Quum diabolus — traderet.* Quum iam tunc cogitationem immisisset, quando vnguentum effudit super caput Iesu mulier, de qua scripsit Matthaeus. Quaere ergo iuxta finem sexagesimi secundi capitis ipsius, vbi dicitur, Amen dico vobis, vbicunque praedicatum fuerit hoc euangelium in vniuerso mundo et caetera, et lege finem datae ibi expositionis.

Hoc autem interposuit euangelista cum stupore admirans excellentem Christi clementiam, quia huius etiam pedes lauit, qui in proximo erat eum traditurus.

Cap. XVI. De lotione pedum.

Vers. 3. *Sciens — manus.* Tanquam filio legitimo et vnigenito. Humano autem more dixit, Omnia dedit ipsi pater in manus, Christum ipsum imitans, qui frequenter huiusmodi de se dispensatorie solet dicere, sicut variis in locis diximus. Sicut autem pater tradit filio, sic et filius patri. Ait enim Paulus, Quum tradiderit regnum Deo et patri.

Vers. 3. *Et — iret.* Tanquam filius Dei ac Deus. Ait ergo, Sciens seipsum omnipotentem ac Dei filium: licet tantae esset potestatis, talisque dignitatis, ad extremam tamen descendit humilitatem, tum dilectionem erga discipulos ostendens, tum eos animi modestiam edocens.

Vers. 4. *Surgit — vestimenta.* Non omnia, sed exteriorem amictum, aut etiam indumentum, quod

ἀμίδος[i]) γινομένης, ὡς εἶπε ματθαῖος, ἀνέκειτο μετὰ τῶν δώδεκα. ζήτησον οὖν τουτὶ τὸ ῥητὸν ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ αὐτοῦ, καὶ ἀνάγνωθι πᾶσαν τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. i) Matt. 26, 20.

Vers. 2. Τοῦ διαβόλου — παραδῷ. Ἤδη βεβληκότος λογισμὸν τότε, ὅτε τὸ μύρον κατέχεεν ἐπὶ τὴν κεφαλὴν τοῦ χριστοῦ ἡ γυνὴ, περὶ ἧς ματθαῖος ἱστόρησε. ζήτησον οὖν πρὸς τῷ τέλει τοῦ ἑξηκοστοῦ δευτέρου κεφαλαίου αὐτοῦ τό ἀμὴν,[k]) ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, καὶ τὰ ἑξῆς. καὶ ἀνάγνωθι τὸ τέλος τῆς ἐκεῖ ῥηθείσης ἐξηγήσεως. k) Matt. 26, 13.

Τοῦτο δὲ παρενέβαλεν ὁ εὐαγγελιστὴς, ἐκπληττόμενος τὴν ὑπερβάλλουσαν τοῦ σωτῆρος ἀνεξικακίαν, ὅτι καὶ τούτου τοὺς πόδας ἔνιψε, μελετῶντος ἤδη προδοῦναι αὐτόν.

Κεφ. Ις. Περὶ τοῦ νιπτῆρος.

Vers. 3. Εἰδὼς — χεῖρας. Ὡς υἱῷ γνησίῳ καὶ μονογενεῖ. ἀνθρωποπρεπῶς δὲ εἶπεν, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, μιμούμενος τὸν χριστὸν, τοιαῦτα λέγοντα περὶ ἑαυτοῦ πολλάκις κατ' οἰκονομίαν, ὡς διαφόρως εἰρήκαμεν. ὥσπερ δὲ ὁ πατὴρ παραδίδωσι τῷ υἱῷ, οὕτω καὶ ὁ υἱὸς τῷ πατρί. φησὶ γὰρ παῦλος· ὅταν[l]) παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί. l) 1 Cor. 15, 24.

Vers. 3. Καὶ — ὑπάγει. Ὡς υἱὸς θεοῦ καὶ θεός. φησὶν οὖν, ὅτι εἰδὼς ἑαυτὸν παντοκράτορα, καὶ υἱὸν θεοῦ, καὶ τοσαύτης μὲν ἐξουσίας, τηλικαύτης δὲ ἀξίας, ὅμως εἰς ἄκραν συγκατέβη ταπείνωσιν· ἅμα μὲν τὴν εἰς τοὺς μαθητὰς ἀγάπην ἐνδεικνύμενος· ἅμα δὲ παιδεύων αὐτοὺς ταπεινοφρονεῖν.

Vers. 4. Ἐγείρεται — ἱμάτια. Οὐ πάντα,

quod vesti illi exteriori adhaerebat; quo succinctior esset ad id, quod facere parabat.

Vers. 4. *Quumque accepisset — se.* Linteo sese praecinxit ad extergendos lauandorum pedes.

Vers. 5. *Deinde — peluim.* Ipse etiam aquam ferebat, et vniuersa cum omni promtitudine propriis manibus faciebat: vt et nos ministrantes, cuncta cum omni promtitudine per nosipsos faciamus, in illum respicientes: neque extollamur: quid enim sumus nos, si ad Deum conferamur? Linteum itaque, peluim ac hydriam a patrefamilias procul dubio in eum tunc vsum accepit.

Vers. 5. *Et — v. 6. Petrum.* Quia lauare coepit ac postmodum venit ad Petrum: apparet, quod primum lauerit pedes Iscariotae: simul quidem beneficio afficiens ac honorans proditorem suum vsque ad mortem, vt et nos similiter faciamus. Simul etiam compungi volens illum, qui talia aduersus talem gubernatorem cogitaret.

Vers. 6. *Et — pedes?* Tu qui filius Dei es? In stuporem versus hoc dixit, ac vehementer cum reuerentia veritus.

Vers. 7. *Respondit — modo.* Quod ego hac re doceo.

Vers. 6. *Scies autem postea.* Quando hoc manifestauero. Nam paulo post de hoc dicturus est, Si ego laui vestros pedes dominus et magister, et vos debetis inuicem alii aliorum lauare pedes. Vel scies postea, quum me videris in coelum assum-

6) ἐυσταλές, B.
7) αὐτουργίας, A.

πάντα, ἀλλὰ τὸ ἔξωθεν περίβολαιον, ἢ καὶ τὸ μετ᾽ ἐκεῖνο, πρὸς τὸ[6]) εὐςαλὴς εἶναι.

Vers. 4. Καὶ λαβὼν — ἑαυτόν. Τῷ λεντίῳ διέζωσεν ἑαυτὸν, πρὸς τὸ ἐκμάσσειν δι᾽ αὐτοῦ τοὺς πόδας τῶν νιπτομένων.

Vers. 5. Εἶτα — νιπτῆρα. Αὐτὸς καὶ τὸ ὕδωρ κομίσας, καὶ πάντα μετὰ πάσης προθυμίας αὐτουργήσας, ἵνα καὶ ἡμεῖς διακονοῦντες πάντα μετὰ πάσης προθυμίας[7]) αὐτουργῶμεν, εἰς ἐκεῖνον ἀποβλέποντες, καὶ μὴ ἐπαιρώμεθα. τί γὰρ ἡμεῖς πρὸς τὸν θεόν; τὸ μέντοι λέντιον, καὶ τὸν νιπτῆρα, καὶ τὴν ὑδρίαν, ἀπὸ τοῦ οἰκοδεσπότου πάντως ἔλαβεν εἰς τὴν τότε χρῆσιν.

Vers. 5. Καὶ — v. 6. πέτρον. Ἐπεὶ ἤρξατο νίπτειν, εἶτα ἦλθε πρὸς τὸν πέτρον, φαίνεται, ὅτι[8]) πρῶτον ἔνιψε τοὺς πόδας τοῦ ἰσκαριώτου, ἅμα μὲν εὐεργετῶν ἄχρι θανάτου καὶ τιμῶν τὸν προδότην αὐτοῦ, ἵνα καὶ ἡμεῖς ὁμοίως ποιῶμεν· ἅμα δὲ καὶ βουλόμενος αὐτὸν κατανυγῆναι, τοιαῦτα κατὰ τοῦ τοιούτου κηδεμόνος διανοούμενον.

Vers. 6. Καὶ — πόδας; Σύ, ὁ υἱὸς τοῦ θεοῦ; ἐκπλαγεὶς γὰρ εἶπε τοῦτο, καὶ σφόδρα εὐλαβηθείς.

Vers. 7. Ἀπεκρίθη — ἄρτι. Ὃ ἐγὼ διδάσκω, διὰ τούτου τοῦ πράγματος.

Vers. 7. Γνώσῃ δὲ μετὰ ταῦτα. Ὅτε φανερώσω αὐτό. οὐκ εἰς μακρὰν γὰρ ἐρεῖ περὶ τούτου· ὅτι[m]) εἰ ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας, καὶ τὰ ἑξῆς· ἢ γνώσῃ μετὰ ταῦτα, ὅταν με ἴδῃς ἀναλαμβανόμενον εἰς m) Io. 13, 14.

[8]) Est haec Chrysostomi opinio. Tom. VIII. p. 415. A.

futurum, quum venerit super vos paracletus: tunc enim scies, qualis quale fecerim opus et quare.

Vers. 8. *Ait — aeternum.* Hoc est, nunquam. asseuerabat enim honorans illum ac venerans.

Vers. 8. *Respondit — v. 9. caput.* Non dixit, quam ob caussam hoc faceret, sciens, illi non posse eo modo persuaderi, sed potius magis repugnaturum: sed quum prae nimio amore repugnaret, ex hoc illi persuadet: comminatus namque excisionem, protinus eum inclinauit, fecitque, vt ille amplius petat, quam prius ab eo petebatur: et tantum se offerat ad id ministerium perferendum, quantum prius ad repugnandum, imo etiam amplius. Non tantum, inquit, pedes, sed et manus et caput: ita nimia dilectione et primum obsistebat, et postmodum concedebat.

Vers. 10. *Dicit — estis.* Ne opinarentur lotionem hanc, purificationem quandam esse, quale et baptisma: huiusmodi opinionem exemplariter soluit dicens, Qui lotus est, non indiget lauari, nisi solos pedes, quibus calcando lauacrum egreditur, sed est mundus totus, vtpote iam lotus. Et vos mundi estis, nempe mundati iam per doctrinam, quam vos docui, et abiecta omni prauitate ac malitia.

Nam et Chrysostomus interpretans illud, Et vos mundi estis: ait etiam adiectum esse, Propter sermonem, quem loquutus sum vobis. Itaque doctrina

y) ἢ πρὶν παραιτεῖσθαι. A.

z) Chrysost. Tom. VIII. p. 416. B. non dicit, haec προσκεῖσθαι, sed ea explicationis caussa infert ex Io. 15, 3. Dum ergo addit, videtur dicere, id προσκεῖσθαι. Aut ex vocabulo ἐπήγαγεν id collegit

εἰς τὴν ἔρημον, ὅταν ἔλθῃ ὁ παράκλητος ἐφ' ὑμᾶς. τότε γὰρ γνώσῃ, ἡλίκος ὢν ἡλίκον ἔργον ἐποίησα, καὶ διατί.

Verſ. 8. Λέγει — αἰῶνα. Εἰς τὸν αἰῶνα, ἀντὶ τοῦ, ποτέ. διϊσχυρίζεται γὰρ, τιμῶν αὐτὸν, καὶ λίαν αἰδούμενος.

Verſ. 8. Ἀπεκρίθη — v. 9. κεφαλήν. Οὐκ εἶπε μὲν, τίνος ἕνεκεν τοῦτο ποιεῖ, γινώσκων αὐτὸν μὴ πεισθησόμενον ἀπὸ τούτου, μᾶλλον μὲν οὖν ἐπὶ πλέον ἐνστησόμενον· ἐπεὶ δὲ ἀπὸ πολλῆς ἀγάπης διϊσχυρίζετο, ἀπὸ ταύτης αὐτὸν πείθει. ἀπειλήσας γὰρ ἔκπτωσιν αὐτῆς, αὐτίκα τοῦτον ὑποκλίνει, καὶ ποιεῖ μᾶλλον αἰτεῖν. ὃ[9]) πρὶν παρῃτεῖτο, καὶ τοσαύτην ἱκεσίαν εἰσφέρειν, ὅσην πρότερον εἰσέφερεν ἔνστασιν, μᾶλλον δὲ καὶ πλείονα. μὴ τοὺς πόδας, γάρ φησι, μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. οὕτω δι' ὑπερβολὴν ἀγάπης καὶ πρῶτον ἐνέστη, καὶ ὕστερον ἐνέδωκε.

Verſ. 10. Λέγει — ἐστί. Ἵνα μὴ ὑπολάβωσιν, ὅτι ἡ νίψις αὕτη, καθάρσιόν τι ἐστὶν ὥσπερ καὶ τὸ βάπτισμα, λύει τὴν τοιαύτην ὑποψίαν παραδειγματικῶς, ὅτι ὁ λελουμένος οὐ χρήζει λούσασθαι, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνους, διότι τούτοις περιπατῶν, ἔξεισι τοῦ λουτροῦ· ἀλλ' ἔστι καθαρὸς ὅλος, ὡς ἤδη λελουμένος· καὶ ὑμεῖς καθαροί ἐστε, ὡς ἤδη καθαρισθέντες ὑπὸ τῆς διδασκαλίας, ἣν ἐδίδαξα ὑμᾶς, καὶ ῥίψαντες πᾶσαν κακίαν καὶ πονηρίαν.

Ἑρμηνεύων γὰρ ὁ Χρυσόστομος τό· καὶ ὑμεῖς καθαροί ἐστε· προσκεῖσθαι[1]) λέγει καὶ τό· διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν, ἤτουν, τὴν διδασκαλίαν,

git Euthymius, quo tamen haud adeo diligenter vtitur, vt ex multis exemplis conſtat.

doctrina non opus est vobis, vt mundemini ab his, quibus iam emundati estis, nisi vt solis pedibus lauemini, propter causam, quam nunc non scitis, scietis autem postea.

Vers. 10. *Sed non omnes.* Non omnes mundi estis.

Vers. 11. *Sciebat — estis.* Nouerat eum, qui praecipitatus et contaminatus erat.

Vers. 12. *Quum — vobis?* Ignorantes interrogat, quo attentiores reddat: nam postquam factum est, vult nunc docere, quod ignorabant.

Vers. 13. *Vos — etenim.* Sum ista, tanquam Deus. Nam cum discipulis loquens sese detegit. Dicens itaque, Vos dicitis: vos me ita appellatis: sermonem inuidia carere fecit. Addens autem, Sum: huiusmodi confirmauit appellationes, nec ad gratiam, sed propter veritatem dictas demonstrauit. Iam ergo hinc ratiocinemini.

Vers. 14. *Si — pedes.* Non dixit, si ego, qui natura dominus sum, laui vestros pedes, qui natura serui estis, multo magis vos inuicem conserui, debetis alii aliorum lauare pedes. Neque dixit, Si ego proditoris laui pedes, multo magis vos insidiatorum: sed haec per opera significans, horum disputationem reliquit auditorum conscientiae.

Vers. 15. *Exemplum — vobis.* Exemplum deiectionis in dilectione, hoc opere tradidi vobis.

Vers. 15. *Vt — faciatis.* Et dilectione deiecti, ac subditis ministrantes. At vero ipse quidem erat maior, quam intelligi ac dici posset: nos autem sumus terra et cinis, puluis et coenum, aut si quid

λίαν. οὐ χρήζετε οὖν καθαριθῆναι, ὧν ἐκαθαρίσθητε, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνους, διὰ πρᾶγμα, ὃ οὐκ οἴδατε ἄρτι, γνώσεσθε δὲ μετὰ ταῦτα.

Vers. 10. Ἀλλ' οὐχὶ πάντες. Οὐ πάντες καθαροί ἐστε.

Vers. 11. Ἤδει — ἐστε. Ἤδει αὐτὸν ἐκτραχηλισθέντα καὶ ῥυπωθέντα.

Vers. 12. Ὅτε — ὑμῖν; Ἐρωτᾷ ἀγνοοῦντας, ἵνα διεγείρῃ εἰς προσοχήν. μετὰ γὰρ τὸ ποιῆσαι, λοιπὸν βούλεται διδάξαι τὸ ἀγνοούμενον.

Vers. 13. Ὑμεῖς — γάρ. Εἰμὶ ταῦτα, ὡς θεός. πρὸς τοὺς μαθητὰς γὰρ διαλεγόμενος ἐκκαλύπτει ἑαυτόν. εἰπὼν μὲν οὖν· ὅτι ὑμεῖς φωνεῖτέ με, ὑμεῖς καλεῖτέ με οὕτως, ἀνεπαχθῆ τὸν λόγον ἐποίησε· προσθεὶς δέ· ὅτι εἰμὶ, ἐβεβαίωσέ τε τὰς τοιαύτας προσηγορίας, καὶ μὴ πρὸς χάριν, ἀλλὰ πρὸς ἀλήθειαν λεγομένας ἀπέδειξε. λοιπὸν τοίνυν ἐντεῦθεν συλλογίζεται.

Vers. 14. Εἰ — πόδας. Οὐκ εἶπεν, ὅτι ἐὰν ἐγὼ, ὁ φύσει κύριος, ἔνιψα ὑμῶν, τῶν φύσει δούλων, τοὺς πόδας, πολλῷ μᾶλλον ὑμεῖς, οἱ ὁμόδουλοι, ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· οὐδ', ὅτι ἐὰν ἐγὼ ἔνιψα τοὺς τοῦ προδότου, πολλῷ μᾶλλον ὑμεῖς τοὺς τῶν ἐπιβούλων· ἀλλὰ διὰ τῶν ἔργων ταῦτα δηλώσας, ἀφῆκε τὴν διάκρισιν αὐτῶν τῇ συνειδήσει τῶν ἀκροωμένων.

Vers. 15. Ὑπόδειγμα — ὑμῖν. Ὑπόδειγμα τῆς ἐν ἀγάπῃ ταπεινώσεως ἔδωκα ὑμῖν, διὰ τῆς τοιαύτης πράξεως.

Vers. 15. Ἵνα — ποιῆτε. Ἐξ ἀγάπης ταπεινούμενοι, καὶ διακονοῦντες τοῖς ὑποβεβηκόσι. καίτοιγε, αὐτὸς μὲν ἦν ὑπὲρ ἔννοιαν καὶ λόγον· ἡμεῖς δέ ἐσμεν γῆ καὶ σποδὸς, καὶ τέφρα,

si quid his vilius est. Quando vero non tantum ad minores non deiicimus nos, sed neque ad maiores: nec solum pedes seruorum non lauamus, sed neque amicorum, quum etiam insidiatorum lauare debeamus: qua obsecro condemnatione digni non erimus? qui non solum Christi non imitamur exemplum, verum etiam e contrario erigimur, et ex diametro extollimur, nec quod debitum est exsoluimus. Et vos, inquit, debetis inuicem alij aliorum lauare pedes.

Vers. 16. *Amen — illum.* Itaque si ego, qui incomparabiliter maior sum, meipsum adeo deieci, multo magis vos. Et hoc autem ineffabilis humilitatis ipsius est, quod sese dederit exemplum, creatorem videlicet creaturis: et quodammodo se comparauerit, qui incomparabilis est.

Dixit autem et hanc sententiam decimo nono capite iuxta Matthaeum: ibi ergo quaere, quod dicitur, Non est discipulus supra magistrum suum et caetera.

† † Non est seruus. Quamdiu ille quidem est seruus huius, hic apostolus eius. Inferioris enim est conditionis, et seruire, et nuntium mitti.

Vers. 17. *Si — ea.* Si haec nouistis, quae dicta sunt, nouistis autem ea, quum a me didiceritis: beati eritis si feceritis ea, neque enim nosse sufficit, sed et facere oportet.

Vers. 18. *Non — dico.* Puta, Si feceritis ea. Nam de Iuda hoc dicebat, qui non solum ea facturus non erat, sed nec aliud quicquam eorum, quae praecepta erant, de proditione iam curam habens.

Vers. 18.

*) αὐτοῦ, abest. A.

καὶ κόνις, καὶ εἴ τι τούτων εὐτελέστερον. ὅταν δὲ οὐ μόνον οὐ ταπεινώμεθα πρὸς τοὺς ἐλάττονας, ἀλλ' οὐδὲ πρὸς τοὺς μείζονας· καὶ οὐ μόνον οὐ νίπτομεν τοὺς πόδας τῶν δούλων, ἀλλ' οὐδὲ τῶν φίλων, οἱ καὶ τοὺς τῶν ἐπιβούλων νίπτειν ὀφείλοντες· ποίας οὐκ ἂν εἴημεν ἄξιοι καταδίκης, οὐ μόνον οὐ μιμούμενοι τὸ δοθὲν ὑπόδειγμα, ἀλλὰ καὶ ἐξ ἐναντίας ἱστάμενοι, καὶ κατὰ διάμετρον ἐπαιρόμενοι, καὶ τὴν ὀφειλὴν οὐκ ἀποδιδόντες; καὶ ὑμεῖς, γάρ φησιν, ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.

Verſ. 16. Ἀμὴν — αὐτόν. Λοιπὸν οὖν, εἰ ἐγὼ ὁ ἀσυγκρίτως μείζων, οὕτως ἐταπεινώθην, πολλῷ μᾶλλον ὑμεῖς. καὶ τοῦτο δὲ τῆς ἀφάτου ταπεινώσεως αὐτοῦ, τὸ δοῦναι ἑαυτὸν παράδειγμα, τὸν πλάστην τοῖς πλάσμασι, καὶ τρόπον τινὰ συγκρίνεσθαι τὸν ἀσύγκριτον.

Εἶπε δὲ τὸ νόημα τοῦτο καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον, καὶ ζητητέον ἐκεῖ τό· οὐκ ἔστι[n]) μαθητὴς ὑπὲρ τὸν διδάσκαλον[3]) αὐτοῦ, καὶ τὰ ἑξῆς. n) Matt. 10,24.

['Ουκ[3]) ἔστι δοῦλος· Ἕως ἂν ὁ μέν ἐστι δοῦλος τούτου, ὁ δὲ ἀπόστολος ἐκείνου. ἐλάττωσις γὰρ καὶ τὸ δουλεύειν, καὶ τὸ ἀποστέλλεσθαι.]

Verſ. 17. Ἐι — αὐτά. Ἐι ταῦτα οἴδατε, τὰ ῥηθέντα· οἴδατε δὲ αὐτὰ, παρ' ἐμοῦ μαθόντες· μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. οὐκ ἀρκεῖ γὰρ εἰδέναι μόνον, ἀλλὰ χρὴ καὶ ποιεῖν.

Verſ. 18. Ὀυ — λέγω. Τὸ, ἐὰν ποιῆτε αὐτά. περὶ τοῦ ἰούδα γὰρ τοῦτο ἔλεγεν, ὃς οὐ μόνον οὐκ ἔμελλε ποιήσειν αὐτὰ, ἀλλ' οὐδ' ἄλλό τι τῶν ἐντεταλμένων, ἤδη τὴν προδοσίαν μελετῶν.

3) Haec vterque in margine habet. Caret iis Henrenius.

Vers. 18. *Ego — elegerim.* Noui, tanquam Deus, quinam ex electis meis facturi sunt ea, et quis sit, qui non faciet. Superius quoque dixit, Et vos mundi estis, sed non omnes: variisque temporibus multa huiusmodi loquutus est, quae solius proditoris pungerent conscientiam, simulque docerent, quod eum non lateret proditor, et illum ad poenitentiam ac correctionem euocarent: verum non persuaserunt.

Cur autem etiam proditorem elegerit, diximus octauo iuxta Marcum capite: et ibi quaere, quod dicitur, Et ascendit in montem, et vocauit, quos ipse voluit et caetera, totamque illorum verborum lege enarrationem.

Vers. 18. *Sed — suum.* Etiam in hoc loco dictio Vt, manifestatiua est eius, quod futurum erat. Hoc quoque sicut et alia propter proditorem dicit. Nam futurum erat: vt compleretur scriptura Dauidica, quae ait, Qui comedit panes meos ampliauit aduersum me supplantationem.

Septuaginta ergo ex Hebraico sensu hanc ita interpretati sunt: Christus vero eandem nunc ex eodem interpretatus, aliis dictionibus eandem vim obtinentibus eadem et ipse dicit. Siquidem idem sibi volunt, Qui edit, quum euangelista, Christi verba referens, habeat ὁ τρώγων: et, Qui comedit, quum septuaginta dicant ὁ ἐσθίων: et Ampliauit, sicut sustulit, eodemque modo se habent et reliqua.

Ait ergo de Iuda, Qui apud me pascitur, qui de eadem mensa mecum communicat, neque ob hoc ipsum me reueretur,* ampliauit ac sustulit, hoc est, confirmauit siue mouit aduersum me calcaneum et supplantationem, siue dolum ac insidias,

eo

*) Redde: *veluti, Sed hoc propter proditorem dico.*

Vers. 18. Ἐγὼ — ἐξελεξάμην. Οἶδα, ὡς θεὸς, τίνες μὲν τῶν παρ' ἐμοῦ ἐκλεγέντων ποιήσουσιν αὐτὰ, τίς δὲ οὐ ποιήσει. καὶ ἀνωτέρω δὲ εἰπών· ὅτι o) καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες· καὶ ἐν διαφόροις δὲ καιροῖς πολλὰ τοιαῦτα φθεγξάμενος, νύττοντα μόνον τὸ τοῦ προδότου συνειδὸς, καὶ ἅμα μὲν διδάσκοντα, ὅτι οὐ λανθάνει ἐπιβουλεύων, ἅμα δὲ καὶ εἰς μεταμέλειαν καὶ διόρθωσιν ἐκκαλούμενα, οὐκ ἔπειθε. o) Io. 13. 10.

Διατί δὲ ἐξελέξατο καὶ τὸν προδότην, εἰρήκαμεν ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ μάρκον· καὶ ζήτησον ἐκεῖ τό· καὶ p) ἀναβαίνει εἰς τὸ ὄρος· καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτὸς, καὶ τὰ ἑξῆς, καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν τῶν τοιούτων ῥητῶν. p) Marc. 3. 13.

Vers. 18. Ἀλλ' — αὐτοῦ. Κἀνταῦθα τὸ ἵνα, δηλωτικόν ἐστι τοῦ μέλλοντος· οἷον,[4]) ἀλλὰ διὰ τὸν προδότην τοῦτο λέγω. μέλλει γὰρ ἡ γραφὴ πληρωθῆναι ἡ δαυϊτικὴ, ἡ λέγουσα, ὁ q) ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. q) Ps. 40. 10.

Οἱ μὲν οὖν ἑβδομήκοντα οὕτως ἀπὸ τοῦ ἑβραϊκοῦ τὸ ῥητὸν ἡρμήνευσαν· ὁ δὲ χριστὸς ἀπὸ τοῦ αὐτοῦ τὸ αὐτὸ νῦν μεθερμηνεύων, τὰ αὐτὰ καὶ αὐτὸς λέγει, δι' ἑτέρων ἰσοδυνάμων λέξεων. ἴσον γὰρ τό ὁ ἐσθίων καὶ τὸ ὁ τρώγων, καὶ τὸ ἐμεγάλυνε καὶ τὸ ἐπῆρε, καὶ τὰ λοιπὰ δὲ ὁμοίως ἔχουσι.

Φησὶ δὲ περὶ τοῦ ἰούδα, ὅτι ὁ τρεφόμενος παρ' ἐμοὶ, ὁ κοινωνῶν μοι τραπέζης, οὗτος αὐτὸ τοῦτο αἰδεσθεὶς ἐμεγάλυνε καὶ ἐπῆρεν, ἤγουν, ἐκραταίωσε καὶ ἐκίνησε κατ' ἐμοῦ πτέρναν, καὶ πτερνισμὸν, ἤτουν, ἐπιβουλὴν καὶ δόλον, διὰ τὰ[5]) συλλαλῆ-

[4]) τοῦ. B.

eo quod cum inimicis sit loquutus. Solent namque, qui currentes deiicere nituntur, calcaneo insidiari. Ideo calcaneus ac supplantatio dolum ac insidias denotat.

Vers. 19. *Nunc — sum.* Vt quum fuerit completa huiusmodi scriptura, credatis, quod ego sum, de quo illa vaticinabatur.

Vers. 20. *Amen — me.* Iuxta finem quoque decimi noni capitis euangelii secundum Matthaeum dixit, Qui recipit vos, me recipit: et qui me recipit, recipit eum, qui me misit. Nunc autem etiam idem dicit, volens amplius illos consolari, quod futurum esset, vt paulo post percurrerent orbem.

Vers. 21. *Haec — spiritu.* Spiritum dicit affectum moeroris ac turbationis, quo mouebatur ob proditoris perditionem: nam prae nimia compassione turbabatur. Vehementer enim super eo dolebat. De Lazaro etiam dictum illud declarantes, Infremuit spiritu, spiritum diximus turbationis affectum.

Vers. 21. *Et — me.* Testificatus est, siue protestatus de proditione.

Vers. 22. *Aspiciebant — diceret.* Siquidem miserum nondum publicare volebat, expectans adhuc eius conuersionem.

Vers. 23. *Recumbebat autem — Iesus.* Ipse erat, qui haec scribebat, velut significauit idem in fine euangelii. Hunc autem diligebat Iesus, plus videlicet caeteris, vt qui plus diligi dignus erat, ob virtutis magnae praerogatiuam, quam ipse modestiae causa occultauit.

Dicitur

σὴν τοῖς ἐχθροῖς. εἰώθασι γὰρ, οἱ τοὺς τρέχοντας ὑποσκελίζειν πειρώμενοι, διὰ τῆς πτέρνης ἐπιβουλεύειν. διὸ πτέρνα καὶ πτερνισμὸς, ἡ ἐπιβουλὴ καὶ ὁ δόλος.

Vers. 19. Ἀπάρτι — εἰμι. Ἵνα, ὅταν πληρωθῇ ἡ τοιαύτη γραφὴ, πιςεύσητε, ὅτι ἐγώ εἰμι, περὶ οὗ ἐκείνη προεφήτευσεν.

Vers. 20. Ἀμὴν — με. Καὶ πρὸς τῷ τέλει τοῦ ἐννεακαιδεκάτου κεφαλαίου τοῦ κατὰ ματθαῖον εἶπεν· ὁ [r]) δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. καὶ νῦν δὲ τὸ αὐτὸ λέγει, παρηγορῶν αὐτοὺς ἐπὶ πλέον, μέλλοντας ὅσον οὔπω διατρέχειν τὴν οἰκουμένην. r) Matt. 10, 40.

Vers. 21. Ταῦτα — πνεύματι. Πνεῦμα νοεῖ, τὸ πάθος τῆς λύπης καὶ συγχύσεως, τῆς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ προδότου. ὑπὸ γὰρ τῆς ἄγαν συμπαθείας ἐταράχθη, ὑπεραλγήσας αὐτοῦ. καὶ ἐπὶ τοῦ λαζάρου δὲ, τὸ, ἐνεβριμήσατο [s]) s) Io. 11, 33.
τῷ πνεύματι, ἑρμηνεύοντες, πνεῦμα τὸ πάθος τῆς συγχύσεως εἰρήκαμεν.

Vers. 21. Καὶ — με. Ἐμαρτύρησεν, ἤγουν, διεμαρτύρατο περὶ τῆς προδοσίας.

Vers. 22. Ἔβλεπον — λέγει. Οὔπω γὰρ ἤθελε δημοσιεῦσαι τὸν ἄθλιον, ἀναμένων ἔτι τὴν ἐπιςροφὴν αὐτοῦ.

Vers. 23. Ἦν δὲ ἀνακείμενος — ἰησοῦς. Αὐτὸς ἦν ὁ ταῦτα γράφων, ὡς αὐτὸς ἐπὶ τέλους τοῦ εὐαγγελίου δεδήλωκε. τοῦτον δὲ ἠγάπα ὁ ἰησοῦς, πλέον δηλονότι, ὡς ἄξιον ἀγαπᾶσθαι πλέον, διὰ πλεονεξίαν ἀρετῆς μεγάλης, ἣν αὐτὸς ἀπέκρυψε διὰ μετριοφροσύνην.

Dicitur autem tantam a puero curam habuisse puritatis, vt ne turpem quidem cogitationem vnquam in cor suum ascendere permiserit: turpis autem cogitatio, non de motu naturali accipienda est, sed de phantasia voluntaria: ideo etiam virgo postmodum cognominatus est. Hoc vero priuilegium Dei quoque genetrici datum erat.

Dicit autem Chrysostomus, quod etiam amplius eum diligebat, propter excellentem animi humilitatem ac mansuetudinem, quas adeptus erat postquam de praeeminentia correptus fuerat. Siquidem hae virtutes etiam Mosen exaltauerunt.

Considera vero et hoc, quomodo solus e discipulis in magistri afflictionibus permanserit, donec spiritum exhalasset: ob haec ergo etiam amplius eum diligebat, ac tempore illo in sinu eius recumbebat, tanquam filius in sinu patris: appropinquans similiter ei propter virtutis propinquitatem. Siquidem verisimile est, quod praecognita iam magistri morte, moestus admodum erat, et propterea post pedum lotionem ascitus fuerat, ibique recubuerat: consolationis ergo gratia haec scripsit, non gloriationis: nam fugiens iactantiam, suiipsius nomen conticuit.

Verum, quum caeteri euangelistae praetermisissent, quae de intinctione et offula Iudae data contigerant: narraturus hoc, incidit necessario in horum enarrationem. Nam, quia hortatu Petri clam interrogauerat, quisnam esset, qui eum traderet, necesse erat dicere, quomodo recumberet, vt clam caeteris posset interrogare, et quo pacto ausus est ibi recumbere ac secreto interrogare.

Aut recubuisse se dicit in sinu eius, immensam illius manifestans humilitatem, qui immensae

⁶) Tom. VIII. p. 294. A.

Λέγεται δὲ καὶ τοσοῦτον ἐκ νεότητος ἐπιμελήσασθαι καθαρότητος, ὡς μὴ ἐᾶσαί ποτε μηδὲ λογισμὸν αἰσχρὸν ἀναβῆναι εἰς τὴν καρδίαν αὐτοῦ. λογισμὸν δὲ αἰσχρὸν, οὐ τὴν φυσικὴν κίνησιν οἰητέον· ἀλλὰ τὴν προαιρετικὴν φαντασίαν. διὸ καὶ παρθένος ὕστερον ἐπωνομάσθη. τοῦτο δὲ τὸ προτέρημα καὶ τῇ θεοτόκῳ προσῆν.

Λέγει δὲ ὁ [6]) χρυσόστομος, ὅτι ἠγάπα αὐτὸν πλέον, καὶ δι᾽ ὑπερβάλλουσαν ταπεινοφροσύνην καὶ πραότητα, ἅπερ ἐκτήσατο μετὰ τὸ ἐπιτιμηθῆναι διὰ τὴν προεδρίαν. ταῦτα γὰρ καὶ τὸν μωϋσῆν ὕψωσαν.

Σκόπει δὲ καὶ τοῦτο, ὅτι καὶ τοῖς πάθεσι τοῦ διδασκάλου μόνος τῶν μαθητῶν παρέμεινεν ἄχρις ἂν ἐξέπνευσε. διὰ ταῦτα οὖν καὶ ἠγαπᾶτο πλέον. καὶ ἀνέκειτο κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τῷ κόλπῳ αὐτοῦ, ὡς παῖς ἐν κόλπῳ πατρὸς, ἀναλόγως ἐγγίζων αὐτῷ, διὰ τὴν ἀπὸ τῆς ἀρετῆς ἐγγύτητα. εἰκὸς γὰρ, αὐτὸν γνόντα ἤδη τὸν θάνατον τοῦ διδασκάλου, σφόδρα σκυθρωπάζειν, καὶ διὰ τοῦτο, μετὰ τὸν νιπτῆρα, προσκληθῆναι, καὶ ἀναπεσεῖν ἐκεῖ, χάριν παρηγορίας. ἔγραψε μὲν οὖν ταῦτα, οὐ φιλοτιμούμενος. καὶ γὰρ φεύγων τὸν κόμπον, τὸ ἑαυτοῦ παρεσιώπησεν ὄνομα.

Ἀλλ᾽ ἐπειδὴ παρέδραμον οἱ ἄλλοι εὐαγγελισταὶ τὰ περὶ τοῦ ἐμβαφέντος ψωμίου καὶ δοθέντος τῷ ἰούδᾳ, μέλλων διηγήσασθαι τοῦτο, ἀναγκαίως ἐνέπεσε καὶ εἰς τὴν τούτων ἀπαγγελίαν. ἐπεὶ γὰρ αὐτὸς, ἐπιτραπεὶς παρὰ τοῦ πέτρου, ἠρώτησε κρυφίως, τίς ἐστιν ὁ παραδιδοὺς αὐτόν· ἀναγκαῖον ἦν εἰπεῖν, ποῦ ἀνακείμενος ἠδύνατο ἐρωτᾶν κρυφίως, καὶ πῶς ἐθάρρει ἐκεῖ τε ἀνακεῖσθαι, καὶ ἐρωτᾶν μυστικῶς.

Ἢ τὸ μὲν ἀνακεῖσθαι ἐν τῷ κόλπῳ αὐτοῦ φησι, δηλῶν τὴν ὑπεράπειρον ταπείνωσιν τοῦ τὴν δόξαν ὑπερ-

sue erat gloriae: se vero diligi ait, significans et se gratum, et illum humanum. Confitetur ergo, quod diligebatur: causam vero, cur diligeretur non addit, simul et gratus et modestus.

Vers. 24. *Innuit — diceret.* Ipse quidem ausus non est interrogare, propter causam, quam sexagesimo quarto iuxta Matthaeum capite diximus: Iohanni vero hoc commisit, tanquam à praeceptore maxime dilecto, qui tunc in sinu eius recumbebat.

Vers. 25. *Quum ergo ille recumberet ita — est?* Ita, sicuti recumbebat, hoc est, non eleuatus, sed tantum conuersus. Iohannes itaque ex simplicitate ac dilectione recumbebat: nondum enim natura Deum esse cognoscebat: ipse vero permittebat, etiam in hoc animum illius oblectans.

Vers. 26. *Respondit — Iscariotae.* Quaere praedicto iuxta Matthaeum capite, vbi dicitur, Dico autem vobis, quod non bibam ex hoc fructu vitis vsque in diem illum et caetera: et lege totam enarrationem: nam in ea de his et iis, quae sequuntur, ad verbum dictum est.

Vers. 27. *Et — satanas.* In fine illius enarrationis de hoc plane inuenies. Ingressus est autem in illum, non quod, vt daemoniacum agitaret, sed quod dominaretur ac seruituti eum subiiceret, veluti septuagesimo sexto capite euangelii secundum Lucam diximus. Vel etiam per cogitationes in illum ingressus est.

Vers. 27.

7) τὸ κατὰ μκτθαῖον, omittit. A.

ὑπερέκπειρου· τὸ δὲ ἠγαπᾶσθαι λέγει, δεικνύων ἑαυτὸν παρευχάριστον, κἀκεῖνον φιλανθρωπότατον, καὶ ὅτι μὲν ἠγαπᾶτο, ὁμολογεῖ· διατί δὲ ἠγαπᾶτο, οὐ προστίθησιν. εὐχαριστῶν μὲν ἅμα, καὶ μετριοφρονῶν.

Vers. 24. Νεύει — λέγει. Αὐτὸς μὲν οὐκ ἐθάῤῥησεν ἐρωτῆσαι, διὰ τὴν αἰτίαν, ἣν εἰρήκαμεν ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· τῷ Ἰωάννῃ δὲ τοῦτο ἐπέτρεψεν, ὡς ἠγαπημένῳ μάλιστα τῷ διδασκάλῳ, καὶ ἀνακειμένῳ τηνικαῦτα ἐν τῷ κόλπῳ αὐτοῦ.

Vers. 25. Ἐπιπεσὼν δὲ ἐκεῖνος οὕτως — ἐστιν; Οὕτως, ὡς ἀνέκειτο, τουτέστι, μὴ ἀναστάς, ἀλλὰ μόνον μεταστραφείς. ὁ μὲν οὖν Ἰωάννης ἐξ ἁπλότητος καὶ ἀγάπης ἐπέπεσεν. οὔπω γὰρ φύσει Θεὸν αὐτὸν ἐγίνωσκεν. αὐτὸς δὲ ἠνείχετο, καὶ τούτῳ ψυχαγωγῶν αὐτόν.

Vers. 26. Ἀποκρίνεται — Ἰσκαριώτῃ. Ζήτησον ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· λέγω[t]) δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπάρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν, ἐν αὐτῇ γὰρ περὶ τούτων τε καὶ τῶν ἐφεξῆς ἐῤῥέθη κατὰ λόγον.

t) Matt. 26, 29.

Vers. 27. Καὶ — σατανᾶς. Ἐν τῷ τέλει τῆς ἐξηγήσεως ἐκείνης εὑρήσεις περὶ τούτου σαφῶς. εἰσῆλθε δὲ εἰς ἐκεῖνον, οὐχ ὥστε δαιμονᾶν αὐτόν, ἀλλ' ὥστε κατακυριεύειν καὶ δουλαγωγεῖν αὐτόν, ὡς καὶ ἐν τῷ ἑβδομηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Λουκᾶν εἰρήκαμεν. ἢ καὶ διὰ τῶν λογισμῶν εἰσῆλθεν εἰς *) ἐκεῖνον.

Vers. 27.

*) εἰς αὐτόν.

Verſ. 27. *Ait* — v. 29. *daret.* In ea enarratione etiam haec omnia pulchre declarata ſunt.

Verſ. 30. *Accepta* — *exiuit.* Similiter et hoc.

Verſ. 30. *Erat* — v. 31. *exiuit.* Significauit tempus euangeliſta, oſtendens, quod neque nox eum retinuit.

Verſ. 31. *Ait* — *hominis.* Superius dixit capite decimo quinto, Venit tempus, vt glorificetur filius hominis. Hic autem, Nunc glorificatus eſt filius hominis. Ex hoc, inquit, tempore glorificatus eſt, afflictionibus pro mundo toleratis: nam gloria ſunt domino afflictiones, quas pro ſeruis tolerat. Tanquam factum autem dicit id, quod futurum eſt, quia paulo poſt comprehendendus et paſſurus erat. Quod ſi domino gloria ſunt afflictiones toleratae pro ſeruis, multo magis ſeruis gloria ſunt, quae pro domino ſuſtinent.

Verſ. 31. *Et* — *eum.* Pater glorificatus eſt per filium, per conuerſationem, qua tanquam homo pro ſalute hominum conuerſatus eſt. Nam ſicut filio gloria eſt habere talem patrem, ita ſane et patri gloria eſt, habere talem filium. Praeterea quoque homines videntes admiranda quae faciebat, glorificabant Deum, quemadmodum dicunt euangeliſtae.

Verſ. 32. *Quod ſi* — *ſeipſum.* Glorificabit filium per ſeipſum, edens prodigia tempore paſſionis, tremenda ac ſtupenda ſigna: etiam hinc oſtendens, quod legitimus eſſet eius filius. Nam et propterea in ſuperioribus dixit, Quum exaltaueritis

Verf. 27. Λέγει — v. 29. δῷ. Ἐν ἐκείνῃ τῇ ἐξηγήσει καὶ ταῦτα πάντα διηρμηνεύθησαν ἄριστα.

Verf. 30. Λαβὼν — ἐξῆλθεν. Ὁμοίως καὶ τοῦτο.

Verf. 30. Ἦν — v. 31. ἐξῆλθεν. Ἐπεσημήνατο τὸν καιρὸν ὁ εὐαγγελιστής, δεικνύων, ὅτι οὐδὲ ἡ νὺξ ἐπέσχεν αὐτόν.

Verf. 31. Λέγει — ἀνθρώπου. Ἀνωτέρω μὲν εἶπεν, ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ, ἐλήλυθεν v) ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου· ἐνταῦθα δὲ, νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀπὸ τοῦ νῦν ψ) ἐδοξάσθη, φησὶ, τοῖς ὑπὲρ τοῦ κόσμου πάθεσι. δόξα γὰρ τῷ δεσπότῃ, τὰ ὑπὲρ τῶν δούλων πάθη. ὡς γεγονὸς δὲ λέγει τὸ γενησόμενον, διὰ τὸ ὅσον οὔπω μέλλειν συλληφθῆναι καὶ πάσχειν. εἰ δὲ τῷ δεσπότῃ δόξα, τὰ ὑπὲρ τῶν δούλων πάθη, πολλῷ μᾶλλον τοῖς δούλοις δόξα τὰ ὑπὲρ τοῦ δεσπότου. v) Io. 12, 23.

Verf. 31. Καὶ — αὐτῷ. Ὁ πατὴρ ἐδοξάσθη ἐν τῷ υἱῷ, διὰ τῆς πολιτείας, ἣν ὡς ἄνθρωπος ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐπολιτεύσατο. ὥσπερ γὰρ τῷ υἱῷ δόξα, τὸ ἔχειν τοιοῦτον πατέρα· οὕτως ἄρα καὶ τῷ πατρὶ δόξα, τὸ ἔχειν τοιοῦτον υἱόν. ἄλλως τε, καὶ οἱ ἄνθρωποι βλέποντες, ἃ ἐτερατούργει καὶ ἐδίδασκεν, ἐδόξαζον τὸν θεὸν, ὡς οἱ εὐαγγελισταί φασι.

Verf. 32. Εἰ — ἑαυτῷ. Δοξάσει τὸν υἱὸν δι' ἑαυτοῦ, τερατουργῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὰ φοβερὰ καὶ ἐξαίσια σημεῖα, καὶ δεικνύων ἐντεῦθεν, ὅτι γνήσιος υἱὸς αὐτοῦ ἐστι. διὰ τοῦτο γὰρ καὶ προλαβὼν εἶπεν· ὅταν x) ὑψώσητε τὸν υἱὸν x) Io. 8, 28.

τοῦ

ψ) ἐδοξάσθην. B.

uertis filium hominis, tunc cognoscetis, quod ego sum, vbi latiorem ac manifestiorem dedimus enarrationem.

Vers. 32. *Et — eum.* Continuo in ipsa cruce. Hoc autem dixit, ne de gloria illa opinarentur, quam habebit in secundo suo aduentu, de qua frequenter eos docuit. Haec vero dicens, monet stertentes eorum cogitationes, et suadet, ne solum non moleste ferant, sed et gaudeant propter gloriam eius, quae paulo post futura est.

Vers. 33. *Filioli — sum* Futura iterum illis praedicit, vt postea recordati cognoscant, quod omnia manifeste sciens praedixerit: et ne repente superuenientia turbent illos non expectantes. Filiolos vero vocauit eos, non solum tanquam creator eorum, verum etiam tanquam magister ipsorum. Dicens autem, Filioli adhuc modico tempore vobiscum sum, vehementius suspendit desiderium eorum.

Vers. 33. *Quaeretis me.* Postquam mortuus fuero. Iudaeis vero, quum dixisset, Quaeretis me, addidit, Et non inuenietis: discipulis autem hoc non addidit: nam hi inuenturi eum erant post resurrectionem. Et illis quidem insaniam mitigans, dixit, Quaeretis me: his autem ardentius immittens desiderium.

Vers. 33. *Et — nunc.* Sed illis quidem tanquam indignis hoc dixit: his vero tanquam nondum morituris.

Vers. 34. *Praeceptum — inuicem.* Atqui vetus erat praeceptum, Diliges proximum tuum, sicut

τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι· ἔνθα πλατύτερον ὁμοῦ καὶ σαφέστερον ἐξηγησάμεθα.

Vers. 32. Καὶ — αὐτόν. Εὐθὺς, ἐν αὐτῷ τῷ σταυρῷ. τοῦτο δὲ εἶπεν, ἵνα μὴ ὑπολάβωσιν, ὅτι περὶ τῆς δόξης ἐκείνης λέγει, τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ, περὶ ἧς διαφόρως ἐδίδαξεν αὐτούς. ταῦτα δὲ λέγων, ἀνίστησι καταπεπτωκότας τοὺς λογισμοὺς αὐτῶν, καὶ πείθει μὴ μόνον μὴ δυσφορεῖν, ἀλλὰ μᾶλλον χαίρειν, διὰ τὴν μετὰ βραχὺ δόξαν αὐτοῦ.

Vers. 33. Τεκνία — εἰμι. Πάλιν προλέγει αὐτοῖς τὰ μέλλοντα, ἵνα τε μετὰ ταῦτα ὑπομιμνησκόμενοι γινώσκοιεν, ὅτι προεῖπε, πάντα σαφῶς εἰδὼς, καὶ ἵνα μὴ ἀθρόον ἐπελθόντα διαταράξωσιν αὐτοὺς, οὐ προσδοκῶντας. τεκνία δὲ ἐκάλεσε τούτους, οὐ μόνον ὡς ποιητὴς αὐτῶν, ἀλλὰ καὶ ὡς διδάσκαλος. εἰπὼν δὲ, τεκνία, ἔτι μικρὸν χρόνον μεθ᾽ ὑμῶν εἰμι, σφοδρότερον αὐτοῖς ἐξάπτει τὸν πόθον.

Vers. 33. Ζητήσετέ με. Μετὰ τὸ ἀποθανεῖν με. τοῖς μὲν ἰουδαίοις εἰπών· ζητήσετέ γ) με· προσέθηκεν, ὅτι καὶ οὐχ εὑρήσετε· ἐπὶ δὲ τῶν μαθητῶν, οὐ προσέθηκε τοῦτο, διότι ἔμελλον εὑρεῖν αὐτὸν οὗτοι μετὰ τὴν ἀνάστασιν. καὶ ἐκείνοις μὲν, παραμυθούμενος τὴν μανίαν, εἶπεν, ὅτι ζητήσετέ με· τούτοις δὲ, πόθον ἐμβάλλων πλείονα. γ) Io. 7, 34.

Vers. 33. Καὶ — ἄρτι. Ἀλλ᾽ ἐκείνοις μὲν εἶπε τοῦτο, ὡς ἀναξίοις τοῦ τόπου ἐκείνου· τούτοις δὲ, ὡς οὔπω ἀποθανουμένοις.

Vers. 34. Ἐντολὴν — ἀλλήλους. Καὶ μὴν παλαιὰ ἐντολὴ ἦν· ἀγαπήσεις τὸν πλησίον σου,

ſicut teipſum: verum, quod nunc datur, maius illo eſt: ſubdit enim:

Verſ. 34. *Sicut — inuicem.* Haec eſt nouitas: illud ſiquidem praecipiebat, proximum diligere tanquam ſeipſum: hoc autem etiam, plus quam ſeipſum. Nam ita dilexit nos Chriſtus, vt nec ſibi ipſi parceret, ſed pro nobis moreretur.

Quidam vero aliter interpretantur: quod ſcilicet vetus praeceptum erat, Diliges proximum tuum, et odio habebis inimicum tuum: nunc autem tradit omnes eſſe diligendos, videlicet etiam inimicos: ſiquidem ipſe omnes dilexit diſcipulos, vt neque Iudam ſibi parantem inſidias odio haberet, ſed potius turbaretur ſpiritu, hoc eſt, affectu moeroris ac triſtitiae, propter illius perditionem.

Verſ. 35. *In — mutuam.* Sicut et ego erga vos: quia verus diſcipulus praeceptorem imitatur. Hic manifeſtus eſt Chriſtiani character, hoc plane inſigne: nam vera dilectio omnium caput eſt virtutum.

Quid ergo, an non multo magis *) demonſtrant miracula Chriſti diſcipulum? Nequaquam. Dixit enim iuxta finem quinti capitis euangelii ſecundum Matthaeum, Multi dicent mihi in illo die, Domine, Domine, nonne per nomen tuum prophetauimus, et per nomen tuum daemonia eiecimus, et per nomen tuum virtutes multas fecimus? et tunc confitebor illis, Nunquam noui vos: et lege totam, quae ibi poſita eſt, enarrationem.

Atqui miracula maxime orbem allexerunt. Verum id erat, quia dilectio eos, qui edebant miracula, praecedebat.

Verſ. 36.

*) καινὴν, pro καὶ νῦν. A. Forte καινὴν νῦν.

σου, ὡς σεαυτόν· ἀλλ' ἡ νῦν διδομένη, μείζων ἐκείνης. ἐπάγει γάρ.

Verſ. 34. Καθὼς — ἀλλήλους. Τοῦτο ἡ καινότης· ἐκείνη μὲν γὰρ ἐκέλευεν, ἀγαπᾷν τὸν πλησίον, ὡς ἑαυτόν· αὕτη δὲ, καὶ ὑπὲρ ἑαυτόν. ὁ γὰρ χριστὸς οὕτως ἠγάπησεν ἡμᾶς, ὡς μηδὲ ἑαυτοῦ φείσασθαι, ἀλλ' ἀποθανεῖν ὑπὲρ ἡμῶν.

Τινὲς δὲ ἑτέρως ἑρμηνεύουσιν, ὅτι ἐπειδὴ παλαιὰ ἐντολὴ ἦν· ἀγαπήσεις [z]) τὸν πλησίον σου, z) Matth. 5, 43.
καὶ μισήσεις τὸν ἐχθρόν σου· καὶ [1]) νῦν δίδωσιν, ἀγαπᾷν πάντας, ἤγουν, καὶ τοὺς ἐχθρούς. καὶ αὐτὸς γὰρ ἠγάπησε τοὺς μαθητὰς πάντας, ὡς μηδὲ τὸν ἰούδαν μισῆσαι, ἐπιβουλεύοντα αὐτῷ, ἀλλὰ καὶ μᾶλλον ταραχθῆναι τῷ πνεύματι, τουτέστι, τῷ πάθει τῆς λύπης καὶ συγχύσεως, τῆς ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ.

Verſ. 35. Ἐν — ἀλλήλοις. Καθὼς καὶ ἐγὼ πρὸς ὑμᾶς. ἐπεὶ καὶ μαθητὴς ἀληθὴς, ὁ μιμούμενος τὸν διδάσκαλον. τοῦτο σαφὴς χαρακτὴρ τοῦ χριστιανοῦ, τοῦτο φανερὸν γνώρισμα. ἡ ἀληθὴς γὰρ ἀγάπη, πάσης ἐστὶν ἀρετῆς κεφάλαιον.

Τί οὖν; οὐ πολλῷ μᾶλλον τὰ θαύματα δεικνύουσι τὸν τοῦ χριστοῦ μαθητήν; οὐδαμῶς· εἴρηκε γὰρ πρὸς τῷ τέλει τοῦ ἕκτου κεφαλαίου τοῦ κατὰ ματθαῖον· ὅτι [a]) πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, κύριε, κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· καὶ ἀνάγνωθι τὴν ἐκεῖ ῥηθεῖσαν πᾶσαν ἐξήγησιν. a) Matth. 7, 22. 23.

Καὶ μὴν, τὰ θαύματα μάλιστα τὴν οἰκουμένην ἐπηγάγετο, ἀλλὰ διότι προῦπῆν τοῖς θαυματουργοῦσιν ἡ ἀγάπη.

Verſ. 36. *Dixit — me.* Petrus quidem interrogauit, non tantum ſcire volens, quantum ſequi cupiens. Chriſtus autem cognitam habens eius mentem, ad eam reſpondit: non dixit enim, quo abiret: ſed, Non potes me nunc ſequi, inſinuabat autem de morte.

Verſ. 37. *Dicit — ponam.* Quid agis, o Petre? Quum ille dicat, Non potes, tu dicis, Quare non poſſum? Proinde experientia te docebit, ne contradicas.

Verſ. 38. *Reſpondit — ter.* Quaere ſexageſimo quarto iuxta Matthaeum capite, vbi dicitur, Reſpondens autem Petrus dixit illi, Et ſi omnes offendantur per te, ego tamen nunquam offendar: et lege ibi dictam enarrationem, praeterea et eas, quae ſequuntur vſque ad eum locum vbi habetur, Similiter autem et omnes diſcipuli dixerunt.

Quod ſi variationem aliquam ferunt verba, nihil mirum. Haec ſiquidem dicta ſunt priusquam exirent in montem Oliuarum, illa vero poſtquam illuc exiuerant: nam quum bis obſtitiſſet Petrus, bis de negatione proteſtatus eſt illi Chriſtus: et de prima quidem repugnatione ac proteſtatione ſcripſerunt Matthaeus et Marcus, de ſecunda vero Lucas et Iohannes.

Cap. XIV. v. 1. *Ne — cor.*

Quum dixiſſet dominus ad Petrum, Poſtmodum me ſequeris: et, Ter me negabis propter vtrumque turbati ſunt, timentes ne quando ipſi ab eo amputarentur vel exciderent, ſolo Petro ſequente, aut ne quando ipſi quoque eum negarent, quemadmo-

a) καί, abeſt. A.
b) αὐτόν. A.

Vers. 36. Λέγει — μοι. Ὁ μὲν πέτρος ἠρώτησεν, οὐχ οὕτω βουλόμενος μαθεῖν, ὡς ἐπιθυμῶν ἀκολουθῆσαι. ὁ δὲ χριστὸς τὴν διάνοιαν αὐτοῦ γνοὺς, πρὸς αὐτὴν ἀπεκρίθη. οὐκ εἶπε γὰρ, ποῦ ὑπάγει, ἀλλ' ὅτι οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι. ὑπεδήλου δὲ περὶ τῆς σφαγῆς.

Vers. 37. Λέγει — θήσω. Τί ποιεῖς, ὦ πέτρε! ἐκείνου εἰπόντος, ὅτι οὐ δύνασαι, σὺ λέγεις, ὅτι διατί οὐ δύναμαι; οὐκοῦν ἡ πεῖρα διδάξει σε μὴ ἀντιλέγειν.

Vers. 38. Ἀπεκρίθη — τρίς. Ζήτησον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον, τό· ἀποκριθεὶς [b]) δὲ ὁ πέτρος εἶπεν αὐτῷ, εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι· καὶ ἀνάγνωθι καὶ τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν· ἔτι δὲ καὶ τὰς τῶν ἐφεξῆς ῥητῶν, ἄχρι τοῦ· ὁμοίως [c]) δὲ [2]) καὶ πάντες οἱ μαθηταὶ εἶπον.

b) Matt. 26, 33.
c) Matt. 26, 35.

Εἰ δὲ καὶ παραλλαγήν τινα φέρουσι τὰ ῥητὰ, καινὸν οὐδέν. ταῦτα μὲν γὰρ ἐρρήθησαν, πρὸ τοῦ ἐξελθεῖν αὐτοὺς [3]) εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἐκεῖνα δὲ, μετὰ τὸ ἐξελθεῖν ἐκεῖ. δὶς γὰρ ἐνστάντι τῷ πέτρῳ, δὶς περὶ τῆς ἀρνήσεως διεμαρτύρατο ὁ χριστός. καὶ περὶ μὲν τῆς πρώτης ἐνστάσεως καὶ διαμαρτυρίας ματθαῖος καὶ [d]) μάρκος ἔγραψαν· περὶ δὲ τῆς δευτέρας, [e]) λουκᾶς καὶ ἰωάννης.

d) Marc. 14, 29.
e) Luc. 22, 33.

Cap. XIV. v. 1. Μὴ — καρδία.

Εἰπόντος τοῦ κυρίου πρὸς τὸν πέτρον· ὅτι ὕστερον [f]) ἀκολουθήσεις μοι· καὶ ὅτι [g]) ἀπαρνήσῃ με τρίς· ἐταράχθησαν δι' ἀμφότερα, δεδοικότες, μήποτε αὐτοὶ ἀπεκόπησαν αὐτοῦ, μόνου τοῦ πέτρου ἀκολουθήσοντος, καὶ μήποτε καὶ αὐτοὶ τοῦ-

f) Io. 13, 36.
g) Io. 13, 38.

admodum et eorum praefectus. Reprimens ergo illorum anxietatem, primum quidem timorem negationis consolatur, deinde etiam de timore amputationis siue excisionis.

Vers. 1. *Credite — credite.* Credite firmiter in Deum patrem et in me, ac fides, quae in nos erit, seruabit vos insuperabiles.

Vers. 2. *In — sunt.* Quae sufficiant ad suscipiendum vos, vt semper sitis nobiscum.

Vers. 2. *Quod si secus — vobis.* Quod si non essent multae mansiones ac splendidum habitaculum, dixissem vobis, quod vado ad parandum mansionis locum vobis, qui mei estis et omnibus digniores: hoc omnino sane mihi curae est, vt vbi sum ego et vos sitis. Praedixit enim eis dicens, Vbi sum ego, illic et minister meus erit.

Vers. 3. *Et — sitis.* Hoc etiam dixissem vobis, Quod si abiero, vt praeparem vobis locum et caetera, itaque nec sic oportuit animo deiectos esse: quia vero iam olim praeparata est multitudo mansionum, ac dignis sorte distributae sunt, fiduciam habere oportet, et non desperare.

Potest et aliter dici: quod etiamsi abiero vt praeparem vobis locum, videlicet, vt innouem vobis ascensum in coelum, quo nullus vnquam hominum ascendit, rursum veniam secundo aduentu, et assumam vos ad meipsum, resuscitatos ex mortuis, vt conregnetis mihi in aeternum. Quanquam enim mortui ante eum ascenderunt, sed non cum corporibus: et si simul cum eo sunt, at non simul regnant.

4) Ab ἐκεῖ ad ἔσαι, in marg. a man. recent. in Cod. B. Nam a manu prima erat, καὶ ὑμεῖς ἦτε, quod per errorem ex superioribus erat repetitum. Quod nos dedimus, habet Cod. A. in contextu et Hentenius.

τὸν ἀπαρνήσωνται, ὡς ὁ κορυφαῖος. καταςέλλων οὖν τὴν ἐντεῦθεν ἀγωνίαν αὐτῶν, πρῶτα μὲν περὶ τοῦ φόβου τῆς ἀπαρνήσεως παραμυθεῖται, εἶτα καὶ περὶ τοῦ φόβου τῆς ἀποκοπῆς.

Vers. 1. Πιςεύετε — πιςεύετε. Πιςεύετε βεβαίως, εἰς τὸν πατέρα καὶ εἰς ἐμέ· καὶ λοιπὸν, ἡ εἰς ἡμᾶς πίςις συντηρήσει ὑμᾶς ἀηττήτους.

Vers. 2. Ἐν — εἰσιν. Ἱκαναὶ δέξασθαι καὶ ὑμᾶς, συνεσομένους ἡμῖν ἀεί.

Vers. 2. Ἐι δὲ μὴ — ὑμῖν. Ἐι δὲ μὴ ἦσαν ἐκεῖ πολλαὶ μοναὶ, καὶ δαψίλεια καταγωγίων, εἶπον ἂν ὑμῖν, ὅτι πορεύομαι ἑτοιμάσαι τόπον μονῆς ὑμῖν τοῖς ἐμοῖς, καὶ πρὸ πάντων τούτου πάντως ἂν ἐφρόντισα, ἵνα, ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε. προείρηκε γὰρ αὐτοῖς· ὅτι [h]) ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔςαι. h) Io. 12, 26.

Vers. 3. Καὶ — ἦτε. Καὶ εἶπον οὖν ὑμῖν καὶ τοῦτο, ὅτι ἐὰν πορευθῶ ἑτοιμάσαι ὑμῖν τόπον μονῆς, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν, καὶ τὰ ἑξῆς· ὥςε οὐδὲ οὕτως ἔδει ἀθυμεῖν. ἐπεὶ δὲ πάλαι παρεσκεύαςαι τὸ πλῆθος τῶν μονῶν, καὶ ἀποκεκλήρωνται τοῖς ἀξίοις, χρὴ θαῤῥεῖν, καὶ μὴ ἀπογινώσκειν.

Ἔςι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι καὶ ἐὰν πορευθῶ ἑτοιμάσαι ὑμῖν τόπον, ἤγουν, ἐγκαινίσαι ὑμῖν ἄνοδον πρὸς τὸν οὐρανὸν, ἣν οὐδεὶς οὐδέπω τῶν ἀνθρώπων ἀνῆλθε, πάλιν ἔρχομαι κατὰ τὴν δευτέραν μου παρουσίαν, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν, ἀναςάντας ἐκ νεκρῶν, συμβασιλεύσοντάς μοι αἰωνίως. εἰ γὰρ καὶ ἀποθανόντες, πρὸς αὐτὸν ἀνῆλθον, ἀλλ᾽ οὐ μετὰ τῶν σωμάτων, καὶ ἐν συνέσει αὐτῷ, ἀλλ᾽ οὐ συμβασιλεύοντες.

regnant. Quia vero sciens motus cordium ipsorum, cognouit cupere illos scire, quo iret, et viam, quae eo duceret quo iret, ait:

Vers. 4. *Et — scitis.* Ex his, quae frequenter dixi vobis, et hoc et illud nostis, si recordamini. Ad patrem namque ibat a quo etiam exiuerat: via autem ipse est, per quem imus ad patrem, veluti in sequentibus dicturus est.

Vers. 5. *Dicit — scire?* Putabat namque sensibilem aliquem locum esse, quo iret, et eodem modo viam esse similem.

Vers. 6. *Ait — vita.* Via quidem, quia per me gradimini: veritas autem, quia vera loquor, et ea infallibiliter erunt: vita vero, quia morti quoque dominor. Si ergo ego via sum, ducam vtique vos: si etiam veritas, non mentior: quod si et vita, neque mors vos a me separabit.

Vers. 6. *Nemo — me.* Nono vero capite dixit, Nemo potest venire ad me, nisi pater, qui misit me, traxerit eum: ille siquidem trahit, hic autem ducit et ambo cooperantur ad hominum salutem.

Vers. 7. *Si — vtique cognouissetis.* Superius quidem dicens, Et quo ego vado scitis, et viam scitis: significauit, quod et patrem et se cognoscerent. Hic autem adiiciens, Si cognouissetis me, et patrem meum vtique cognouissetis, ostendit, quod et se et patrem ignorarent. Id autem multis in locis facit: nam quia vtrumque cognoscebant, at non, vt conueniebat, (postmodum enim descendens spiritus sanctus, perfectam eis praebuit cognitionem) interdum quidem dicit, quod cognoscunt, quia vtcunque cognoscunt: quandoque vero,

ἐπεὶ δὲ, εἰδὼς τὰ κινήματα τῶν καρδιῶν αὐτῶν, ἔγνω ἐπιθυμοῦντας μαθεῖν, ποῦ ὑπάγει, καὶ τὴν ὁδὸν τὴν ἄγουσαν, ὅπου ὑπάγει, φησί.

Verſ. 4. Καὶ — οἴδατε. Ἐξ ὧν διαφόρως εἶπον ὑμῖν, οἴδατε καὶ ἀμφότερα, εἰ ἀναμνησθῆτε. ὑπῆγε μὲν οὖν πρὸς τὸν πατέρα, ἀφ' οὗ καὶ ἐξῆλθεν. ὁδὸς δὲ ἐστιν αὐτὸς, δι' οὗ ἐρχόμεθα πρὸς τὸν πατέρα, ὡς προϊὼν ἐρεῖ.

Verſ. 5. Λέγει — εἰδέναι; Ὤιετο γὰρ, αἰσθητὸν εἶναί τινα τόπον, ὅπου ὑπάγει, καὶ ὁδὸν ὁμοίως τοιαύτην.

Verſ. 6. Λέγει — ζωή. Ὁδὸς μὲν, ὅτι δι' ἐμοῦ ἔρχεσθε· ἀλήθεια δὲ, ὅτι ἀληθεύω, καὶ πάντως ἔσται ταῦτα· ζωὴ δὲ, ὅτι καὶ τοῦ θανάτου κυριεύω. εἰ οὖν ἐγώ εἰμι ἡ ὁδὸς, ὁδηγήσω ὑμᾶς· εἰ δὲ καὶ ἀλήθεια, οὐ ψεύδομαι· εἰ δὲ καὶ ζωὴ, οὐδὲ ὁ θάνατος διαστήσει ὑμᾶς ἐμοῦ.

Verſ. 6. Οὐδεὶς — ἐμοῦ. Ἐν τῷ ἐνάτῳ δὲ κεφαλαίῳ εἶπεν· οὐδεὶς[i]) δύναται ἐλθεῖν πρὸς i) Io. 6. 44.
ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. ὁ μὲν γὰρ ἑλκύει, ὁ δὲ ὁδηγεῖ· καὶ ἀμφότεροι συνεργοῦσιν εἰς τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Verſ. 7. Εἰ — ἐγνώκειτε ἄν. Ἀνωτέρω μὲν εἰπὼν[5]) ὅτι καὶ ὅπου[k]) ὑπάγω, οἴδατε, k) Io. 14. 4.
καὶ τὴν ὁδὸν οἴδατε· ἐδήλωσεν, ὅτι καὶ τὸν πατέρα οἴδασι καὶ αὐτόν. ἐνταῦθα δὲ ἐπαγαγὼν· ὅτι εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν· ἐνέφηνεν, ὅτι καὶ αὐτὸν ἀγνοοῦσι, καὶ τὸν πατέρα. καὶ πολλαχοῦ δὲ τοῦτο ποιεῖ. ἐπεὶ γὰρ ἐγίνωσκον μὲν καὶ ἀμφοτέρους, οὐχ ὡς προσῆκον δέ· ὕστερον γὰρ ἐπιφοιτῆσαν τὸ παναγίον πνεῦμα κατεσκεύασεν αὐτοῖς τελείαν τὴν γνῶσιν· ποτὲ μὲν, ὅτι γινώσκουσι, λέγει· διότι ὁπωσδήποτε

 γνώ-

5) ὅτι, abeſt. B.

vero, quod non cognoſcunt, quia non, vt oportet, cognoſcunt. Nunc vero ait, Si cognouiſſetis me, vt oportet, quis ſim, quantum ad intellectum, et patrem meum vtique cognouiſſetis: nam quum mihi ſit aequalis, et a me inſeparabilis: qui me cognouit, et patrem cognouit.

Verſ. 7. *Et — eum.* Quum me cognoſcatis, quanquam non, vt oportet, conſequens eſt, vt et ipſum ſimiliter cognoſcatis.

Chryſoſtomus vero, Cognoſcetis interpretatur, puta, non poſt multum tempus, cognoſcetis eum, vt oportet, vbi ſuper vos ſpiritus ſanctus deſcenderit.

Verſ. 7. *Et vidiſtis eum.* Etiam potentiam eius vidiſtis per meam potentiam, per diuina ſigna, quae dedi. Nam quae ego poſſum, haec et ille.

Verſ. 8. *Dicit — nobis.* Et ſufficit nobis, vt qui te iam antea cognouimus. Quia ergo quaeſiuit noſſe patrem, oſtendit Chriſtus, quod eum iam noſſet.

Verſ. 9. *Ait — Philippe?* Interrogationis ſermo eſt, tanto tempore vobiscum ſum, diuina ſigna operans, et ab his non cognouiſti me, quis ſim dignitate et potentia? quod Deus omnipotens? Sane omnino cognouiſti me, et conſequens ergo eſt, vt et patrem cognoueris; nam imago per omnia ſimilis ſum ego patris.

Verſ. 9. *Qui — patrem.* Qui meam cognouit dignitatem et potentiam, cognouit et patris dignitatem ac potentiam: ſumus namque per omnia ſimiles, et vnus per alterum mutuo cognoſcimur.

Verſ. 9.

*) καὶ videtur excidiſſe.

γνώσκουσι· ποτὲ δὲ, ὅτι οὐ γινώσκουσι, διότι, ὡς ἐχρῆν, ἐ γινώσκουσι. νῦν δέ φησιν, εἰ ἐγνώκειτέ με, ὡς χρὴ, τίς εἰμι τὸ νοούμενον, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν. ἐπεὶ γὰρ ἴσος ἐμοὶ καὶ ἀπαράλλακτός ἐστιν, ὁ νενοηκὼς ἐμὲ, νενόηκε[6]) τὸν πατέρα.

Vers. 7. Καὶ — αὐτόν. Ἐπεὶ ἐμὲ γινώσκετε, εἰ καὶ μὴ, ὡς χρὴ, λοιπὸν γινώσκετε καὶ αὐτὸν ὡσαύτως.

Ὁ δὲ χρυσόστομος[7]) γνώσεσθε ἑρμηνεύει, ἤγουν, ἅσον ἔπω γνώσεσθε αὐτὸν, ὡς προσῆκον, ἐπιφοιτήσαντος ὑμῖν τε ἁγίου πνεύματος.

Vers. 7. Καὶ ἑωράκατε αὐτόν. Καὶ ἑωράκατε τὴν δύναμιν αὐτε, διὰ τῆς ἐμῆς δυνάμεως, διὰ τῶν θεοπρεπῶν σημείων, ὧν ἐποίησα. ἃ γὰρ ἐγὼ δύναμαι, ταῦτα κἀκεῖνος.

Vers. 8. Λέγει — ἡμῖν. Καὶ ἀρκεῖ ἡμῖν, ὡς σὲ τέως ἐγνωκόσιν. ἐπεὶ οὖν ἐζήτησε γνῶναι τὸν πατέρα, δείκνυσιν ὁ χριστὸς, ὅτι οἶδεν αὐτόν.

Vers. 9. Λέγει — Φίλιππε; Κατ' ἐρώτησιν ὁ λόγος. τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, θεοσημείας ἐργαζόμενος, καὶ οὐκ ἔγνωκάς με ἀπὸ τέτων, τίς εἰμι τὴν ἀξίαν καὶ τὴν δύναμιν; ὅτι θεὸς παντοδύναμος. ναὶ πάντως ἔγνωκάς με καὶ εἰ ἔγνωκάς με, λοιπὸν ἔγνωκας τὸν πατέρα. εἰκὼν γὰρ ἀπαράλλακτος ἐγὼ τε πατρός.

Vers. 9. Ὁ — πατέρα. Ὁ ἐγνωκὼς τὴν ἐμὴν ἀξίαν καὶ δύναμιν, ἔγνωκε τὴν τε πατρός. ἀπαράλλακτοι γὰρ ἡμεῖς, καὶ δι' ἀλλήλων γνωριζόμενοι.

7) Tom. VIII. p. 432. C. Recte autem dixit hoc loco *interpretatur*. Facilius enim erat ita interpretari. Ergo textum mutauit Chrysostomus.

Verſ. 9. *Et — patrem?* Quomodo cognoſcere cupis, quem iam cognouiſti? quomodo quaeris, quod habes?

Alio quoque modo intelliguntur haec verba, quod quaerebat Philippus videre patrem ſenſibilibus oculis, audiens fortaſſis a multis frequenter viſum eſſe prophetis, ſpecie ac figura humana, additque, Et ſufficit nobis, vt qui ipſum filium iam videret ac noſſet. Chriſtus autem oſtendit, quod neque ſe vidiſſet, neque noſſet ſecundum diuinitatis naturam. Dicit ergo ei prolata negatiue ſententia, Tanto tempore vobiscum ſum et non cognouiſti me Philippe: nam diuina natura videri non poteſt, nec cognoſci. Qui vidit me, vidit et patrem: qui vero me videre non poteſt, neque patrem videre poteſt. Et quomodo tu dicis, Oſtende nobis patrem, quum nec me videris, nec cognoueris, quanquam te opinaris et vidiſſe et cognouiſſe me?

Verſ. 10. *Non — eſt?* Quod mutuo vnus per alterum cognoſcimur, tanquam omnino ſimiles. Quaere autem circa finem decimi capitis vbi dicitur, Vt cognoſcatis et credeatis, quod pater in me eſt, et ego in eo: et lege eius enarrationem.

Verſ. 10. *Verba — loquor.* Sed a patre: quod ſi a patre, vtique a meipſo: nam quae mea ſunt, etiam illius ſunt: et quae illius, etiam mea ſunt. Omnia ſiquidem communia et aequalia poſſidemus. Dicens autem de ſermonibus, dicit etiam de operibus.

Verſ. 10. *Pater autem — opera.* Ad finem praedicti capitis dixit, Si non facio opera patris

Verſ. 9. Καὶ — πατέρα; Πῶς θέλεις γνῶναι, ὃν ἔγνωκας; πῶς ζητεῖς, ὃ ἔχεις;

Νοοῦνται δὲ καὶ ἑτέρως τὰ ῥητὰ, ὅτι ἐζήτησε μὲν ὁ Φίλιππος ἰδεῖν τὸν πατέρα, τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, ἴσως ἀκούων, ὁραθῆναι πολλοῖς πολλάκις τῶν προφητῶν ἐν ἀνθρωπίνῳ εἴδει καὶ σχήματι. καὶ προσέθηκεν, ὅτι καὶ ἀρκεῖ ἡμῖν, ὡς αὐτὸν τέως ὁρῶν καὶ εἰδώς. δείκνυσι δὲ ὁ χριςὸς, ὅτι ὔτε αὐτὸν εἶδεν, οὐδὲ οἶδε κατὰ τὴν φύσιν τῆς θεότητος. λέγει οὖν αὐτῷ κατὰ ἀπόφασιν, τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε. ἀθέατος γὰρ ἡ θεία φύσις καὶ ἄγνωςος. [ὁ[8]) ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· ὁ δὲ ἐμὲ μὴ δυνάμενος ἰδεῖν, ὐδὲ τὸν πατέρα δύναται ἰδεῖν. καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα, ἐμὲ μὴ ἰδὼν, μήτε γνοὺς, σὺ καὶ ὑπολαμβάνεις ἰδεῖν καὶ γνῶναί με.]

Verſ. 10. Οὐ — ἐςιν; Ὅτι δι' ἀλλήλων γνωριζόμεθα, ὡς ἀπαράλλακτοι; ζήτησον δὲ πρὸς τῷ τέλει τῦ δεκάτου κεφαλαίου τό ἵνα[l]) l) Io. 10. 38.
γνῶτε καὶ πιςεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατὴρ, κἀγὼ ἐν αὐτῷ καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῦ.

Verſ. 10. Τὰ ῥήματα — λαλῶ. Ἀλλ' ἀπὸ τῦ πατρός. καὶ εἰ ἀπὸ τῦ πατρὸς, ἄρα ἀπ' ἐμαυτῦ. τὰ ἐμὰ γὰρ ἐκείνου, καὶ τὰ ἐκείνου, ἐμά. πάντα γὰρ κοινὰ καὶ ἴσα κεκτήμεθα. εἰπὼν δὲ περὶ τῶν λόγων, λέγει καὶ περὶ τῶν ἔργων.

Verſ. 10. Ὁ δὲ πατὴρ ἔργα. Πρὸς τῷ τέλει μὲν τῦ εἰρημένου κεφαλαίου εἶπεν· εἰ[m]) οὐ m) Io. 10. 37.
ποιῶ

8) Incluſa deſunt. A.

tris mei, nolite credere mihi: hic vero ait, Pater facit opera, quae videlicet ego operor. Et tunc autem et nunc idem significauit, nempe quod eadem et possint et velint. Pater ergo loquitur per filium tanquam per suum sermonem: operatur vero per filium, tanquam per suam potentiam. Praeterea in me manens, hoc est, a me non separatus, vel per me designatus.

Vers. 11. *Credite — me.* Credite mihi dicenti, quod ego in patre, et pater in me conspicitur.

Vers. 11. *Alioqui — mihi.* Si vero non creditis mihi propter sermones meos: vel propter opera ipsa credite mihi, quum supernaturalia sint ac diuina. Similiter quoque ad finem praedicti capitis dixit, Quod si mihi non creditis, operibus credite.

Vers. 12. *Amen — faciet.* Non dixit, Maiora facere possum his, quae feci, sed quod mirabilius est, etiam aliis tribuam, vt talia operentur. Deinde addit, quod adhuc maius est dicens.

Vers. 12. *Et — faciet.* Hoc autem demonstratio est potentiae eius, qui dedit, non eius qui signa edit: nam qui per Christi nomen maiora facit opera, quam Christus ediderit, Christi potentiam praedicat.

Vers. 12. *Quia — vado.* Vestrum, inquit, est deinceps, miracula operari, quia ego ad patrem meum vado, vt in propriam restituar gloriam. Haec autem omnia ad consolandum eos dicebat, quod tristes essent, ac grauiter ferrent, quia

q) Inclusa exciderunt. A.

r) Inclusa omittit. A.

ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· ἐνταῦθα δὲ λέγει, ὅτι ὁ πατὴρ ποιεῖ τὰ ἔργα ἃ ἐργάζομαι, δηλονότι. καὶ τότε δὲ καὶ νῦν τὸ αὐτὸ ἐνέφηνεν, ὅτι τὰ αὐτὰ καὶ δύνανται, καὶ θέλουσιν. ὁ τοίνυν πατὴρ λαλεῖ μὲν διὰ τοῦ υἱοῦ, ὡς διὰ [ἰδίου[a]) λόγου· ἐργάζεται δὲ διὰ τοῦ υἱοῦ, ὡς διὰ] ἰδίας δυνάμεως. τὸ δὲ ὁ ἐν ἐμοὶ μένων, ἀντὶ τοῦ, ὁ μὴ κεχωρισμένος μου, ἢ ὁ δι' ἐμοῦ χαρακτηριζόμενος.

Verſ. 11. Πιστεύετε — ἐμοί. Πιστεύετέ μοι, λέγοντι, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ θεωρούμεθα.

Verſ. 11. Εἰ δὲ μὴ — μοι. Εἰ δὲ μὴ πιστεύετέ μοι διὰ τοὺς λόγους μου, κἂν διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι, ὑπερφυῆ καὶ θεοπρεπῆ ὄντα. [καὶ πρὸς[l]) τῷ τέλει δὲ ὁμοίως τοῦ δηλωθέντος κεφαλαίου, εἴρηκεν· ὅτι[n]) κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε.] n) Io. 10, 38.

Verſ. 12. Ἀμὴν — ποιήσει. Οὐκ εἶπεν, ὅτι καὶ μείζονα, ὧν εἰργασάμην, δύναμαι ἐργάσασθαι· ἀλλ' ὃ πολλῷ θαυμασιώτερον, ὅτι καὶ ἑτέροις δώσω τοιαῦτα ἐργάζεσθαι. εἶτα προστίθησι καὶ τὸ ἔτι μεῖζον, λέγων·

Verſ. 12. Καὶ — ποιήσει. Τοῦτο δὲ τῆς δυνάμεως τοῦ δεδωκότος ἐστὶν ἀπόδειξις, οὐ τῆς τοῦ ποιοῦντος. ὁ γὰρ ἐν τῷ ὀνόματι τοῦ χριστοῦ μείζονα τῶν τοῦ χριστοῦ ἔργα ποιῶν, τὴν τοῦ χριστοῦ δύναμιν ἀνακηρύττει.

Verſ. 12. Ὅτι — πορεύομαι. Ὑμῶν, φησὶν, ἐστὶ τοῦ λοιποῦ τὸ καὶ θαυματουργεῖν, διότι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι, καὶ εἰς τὴν οἰκείαν δόξαν ἀποκαθίσταμαι. ταῦτα δὲ πάντας παραμυθούμενος αὐτοὺς ἔλεγε, σκυθρωπάζον-

quia sermones de resurrectione eius non intelligebant.

Vers. 13. *Et — faciam.* Quicquid petieritis invocato nomine meo. Dixit autem Faciam, suam ostendens potentiam.

Vers. 13. *Vt — filium.* Patris siquidem gloria est filii omnipotentia.

Vers. 14. *Si — faciam.* Ego tanquam cum patre aequaliter omnipotens. Idem autem dixit, sermonem maxime confirmans. Quia vero illos petere oportet, qui eum diligunt: docet, quomodo illum diligere oporteat, quia non solo verbo sed et opere.

Vers. 15. *Si — seruate.* Nam dilectionis meae signum est obseruatio praeceptorum meorum: eorum vero obseruatio est completio aut operatio illorum. Quia autem verisimile erat corporalem eius conuersationem, assuetaque colloquia eos expetere: adhuc consolatur illorum dolorem, dicens:

Vers. 16. *Et — vobis.* Hinc incipit discipulis notitiam dare de spiritu sancto. Alium inquit paracletum, tanquam me, siue admonitorem ac praeceptorem in certaminibus virtutis: solatium ac subsidium in afflictionibus. Dicens itaque Alium, ostendit personarum differentiam. Dicendo autem paracletum, siue consolatorem, docuit naturae identitatem: siquidem consolatores sunt et filius et spiritus sanctus.

Non tamen dixit, Mittam, ne Dei aduersarius esse videretur, et quasi alicuius alterius virtute facere

re

ζοντας καὶ δυσφοροῦντας, διὰ τὸ μήπω γινώσκειν τοὺς περὶ τῆς ἀναστάσεως αὐτοῦ λόγους.

Verſ. 13. Καὶ — ποιήσω. Ὃ ἂν αἰτήσητε, ἐπικαλούμενοι τὸ ὄνομά μου. ποιήσω δὲ, εἶπε, δεικνὺς τὴν ἐξουσίαν αὐτοῦ.

Verſ. 13. Ἵνα — υἱῷ. Δόξα γὰρ τῷ πατρὶ, τὸ παντοδύναμον τοῦ υἱοῦ.

Verſ. 14. Ἐάν — ποιήσω. Ἐγὼ, ὡς παντοδύναμος ἐπίσης τῷ πατρί. τὸ αὐτὸ δὲ λέγει, βεβαιῶν μάλιστα τὸν λόγον. ἐπεὶ δὲ ἐκείνους χρὴ αἰτεῖν, τοὺς ἀγαπῶντας αὐτὸν, διδάσκει, πῶς χρὴ ἀγαπᾷν αὐτὸν, ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ.

Verſ. 15. Ἐὰν — τηρήσατε. Τοῦ ἀγαπᾷν με γὰρ σημεῖον, ἡ τήρησις τῶν ἐντολῶν τῶν ἐμῶν. τήρησις δὲ αὐτῶν, ἡ πλήρωσις, ἡ ἐργασία αὐτῶν. ἐπεὶ δὲ εἰκὸς, αὐτοὺς ἐπιζητεῖν τὴν σωματικὴν αὐτοῦ συνουσίαν, καὶ τὰς συνήθεις ὁμιλίας, ἔτι παραμυθούμενος τὸ ἄλγος αὐτῶν φησί·

Verſ. 16. Καὶ — ὑμῖν. Ἐντεῦθεν ἄρχεται γνωρίζειν τοῖς μαθηταῖς τὰ περὶ τοῦ ἁγίου πνεύματος. ἄλλον δὲ παράκλητον, ὡς ἐμὲ, ἤτοι, παραινέτην καὶ ἀλείπτην ἐν τοῖς ἄθλοις τῆς ἀρετῆς, καὶ ²) ψυχαγωγίαν ἐν ταῖς θλίψεσι καὶ ἀντίληψιν. εἰπὼν μὲν οὖν, ὅτι ἄλλον, ἔδειξε τῶν ὑποστάσεων τὸ διάφορον. Φήσας δὲ, ὅτι παράκλητον, ἐδίδαξε τῆς φύσεως τὸ ταυτόν. παράκλητοι γὰρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Οὐκ εἶπε δὲ, ὅτι πέμψω, ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ τις, καὶ ὡς ἀπὸ ἄλλης τινὸς ἐξουσίας ποι-

²) Hoc καὶ non agnoſcit Hentenii verſio. Sed nec ſic acquieſcere poſſum. Malim ergo loco καὶ, corrigere πρός.

ra sermones: sed nunc quidem rogaturum se patrem promisit, et propter dictam causam, et ut fide dignus haberetur. In sequentibus autem propriam ostendit dignitatem dicens, Si ego non abiero paracletus non veniet ad vos: si autem abiero, mittam vobis eum. Et rursum, Accipite spiritum sanctum.

Sed quomodo ab alio datur ac mittitur, qui vbique praesens est, suaque diuidit singulis, prout vult charismata? Non tanquam seruus datur ac mittitur, sed tanquam eiusdem naturae, et eadem volens cum patre ac filio. Non enim sicut haec in creaturis significant, ita et in trinitate increata. Et datur quidem a patre, vtpote ab illo procedens, mittitur vero a filio quasi cooperans et non contrarius. Nunc itaque dari ac mitti ait spiritum sanctum: in sequentibus autem etiam huius ostendit potestatem dicens, Quum autem venerit ille et caetera.

Vers. 16. *Vt — aeternum.* Qui nec post mortem vestram separetur. Deinde etiam docet, quis sit alius paracletus.

Vers. 17. *Spiritum veritatis.* Hoc est, verum siue praecipuum, quantum ad alios spiritus. Nam et angelus dicitur spiritus et anima et ventus ac pleraque alia. Ne autem alium spiritum audientes, suspicentur etiam illum esse in carne, ac sensibilibus visibilem oculis, ait:

Vers. 17. *Quem — accipere.* Non potest accipere sensibiliter.

Vers. 17. *Quia — eum.* Corporaliter, quum sit incorporalis.

Vers. 17.

r) δὲ, abest. A.

ποιεῖσθαι τοὺς λόγους. ἀλλὰ νῦν μὲν ἐρωτῆσαι τὸν πατέρα ἐπηγγείλατο, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ ἵνα λογισθῇ ἀξιόπιστος. προϊὼν δὲ τὸ ἐκεῖνον ἐμφανίζει ἀξίωμα, λέγων· ἐὰν[o]) ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. καὶ πάλιν· λάβετε[p]) πνεῦμα ἅγιον.

o) Io. 16, 7.

p) Io. 20, 22.

Ἀλλὰ πῶς παρ' ἄλλε δίδοται καὶ πέμπεται τὸ πανταχῦ παρὸν, καὶ[q]) διαιρῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βέλεται, τὰ χαρίσματα; οὐχ ὡς δοῦλον, ἀλλ' ὡς ὁμοφυὲς, καὶ τὰ αὐτὰ τῷ πατρὶ καὶ τῷ υἱῷ βελόμενον. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν κτιστῶν, ὅτω καὶ ἐπὶ τῆς ἀκτίστου τριάδος τὰ τοιαῦτα σημαίνουσι. καὶ δίδοται μὲν ἐκ τῦ πατρὸς, ὡς ἐξ αὐτῦ ἐκπορευόμενον· πέμπεται δὲ παρὰ τῦ υἱοῦ, ὡς συνεργὸν καὶ οὐκ ἐναντίον. νῦν μὲν οὖν δίδοσθαι καὶ πέμπεσθαί φησι τὸ πνεῦμα τὸ ἅγιον· προβαίνων δὲ καὶ τὴν τέτυ δείκνυσιν ἐξεσίαν, λέγων·[r]) ὅταν[s]) δὲ ἔλθῃ ἐκεῖνος.

q) 1 Cor. 12, 11.

r) Io. 16, 13.

Verſ. 16. Ἵνα — αἰῶνα. Μηδὲ μετὰ τὴν τελευτὴν ὑμῶν ἀφιστάμενος. εἶτα διδάσκει, καὶ τίς ἐστιν ὁ ἄλλος παράκλητος.

Verſ. 17. Τὸ πνεῦμα τῆς ἀληθείας. Τὸ ἀληθινὸν, ἤτοι, τὸ ἐξαίρετον, πρὸς τὰ ἄλλα πνεύματα. πνεῦμα γὰρ λέγεται, καὶ ὁ ἄγγελος, καὶ ἡ ψυχὴ, καὶ ὁ ἄνεμος, καὶ ἕτερα πλείονα. ἵνα δὲ μὴ ἀκούσαντες, ὅτι ἄλλον παράκλητον, ὑποπτεύσωσι κἀκεῖνον ἔνσαρκον καὶ ὁρατὸν αἰσθητοῖς ὀφθαλμοῖς, φησίν.

Verſ. 17. Ὃ — λαβεῖν. Οὐ δύναται λαβεῖν αἰσθητῶς.

Verſ. 17. Ὅτι — αὐτό. Σωματικῶς. ἀσώματον γάρ.

Verſ. 17. *Nec cognoſcit eum.* Quum illum non videat.

Intelligitur autem et aliter: quod is, cui mundana curae ſunt, non poteſt illum ſuſcipere, quia non videt eum, ſiquidem excaecatus eſt oculis intellectualibus: nec cognoſcit eum, quum nihil ſublime poſſit intelligere.

Verſ. 17. *Vos — eum.* Propemodum illum cognoſcitis. Nam poſt breue tempus deſcendet ac docebit vos.

Vel, Cognoſcitis eum ex mei cognitione. Sicut enim, qui nouit me, nouit et patrem: ita rurſum, qui nouit me, nouit et ſpiritum ſanctum. Nam tres vnius ſunt ſubſtantiae ac naturae, potentiae ac dignitatis.

Verſ. 17. *Quia — manet.* Sicut enim pater mecum eſt, ita et ſpiritus ſanctus. Inſeparabilis ſiquidem eſt beata trinitas.

Verſ. 17. *Et in vobis erit.* Non moriens, ſicut ego: neque enim incarnatus eſt, ſicut ego. Quia vero quum tam multa dixiſſet, nondum triſtitiam illorum repulerat: quia grauiter adhuc ferebant ac moerebant, vt qui iam orphani relinquerentur, huiusmodi curat moeſtitiam.

Verſ. 18. *Non — orphanos.* Paternae miſerationis verbum eſt, multam adferens conſolationem ac oblectationem. Nequaquam vos relinquam orphanos, qui filii mei eſtis.

Verſ. 18. *Veniam ad vos.* Veniam rurſum poſt tertii diei reſurrectionem, quanquam non, vt prius, conuerſans.

Verſ. 19. *Adhuc — videbit.* Quum tanquam homo moriar.

Verſ. 17. Ὀυδὲ γινώσκει αὐτό. Μὴ ἰδὼν αὐτό.

Νοεῖται δὲ καὶ ἑτέρως, ὅτι ὁ κοσμικὰ φρονῶν, οὐ δύναται ὑποδέξασθαι αὐτὸ, ὅτι οὐ θεωρεῖ αὐτὸ, πεπηρωμένος ὢν τοὺς νοητοὺς ὀφθαλμούς. ὐδὲ γινώσκει αὐτὸ, μηδὲν ὑψηλὸν ἐννοεῖν ἰσχύων.

Verſ. 17. Ὑμεῖς — αὐτό. Γινώσκετε, ὅσον οὔπω. οὐκ εἰς μακρὰν γὰρ ἐπιφοιτήσει καὶ διδάξει ὑμᾶς.

Η γινώσκετε αὐτὸ, ἀπὸ τῦ γινώσκειν ἐμέ. ὥσπερ γὰρ ὁ νενοηκὼς ἐμὲ, νενόηκε τὸν πατέρα· ὕτω πάλιν ὁ νενοηκὼς ἐμὲ, νενόηκε τὸ πνεῦμα. μιᾶς γὰρ οἱ τρεῖς ὐσίας καὶ φύσεως καὶ δυνάμεως καὶ ἀξίας.

Verſ. 17. Ὅτι — μένει. Ὥσπερ γὰρ ὁ πατὴρ μετ' ἐμῦ ἐςιν· ὕτω καὶ τὸ πνεῦμα. ἀχώριςος γὰρ ἡ μακαρία τριάς.

Verſ. 17. Καὶ ἐν ὑμῖν ἔςαι. Μὴ ἀποθνήσκον,[4]) ὡς ἐγώ. ὐδὲ γὰρ ἐνηνθρώπησεν, ὡς ἐγώ. ἐπεὶ δὲ τοσαῦτα εἰπὼν, ὔπω τὴν ἀθυμίαν αὐτῶν ἐξέβαλεν, ἀδημονούντων ἔτι καὶ ἀλγυνομένων, ὡς ὀρφανῶν ἤδη καταλιμπανομένων, θεραπεύει τὸ τοιοῦτον ἄλγος.

Verſ. 18. Ὀυκ — ὀρφανύς. Πατρικῆς εὐσπλαγχνίας τὸ ῥῆμα, πολλὴν εἰσάγον παράκλησιν καὶ ψυχαγωγίαν. οὐ παντάπασιν ἀφήσω ὑμᾶς τὰ τεκνία μου.

Verſ. 18. Ἔρχομαι πρὸς ὑμᾶς. Ἔρχομαι πάλιν, μετὰ τὴν τριήμερον ἀνάςασιν, εἰ καὶ μὴ ὡς τὸ πρότερον συνεσόμενος.

Verſ. 19. Ἔτι — θεωρεῖ. Ἀποθανόντα, ὡς ἄνθρωπον.

4) ἀποθνήσκων. A.

Verſ. 19. *Vos — me.* Apparentem vobis per intermiſſa tempora, conuerſante ſemper vobiscum alio paracleto.

Verſ. 19. *Quia ego viuam.* Viuam rurſus a mortuis reſurgens.

Verſ. 19. *Et vos viuetis.* Non ſtatim mecum interfecti, ſed mea virtute multo adhuc tempore conſeruati. Vel, Vos viuetis etiam poſt mortem vita beata.

Verſ. 20. *In — meo.* In illo die, reſurrectionis meae videlicet, cognoſcetis, quod ego a patre meo indiuiſus ſim, eadem potens cum illo.

Verſ. 20. *Et — vobis.* Et quod vos etiam in me, cuſtoditi ac roborati: et ego in vobis, cuſtodiens ac roborans vos. Haec autem cognoſcetis, repreſſis inimicis, vobisque libere loquentibus, ac euangelio in dies florente.

Chriſtus itaque in patre, ratione eiusdem potentiae: Apoſtoli vero in eo, et ipſe in illis, ratione auxilii. Siquidem nouit frequenter ſcriptura eisdem verbis de Deo et homine poſitis, non ſimiliter vti. Nam et Chriſtus et nos filii Dei ac Dei dicimur, et imago ac gloria Dei: ſed magna eſt differentia, et multa variis in locis ſimilia inueniuntur.

Verſ. 21. *Qui — me.* Neque enim ſufficit, ea tantum habere, ſed et facere illa oportet. Quum autem hoc primum dixiſſet, nunc rurſum idem dicit, oſtendens, quod dilectionis ipſius ſignum non eſt, dolere de ſeparatione eius: nam id timiditatis potius eſt, ſed praecepta eius ſeruare.

Verſ. 21.

Verſ. 19. Ὑμεῖς — με. Ἐπιφαινόμενον ὑμῖν ἐκ διαλειμμάτων, συνόντος ὑμῖν ἀεὶ τοῦ ἄλλου παρακλήτου.

Verſ. 19. Ὅτι ἐγὼ ζῶ. Ζῶ, πάλιν ἀναστὰς ἐκ νεκρῶν.

Verſ. 19. Καὶ ὑμεῖς ζήσεσθε. Μὴ ἀναιρούμενοι αὐτίκα σὺν ἐμοὶ, ἀλλ' ὑπὸ τῆς ἐμῆς δυνάμεως ἐφ' ἱκανὸν συντηρούμενοι. ἢ καὶ ὑμεῖς ζήσεσθε, μετὰ θάνατον, τὴν μακαρίαν ζωήν.

Verſ. 20. Ἐν — μου. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τῇ τῆς ἀναστάσεώς μου, δηλονότι, γνώσεσθε, ὅτι ἐγὼ ἐν τῷ πατρί μου, ὅτι ἐγὼ ἀδιαίρετος τοῦ πατρός μου, ἐν τῷ τὰ αὐτὰ ἐκείνῳ δύνασθαι.

Verſ. 20. Καὶ — ὑμῖν. Καὶ ὅτι καὶ ὑμεῖς ἐν ἐμοὶ, φρουρούμενοι καὶ νευρούμενοι· κἀγὼ ἐν ὑμῖν, φρουρῶν καὶ νευρῶν ὑμᾶς. γνώσεσθε δὲ ταῦτα, τῶν ἐχθρῶν καταστελλομένων, ὑμῶν παῤῥησιαζομένων, τοῦ κηρύγματος καθ' ἑκάστην ἀνθοῦντος τὴν ἡμέραν.

Ὁ μὲν οὖν χριστὸς ἐν τῷ πατρὶ, κατὰ λόγον ἰσοδυναμίας· οἱ δὲ ἀπόστολοι ἐν αὐτῷ, καὶ αὐτὸς ἐν αὐτοῖς, κατὰ λόγον βοηθείας. οἶδε γὰρ ἡ γραφὴ πολλάκις τοῖς αὐτοῖς ῥήμασιν, ἐπὶ θεοῦ καὶ ἀνθρώπων κειμένοις, οὐχ ὁμοίως κεχρῆσθαι. καὶ ὁ χριστὸς γὰρ, καὶ ἡμεῖς υἱοὶ θεοῦ καὶ θεοὶ λεγόμεθα, καὶ εἰκὼν θεοῦ, καὶ δόξα θεοῦ· ἀλλὰ πολὺ τὸ διάφορον. καὶ πολλὰ πολλαχοῦ τοιαῦτα.

Verſ. 21. Ὁ — με. Οὐκ ἀρκεῖ γὰρ τὸ ἔχειν αὐτὰς μόνον, ἀλλὰ χρὴ καὶ ποιεῖν αὐτάς. εἰπὼν δὲ τοῦτο καὶ πρότερον, λέγει αὐτὸ καὶ νῦν, ἐμφαίνων, ὅτι τῆς ἀγάπης αὐτοῦ σημεῖον, οὐ τὸ ἀθυμεῖν ἐπὶ τῷ χωρισμῷ αὐτοῦ· τοῦτο γὰρ δειλίας μᾶλλόν ἐστιν· ἀλλὰ τὸ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ.

Verſ. 21. *Qui — eum.* Et ego, tanquam poſt reſurrectionem in priſtinam reſtitutus dignitatem. Conſidera vero conſequentiam admirabilem. Qui ſeruat, inquit, praecepta mea, diligit me: qui autem diligit me, diligitur a patre meo: quem vero pater dilexerit, et ego omnino diligam, vtpote ambobus eadem et volentibus et ſuſcipientibus.

Verſ. 21. *Et — meipſum.* Interdum quidem humano more, quandoque vero diuino ſplendore. Hoc autem audiens Iudas Iacobi, qui et Lebaeus dicebatur et Thaddaeus, putauit, quod veluti mortui ſaepius faciunt, in ſomniis manifeſtaturus eſſet ſeipſum: ideoque turbatus, non eſt auſus explicare, quod volebat, puta, Heu nobis, quia morieris, et in modum mortui manifeſtandus es; ſed alio modo per interrogationem ſuam oſtendit turbationem.

Verſ. 22. *Dicit — mundo?* Quid factum eſt? grauiter ferentis eſt ac turbati. Quid accidit, quod nobis manifeſtandus es in ſomniis, et non mundo conſueto more? nam quia nolebant, vt moreretur, admirandam ac deſperatam putabant mortem eius.

Verſ. 23. *Reſpondit — faciemus.* Ad eum, qui me diligit, ego et pater veniemus, hoc eſt, ita apparebimus ſicut pater meus, et non ſicut mortui: et manſionem apud eum faciemus: more diuino in eo habitantes, quod ſomniorum non eſt.

Verſ. 24. *Qui — patris.* Oſtendit, quod is, qui ſermones ſuos non ſeruat, nec ſe, nec patrem diligit. Ait enim, Qui non diligit me, ſermo-

Vers. 21. Ὁ — αὐτόν. Καὶ ἐγὼ, ὡς μετὰ τὸ ἀναστῆναι ἀποκατασταὶς εἰς τὸ πρότερον ἀξίωμα. ὅρα δὲ θαυμαστὴν ἀκολουθίαν· ὁ τηρῶν τὰς ἐντολάς μου, φησὶν, ἀγαπᾷ με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· ὃν δὲ ἀγαπήσει ὁ πατήρ μου, καὶ ἐγὼ ἀγαπήσω πάντως, ὡς ἀμφοτέρων τὰ αὐτὰ θελόντων καὶ ἀποδεχομένων.

Vers. 21. Καὶ — ἐμαυτόν. Ποτὲ μὲν ἀνθρωποπρεπῶς, ποτὲ δὲ δι᾽ ἐλλάμψεως. τοῦτο δὲ ἀκούσας Ἰούδας, ὁ Ἰακώβου, ὁ καὶ Λεββαῖος[5]) καὶ Θαδδαῖος καλούμενος, ἐνόμισεν, ὅτι, ὡς οἱ νεκροὶ πολλάκις ἐν ὀνείροις, ἐμφανίσει ἑαυτόν. διὸ καὶ συγχυθεὶς οὐκ ἐτόλμησε μὲν εἰπεῖν, ὃ ἐβούλετο, οἷον οὐαὶ ὑμῖν, ὅτι ἀποθνήσκεις, καὶ νεκροῦ τρόπον ἐμφανίζεσθαι μέλλεις, ἑτέρως δὲ δι᾽ ἐρωτήσεως τὴν σύγχυσιν ὑποφαίνει.

Vers. 22. Λέγει — κόσμῳ; Τὸ, τί γέγονε; δυσφοροῦντός ἐστι καὶ συγχεομένου. τί συμβέβηκεν, ὅτι ἡμῖν ἐμφανισθήσῃ ἐν ὀνείροις, καὶ οὐχὶ τῷ κόσμῳ συνήθως; ὑπὸ γὰρ τοῦ μὴ θέλειν, ἵνα ἀποθάνῃ, παράδοξον καὶ ἀνέλπιστον ᾤοντο τὸν θάνατον αὐτοῦ.

Vers. 23. Ἀπεκρίθη — ποιήσομεν. Πρὸς τὸν ἀγαπῶντά με ἐγὼ καὶ ὁ πατήρ μου ἐλευσόμεθα, τουτέστιν, οὕτως ἐμφανισθήσομαι, ὡς ὁ πατήρ μου, καὶ οὐχ, ὡς οἱ νεκροί· καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν, οἰκοῦντες ἐν αὐτῷ θεοπρεπῶς, ὅπερ ὀνειράτων οὐκ ἔστιν.

Vers. 24. Ὁ — πατρός. Ἀποδεικνυσιν, ὅτι ὁ τοὺς λόγους αὐτοῦ μὴ τηρῶν, οὔτε αὐτὸν ἀγαπᾷ, οὔτε τὸν πατέρα. λέγει γὰρ, ὅτι ὁ μὴ

5) λεβαῖος. A.

mones meos non seruat: quae autem dico, non mea sunt, sed patris mei. Itaque, qui meos non seruat sermones, nec patris seruat sermones: qui vero patris non seruat sermones, neque patrem diligit: siquidem dilectionis signum est obseruatio praeceptorum. Quomodo autem sermo, quem loquitur, sit eius et non sit eius, iam praediximus. Verum quia sciebat, eos quaedam non intelligere, in quibusdam autem etiam dubitare: promittit et eorum, quae ignorabant, et eorum, de quibus ambigebant, intelligentiam.

Vers. 25. *Haec — manens.* Haec, quae obscura videntur. Addidit autem, Apud vos manens: etiam hinc ostendens, quod paulo post abit ad patrem.

Vers. 26. *Paracletus autem — omnia.* Quae videlicet ad vos spectant. Nomine meo autem, id est, vt hic me referat, et meis fungatur vicibus. Nam quia ipse complens dispensatione ascendit ad patrem, reliquum erat, vt loco eius descenderet spiritus sanctus, ne paracletus, siue exhortator, nobis deficeret, sicut ait Gregorius Theologus.

Et quare tunc non docuit, quae ad illos pertinebant? Quia amplius ferre non poterant, sicut dicet in sequentibus.

Vers. 26. *Et — vobis.* Perfectius ad memoriam reducet, († † perfectioribus factis) Nam verisimile est, eos quaedam obliuioni tradidisse.

Vers. 27. *Pacem relinquo vobis.* Alii quidem homines morientes pecunias ac possessiones domesticis relinquunt: Christus vero pacem suis relin-

*) δὲ, pro γάρ. A.

μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· ἃ δὲ λέγω, οὐκ εἰσιν ἐμὰ, ἀλλὰ τοῦ πατρός· μὴ τηρῶν δὲ τοὺς λόγους μου, οὐ τηρεῖ τοὺς λόγους τοῦ πατρός· μὴ τηρῶν δὲ τοὺς λόγους τοῦ πατρὸς, οὐδὲ τὸν πατέρα ἀγαπᾷ. τεκμήριον[6]) γὰρ ἀγάπης, ἡ τήρησις τῶν ἐντολῶν. πῶς δὲ ὁ λόγος, ὃν λέγει, καὶ αὐτοῦ ἐστι, καὶ οὐκ ἔστιν αὐτοῦ, προειρήκαμεν. ἐπεὶ δὲ ἐγίνωσκεν, αὐτοὺς τινὰ μὲν μὴ συνιέντας, ἔν τισι δὲ καὶ ἀμφιβάλλοντας, ὑπισχνεῖται καὶ τὴν τῶν ἀγνοουμένων, καὶ τὴν τῶν ἀμφιβαλλομένων διδασκαλίαν.

Vers. 25. Ταῦτα — μένων. Ταῦτα, τὰ δοκοῦντα ἀσαφῆ· τὸ δὲ, παρ' ὑμῖν μένων, προσέθηκεν, ἐμφαίνων κἀνταῦθα, ὅτι τοῦ λοιποῦ ἄπεισι πρὸς τὸν πατέρα.

Vers. 26. Ὁ δὲ παράκλητος — πάντα. Τὰ προσιστάμενα ὑμῖν δηλαδή. τὸ δὲ, ἐν τῷ ὀνόματί μου, τὸ ἀντ' ἐμοῦ, σημαίνει ἐνταῦθα. ἐπεὶ γὰρ αὐτὸς, πληρώσας τὴν οἰκονομίαν, ἀνῆλθε πρὸς τὸν πατέρα, λοιπὸν ἀντ' αὐτοῦ κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, ἵνα παράκλητος ἡμῖν μὴ λείπῃ, καθώς φησιν ὁ θεολόγος γρηγόριος.

Καὶ διατί οὐκ αὐτὸς ἐδίδαξε τότε τὰ προσιστάμενα; διότι οὐκ ἠδύναντο βαστάζειν πλεῖον, ὡς προϊὼν ἐρεῖ.

Vers. 26. Καὶ — ὑμῖν. Ἀναμνήσει τελεώτερον τελεωτέρους γενομένους. [εἰκὸς[7]) γὰρ αὐτοὺς ἐπιλαθέσθαι τινῶν.]

Vers. 27. Εἰρήνην ἀφίημι ὑμῖν. Οἱ μὲν ἄλλοι ἄνθρωποι ἀποθνήσκοντες χρήματα καὶ κτήματα τοῖς οἰκείοις ἀφιᾶσιν· ὁ δὲ χριστὸς εἰρή-

 νην

7) Inclusa vterque in margine. τελεωτέρους γενομένους omiserat interpres.

relinquit, pacem, cuius et res et nomen dulce: Pacem, inquit, relinquo vobis, vt pacifici erga vos mutuo ſitis et erga me, et ita vobis nulla mundi turbatio quicquam nocebit, neque impedimento erit.

Verſ. 27. *Pacem — vobis.* Quae a me amatur, quae propter illa, quae animae proſunt conceditur, non mundi pacem, quae ob ea, quae nocent animae ſeruatur.

Verſ. 27. *Non — vobis.* Siquidem mundus ſiue mundana ſapientes, pacem mutuo dant mali cauſa: ego vero pacem do vobis boni cauſa.

Aut aliter: mundus pecunias ac poſſeſſiones ſuis largitur: ego vero pacem do vobis, qui mei eſtis. Quia autem dicendo, Pacem relinquo vobis, quo ſeparationem indicabat, maiorem eis iniecerat turbationem, ait:

Verſ. 27. *Ne — formidet.* Vides, quod non tantum amoris magnitudine mouebantur, quantum formidine: putantes, ſe diſcerpendos ab illius inimicis.

Verſ. 28. *Audiſtis — vos.* Non ſolum dixi, quod vado, ſed etiam, quod venio ad vos. Quid ergo formidatis?

Verſ. 28. *Si — patrem.* Quia de mea nondum certiores facti eſtis potentia: et quia morior, putatis, me poſt mortem non poſſe vos conſeruare, debetis tamen gaudere, quod dixerim, Vado ad patrem, qui potens eſt vos ab omnibus inſidiis eripere, cognoſcentes, quod omnino legatione fungar pro vobis.

Verſ. 28.

8) ἐν ἀλλήλοις. A.

τὴν τοῖς ἰδίοις ἀφῆκεν, εἰρήνην, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα. εἰρήνην, φησὶν, ἀφίημι ὑμῖν, ἵνα εἰρηνεύητε πρὸς [8]) ἀλλήλους καὶ πρὸς ἐμέ. καὶ λοιπὸν, ἐδὲν ὑμᾶς ἡ τε κόσμου ταραχὴ βλάψει, ἐδ' ἐμποδίσει.

Verſ. 27. Εἰρήνην — ὑμῖν. Τὴν ἐμοὶ πεφιλημένην, τὴν ἐπὶ τοῖς ψυχωφελέσιν, οὐ τὴν τε κόσμου, τὴν ἐπὶ τοῖς ψυχοβλαβέσιν.

Verſ. 27. Οὐ — ὑμῖν. Ὁ μὲν γὰρ κόσμος, ἤγουν, οἱ κοσμικὰ φρονοῦντες, εἰρήνην [9]) διδόασιν ἀλλήλοις ἐπὶ κακῷ· ἐγὼ δὲ εἰρήνην δίδωμι ὑμῖν, ἐπ' ἀγαθῷ.

Ἢ [1]) ὁ μὲν κόσμος χρήματα καὶ κτήματα δίδωσι τοῖς αὐτοῦ· ἐγὼ δὲ εἰρήνην δίδωμι ὑμῖν τοῖς ἐμοῖς. ἐπεὶ δὲ τὸ ἀφίημι ὑμῖν, ἀναχώρησιν ἐμφαῖνον, σύγχυσιν πλείονα αὐτοῖς ἐνεποίησε, φησί.

Verſ. 27. Μὴ — δειλιάτω. Ὁρᾷς, ὅτι οὐ τοσοῦτον ἀπὸ φιλοστοργίας, ὅσον ἀπὸ δειλίας ἔπασχον, οἰόμενοι διασπαραχθήσεσθαι παρὰ τῶν ἐχθρῶν αὐτε.

Verſ. 28. Ἠκούσατε, — ὑμᾶς. Οὐκ εἶπον, ὅτι ὑπάγω μόνον, ἀλλ' ὅτι καὶ ἔρχομαι πρὸς ὑμᾶς. λοιπὸν, τί δειλιᾶτε;

Verſ. 28. Εἰ — πατέρα. Ἐπειδὴ ἔπω περὶ τῆς ἐμῆς πεπληροφόρησθε δυνάμεως, καὶ διότι ἀποθνήσκω, νομίζετέ με μὴ δύνασθαι μετὰ θάνατον συντηρεῖν ὑμᾶς· ὠφείλετε χαίρειν, ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα, τὸν δυνάμενον ἐξελέσθαι ὑμᾶς πάσης ἐπιβελῆς, ἐννοοῦντες, ὅτι πρεσβεύσω πάντως ὑπὲρ ὑμῶν.

Verſ. 28.

[9]) δίδωσιν. A. Forte διδοῦσιν voluit.
[1]) Poſt ἢ addit interpres ἄλλως.

Vers. 28. *Quia — est.* Maior me est, vt vos putatis, tanquam manifestius in scripturis promulgatus. Haec autem omnia dicit indulgens suspicioni ac imbecillitati illorum, et ex ipsa non recta eorum opinione arguens illos. Nam in veritate pater maior quidem est, at non potentia, sed solo principii modo, quia filio principium est generationis: siquidem ex patre est filius.

Vers. 29. *Et — credatis.* Dixi vobis, quae sunt de mea profectione, ac rursum de meo reditu, et de alio paracleto, vt quum fieri videritis, credatis, quod omnia et nouerim et possim. Ita consolaturus eos, rursum tristia dicit: horum frequentia illos exercens, ne periculorum tempore turbarentur: siquidem, quod expectatum est, leuius ferri solet.

Vers. 30. *Iam non — princeps.* Mundum appellat hic, malitiam, principem vero, diabolum: non enim coelo ac terrae dominatur, sed malitiae, quod omnia strauerit ac peruerterit. Ipse autem dicitur etiam princeps tenebrarum, siue peccati. Ait ergo, Venit aduersum me diabolus cum peruersis Iudaeis, data sibi e supernis potestate. Nam et apud Lucam dixit ad eos, qui se comprehendebant: Haec est hora vestra et potestas tenebrarum.

Vers. 30. *Et — quicquam.* In aliis quidem hominibus peccatum est causa mortis: nullus siquidem peccati expers est, ideo nullus immortalis: in me vero non habet vllam mortis causam: ego enim absque peccato sum: et propterea condemna-

²) Inclusa absunt. A.
³) τοῦ, abest. A.

Verf. 28. Ὅτι — ἐστί. Μείζων μὲν ἐστι, τῇ δυνάμει, ὡς ὑμεῖς δοκεῖτε, ἅτε περιφανέστερον ἐν ταῖς γραφαῖς ἀνακηρυττόμενος. ταῦτα δὲ πάντα λέγει, συγκαταβαίνων τῇ ὑπολήψει καὶ ἀσθενείᾳ τῶν μαθητῶν, καὶ ἐξ αὐτῆς τῆς οὐκ ὀρθῆς αὐτῶν ὑπολήψεως ἐλέγχων αὐτούς. κατὰ γὰρ τὸν ἀληθῆ λόγον, ὁ πατὴρ μείζων μὲν, ἀλλ' οὐ τῇ δυνάμει· μόνῳ δὲ τῷ αἰτίῳ, ὅτι αἴτιος τῷ υἱῷ τῆς γεννήσεως. ἐκ τοῦ πατρὸς γὰρ ὁ υἱός.

Verf. 29. Καὶ — πιστεύσητε. Εἴρηκα ὑμῖν, τὰ περὶ τῆς ἀποδημίας καὶ πάλιν ἐπιδημίας μου, καὶ τὰ περὶ τοῦ ἄλλου παρακλήτου, ἵνα ὅταν γένηται, πιστεύσητε, ὅτι πάντα καὶ οἶδα καὶ δύναμαι. οὕτως οὖν παραμυθησάμενος αὐτοὺς, πάλιν λέγει τὰ λυπηρὰ, τῇ συνεχείᾳ τούτων γυμνάζων αὐτοὺς εἰς τὸ μὴ θορυβηθῆναι κατὰ τὸν καιρὸν τῶν δεινῶν. τὸ γὰρ προσδοκηθὲν, ὁμαλώτερον εἴωθε προσβάλλειν.

Verf. 30. Οὐκ ἔτι — ἄρχων. Ἐνταῦθα κόσμον μὲν λέγει, τὴν κακίαν· ἄρχοντα δὲ, τὸν διάβολον. οὐ γὰρ οὐρανοῦ καὶ γῆς ἄρχει. ἐπεὶ πάντα ἂν ἀνέτρεψε καὶ κατέβαλεν. ὁ αὐτὸς δὲ καὶ ἄρχων τοῦ σκότους ὀνομάζεται, ἤγουν, τῆς ἁμαρτίας. Φησὶν οὖν, ὅτι ἔρχεται κατ' ἐμοῦ ὁ διάβολος μετὰ τῶν πονηρῶν ἰουδαίων, δοθείσης αὐτοῖς ἐξουσίας ἄνωθεν. [εἶπε γὰρ καὶ [2]) ἐν τῷ κατὰ λουκᾶν εὐαγγελίῳ πρὸς τοὺς συλλαμβάνοντας αὐτόν· ὅτι αὕτη [r]) ὑμῶν ἐστιν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους.] 2) Luc. 22, 53.

Verf. 30. Καὶ — οὐδέν. Ἐπὶ μὲν τῶν ἄλλων ἀνθρώπων, αἴτιον 3) τοῦ θανάτου ἡ ἁμαρτία· οὐδεὶς γὰρ ἀναμάρτητος· διὸ καὶ οὐδεὶς ἀθάνατος· ἐν ἐμοὶ δὲ οὐκ ἔχει οὐδὲν αἴτιον θανάτου. ἀναμάρτητος γὰρ ἐγώ. διὸ καὶ κατακριθήσεται,

[καθὼς

demnabitur, ficut prius decimo quinto capite enarrauimus, vbi dicitur, Nunc iudicium eft huius mundi: nunc princeps huius mundi, eiicietur foras.

Verf. 31. *Sed — patrem.* Sed morior, vt cognofcant omnes, quod diligam patrem, obediens illius voluntati: voluntas autem eius eft, vt moriar pro falute hominum.

Verf. 31. *Et — facio.* Vt cognofcant, quod praeceptum eius moriens adimpleam.

Verf. 31. *Surgite, eamus hinc.* Videns difcipulos admodum metuentes, et fe iam comprehendi ac interfici imaginantes: et propterea crebro retrorfum fe conuertendo, non fatis his, quae dicebantur, aduertere: fiquidem maximum illis angorem inducebat, tum locus publicus, tum nox, et praecipue quod dixiffet, Venit princeps mundi: transfert illos in locum alium tutiorem, quo exiftimantes in tuto effe, absque vllo metu audirent: nam magna audituri erant dogmata. Deinde rurfum ait.

Cap. XV. v. 1. *Ego — vera.*

Id eft eximia, incorruptibilis, fpiritualis: fiquidem haec frequenter fignificat nomen ἀληθινόν.

Aliter quoque dicitur, Vitis vera: quia pro fructu profert veritatem.

Se ipfum itaque vitem nominat, vtpote praebentem dulcedinem ac humani cordis laetitiam, ipfam videlicet praedicationem, quam etiam fcriptura vinum appellat, et tanquam radicem difcipulorum:

4) Inclufa abfunt. A.
5) Inclufa abfunt. A.
6) ὑμεῖς τὰ κλήματα, ex verfu 5. hic, pro more fuo, infert Chryfoft. T. VIII. p. 446. B. 447. A.

[καθὼς[4]) προεξηγησάμεθα ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ, ἔνθα κεῖται τό· νῦν[t]) κρίσις ἐςὶ t) Io. 12, 31.
τῦ κόσμυ τύτυ, νῦν ὁ ἄρχων τῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω.]

Verſ. 31. Ἀλλ' — πατέρα. Ἀλλ' ἀποθνήσκω, ἵνα γνῶσι πάντες, ὅτι ἀγαπῶ τὸν πατέρα, ὑπακούων αὐτοῦ τῷ θελήματι. Θέλημα δὲ αὐτοῦ, ἀποθανεῖν με ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων.

Verſ. 31. Καὶ — ποιῶ. Καὶ ἵνα γνῶσιν, ὅτι πληρῶ τὴν ἐντολὴν αὐτοῦ, ἀποθνήσκων.

Verſ. 31. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. Βλέπων τοὺς μαθητὰς σφόδρα δειλιῶντας καὶ φανταζομένους ἤδη τοὺς συλληψομένους καὶ ἀναιρήσοντας, καὶ διὰ τοῦτο πυκνὰ μεταςρεφομένους, καὶ μὴ δυναμένους προσέχειν τοῖς λεγομένοις· καὶ γὰρ ἐνεποίουν αὐτοῖς ἀγωνίαν, καὶ ὁ τόπος, κατάδηλος ὢν, καὶ ἡ νὺξ, καὶ τὸ εἰπεῖν· ὅτι[v]) v) Io. 14, 30.
ἔρχεται ὁ τῦ κόσμυ ἄρχων· μετάγει τούτους εἰς ἕτερον τόπον ἀσφαλέςερον, ἵνα, νομίσαντες ἐν ἀσφαλείᾳ καταςῆναι, μετὰ ἀδείας ἀκούσωσι. καὶ γὰρ ἔμελλον μεγάλων ἀκύσεσθαι δογμάτων, εἶτα πάλιν φησίν.

Cap. XV. v. 1. Ἐγώ — ἀληθινή.

Ἡ ἐξαίρετος, ἡ ἄφθαρτος, ἡ πνευματική. ταῦτα γὰρ πολλάκις τὸ ἀληθινὸν δηλοῖ.

[Καὶ ἑτέρως[5]) δὲ ἄμπελος ἀληθινὴ,] ἡ τὴν ἀλήθειαν καρποφοροῦσα.

Ἄμπελον μὲν οὖν ἑαυτὸν ὀνομάζει, ὡς παρέχοντα τὸ νόσιμον καὶ εὐφραῖνον καρδίαν ἀνθρώπου κήρυγμα, ὃ καὶ οἶνον ἡ γραφὴ προσαγορεύει· καὶ ὡς ῥίζαν τῶν μαθητῶν· κλήματα[6]) δὲ τοὺς μαθη-

lorum: palmites vero discipulos, quasi ex ipso germinantes, sermone doctrinae, et per eum nutritos ad fructificationem maturorum botrorum, siue virtutum, vt et ipsi similiter praebeant vinum doctrinae.

Vers. 1. *Et pater — est.* Curator, non tamen radicis, sed palmitum. Vere haec vitis eximia est, in qua de solis palmitibus curam habere oportet: patri autem curam eorum attribuit, tanquam Deo, ostendens, quod his qui fructificant auxilio est, eosque punit, qui fructum non ferunt.

Vers. 2. *Omnem — tollit.* Omnem palmitem, qui ex me germinauit, mihique per fidem vnitus est, nec fructum affert, excindit tanquam inutilem ac dignum igne. Omnis itaque Christianus, qui infructuosus est, a Christo excisus est, quanquam per fidem illi coniunctus esse videatur et aeterno igni reseruatus est.

Vers. 2. *Et — adferat.* Purgat eum per tentationes, permittens, vt in eum inducantur. Illae namque, quod damnum affert, expoliunt, ac omne robur maioremque virtutum fertilitatem accersunt. Ne autem aliquos ex ipsis infructuosos esse suspicentur, atque de seipsis iterum turbentur, huiusmodi praeuenit tumultum, dicens:

Vers. 3. *Iam — vobis.* Purgati meo, quo vos docui, sermone. Vides, quod licet vitis sit, est tamen etiam agricola: est enim haec agricultura communis patri ac filio, veluti sane et alia. Ne autem prae nimia formidine exciderent a fide ac habitu,

7) καὶ. ante ὁ πατὴρ, quod Hentenius expressit, neuter meorum habet.
8) ἐκκόπτεται. B.
9) Forte εἰ καὶ, aut κἂν δοκῇ.

μαθητὰς, ὡς ἐξ αὐτοῦ βλαστήσαντας τῷ λόγῳ τῆς διδασκαλίας, καὶ δι' αὐτοῦ τρεφομένους εἰς καρποφορίαν βοτρύων ὡραίων, ἤτοι, ἀρετῶν, καὶ παροχὴν ὁμοίως τοῦ διδασκαλικοῦ οἴνου.

Vers. 1. ⁷) Ὁ πατὴρ — ἐστι. Ὁ ἐπιμελητὴς, πλὴν οὐ τῆς ῥίζης, ἀλλὰ τῶν κλάδων· ἐξαίρετος γὰρ ὄντως αὕτη ἡ ἄμπελος, κατὰ τοὺς κλάδους μόνον δεομένη ἐπιμελείας. τῷ πατρὶ δὲ τὴν ἐπιμέλειαν αὐτῶν ἀνατίθησιν, ὡς θεῷ· δεικνὺς, ὅτι συνεργεῖ τοῖς καρποφοροῦσι καὶ κολάζει τοὺς μὴ καρποφοροῦντας.

Vers. 2. Πᾶν — αἴρει αὐτό. Πᾶν κλῆμα ἐν ἐμοὶ βλαστῆσαν, καὶ διὰ πίστεως ἡνωμένον μοι, μὴ φέρον καρπὸν, ἤγουν, ἀρετὰς, ἐκκόπτει αὐτὸ, ὡς ἄχρηστον καὶ πυρὸς ἄξιον. λοιπὸν οὖν, πᾶς χριστιανὸς μὲν, ἄκαρπος δὲ, ἐκκέκοπται ⁷) τοῦ χριστοῦ, καὶ ⁸) εἰ δοκεῖ συνῆφθαι αὐτῷ διὰ τῆς πίστεως, καὶ τῷ αἰωνίῳ πυρὶ τετήρηται.

Vers. 2. Καὶ — φέρη. Καθαίρει αὐτὸ, διὰ τῶν πειρασμῶν, παραχωρῶν ἐπάγεσθαι τούτους αὐτῷ, πᾶν μὲν βλαβερὸν ἀποξέοντας, πᾶσαν δὲ στεῤῥότητα καὶ γονιμότητα πλείονος ἀρετῆς ἐμποιοῦντας. ἵνα δὲ μὴ ὑπολάβωσιν, ἀκάρπους εἶναί τινας αὐτῶν, καὶ πάλιν θορυβηθῶσι περὶ ⁹) ἑαυτῶν, προαναιρεῖ τὸν τοιοῦτον θόρυβον, λέγων·

Vers. 3. Ἤδη — ὑμῖν. Περικαθαρθέντες τῷ διδασκαλικῷ λόγῳ μου. ὁρᾷς, ὅτι εἰ καὶ ἄμπελός ἐστιν, ἀλλὰ καὶ γεωργός. κοινὴ γὰρ ἡ τοιαύτη γεωργία, καὶ τῷ πατρὶ, καὶ τῷ υἱῷ, ὥσπερ δὴ καὶ τἄλλα. ἵνα δὲ μὴ ὑπὸ τῆς πολλῆς δειλίας ἀποσχισθῶσι τῆς εἰς αὐτὸν πίστεως καὶ σχέ-

⁷) διὰ τοῦτο . . . Forte ἐκκέκοπται . . .

ctu, quo erga se affecti erant, laxatam iam animam astringit, sibique conglutinat, dicens:

Vers. 4. *Manete — vobis.* Manete in me firmiter mihi conglutinati per fidem indubitatam, habitumque indissolubilem, et ego manebo in vobis, potentia vobiscum permanens, vosque amplectens, aut continens vos, sicut vitis palmites, ac fructiferos reddens.

Vers. 4. *Sicut — manseritis.* Neque vos fructificare potestis, si a mei coniunctione distrahamini.

Vers. 5. *Ego — multum.* Explanat parabolam. Et considera, quomodo dixerit, Qui manet in me et ego in eo, hic fert fructum multum. Nam frequenter manet quis coniunctus in Christo per fidem, non manet autem Christus in eo, auersans illum, tanquam indigne se gerentem: hic fert quidem fructum, at modicum: vnum aut alterum opus bonum obiter perficiens. Videmus autem et in vineis huiusmodi palmites, qui, dum illis non gaudent vineae, miserabiles quosdam ferunt racemulos.

Vers. 5. *Quia — facere.* Tanquam germina, quae virtute a radice procedente non fruuntur. Quum autem superius dixerit, Non potestis ferre fructum, nisi in me manseritis: nunc etiam periculum dicit eius, qui in se non manserit.

Vers. 6. *Nisi — palmes.* Tanquam sarmentum inutile.

Vers. 6. *Et exarescet.* Et perdet, quem habebat ex radice gratiae humorem.

Vers. 6. *Et colligent eos.* Et congregabunt angeli huiusmodi sarmenta in die iudicii.

Vers. 6.

σχέσεως, χαυνουμένην αὐτῶν ἤδη τὴν ψυχὴν ἐπισφίγγει, καὶ ἑαυτῷ συγκολλᾷ, εἰπών.

Vers. 4. Μείνατε — ὑμῖν. Μείνατε ἐν ἐμοὶ, συγκολλώμενοί μοι βεβαιότερον διὰ πίστεως ἀδιστάκτου καὶ σχέσεως ἀῤῥήκτου, κἀγὼ μενῶ ἐν ὑμῖν, συνὼν τῇ δυνάμει καὶ περιέπων ἢ συνέχων ὑμᾶς, ὡς ἄμπελος κλήματα, καὶ καρποφόρους ἀπεργαζόμενος.

Vers. 4. Καθὼς — μείνητε. Οὐδὲ ὑμεῖς δύνασθε καρποφορεῖν, ἐὰν ἀποσχισθῆτε τῆς συναφείας μου.

Vers. 5. Ἐγώ — πολύν. Σαφηνίζει τὴν παραβολὴν, καὶ σκόπει, πῶς εἶπεν, ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν. πολλάκις γὰρ μένει μέν τις ἐν τῷ Χριστῷ, συνημμένος αὐτῷ διὰ τῆς πίστεως, οὐ μένει δὲ καὶ ὁ Χριστὸς ἐν αὐτῷ, ἀποστρεφόμενος αὐτὸν, ὡς ἀναξίως αὐτοῦ πολιτευόμενον. οὗτος φέρει μὲν καρπὸν, ὀλίγον δὲ, ἕν τι ἀγαθὸν, ἢ καὶ δύο που διαπραξάμενος. ὁρῶμεν δὲ καὶ ἐν ἀμπέλοις τοιαῦτα κλήματα, ἃ, μὴ χαιρουσῶν αὐτοῖς τῶν ἀμπέλων, βοτρύδια ἄστρα τινὰ φέρουσιν.

Vers. 5. Ὅτι — οὐδέν. Ὥσπερ οὐδ' οἱ βλαστοὶ, μὴ ἀπολαύοντες δυνάμεως ἐκ τῆς ῥίζης. εἰπὼν δὲ ἀνωτέρω· ὅτι οὐ δύνασθε καρποφορεῖν, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε· νῦν λέγει καὶ τὸν κίνδυνον τοῦ μὴ ἐν αὐτῷ μένοντος.

Vers. 6. Ἐὰν — κλῆμα. Ὡς τὸ κλῆμα, τὸ ἄχρηστον.

Vers. 6. Καὶ ἐξηράνθη. Καὶ ἀπώλεσεν, ἣν εἶχεν ἐκ τῆς ῥίζης ἰκμάδα χάριτος.

Vers. 6. Καὶ συνάγουσιν αὐτά. Καὶ συνάγουσι τὰ τοιαῦτα κλήματα οἱ ἄγγελοι κατὰ τὸν καιρὸν τῆς κρίσεως.

Vers. 6. *Et — coniiciunt.* Gehennae.

Vers. 6. *Et ardebunt.* Inflammabuntur, non tamen comburentur. Non manentes autem in se, dicit non eos solum, qui ab illo sunt amputati aut abscissi, sed et illos, qui non firmiter cum eo copulantur.

Vers. 7. *Si — vobis.* Nihil enim indignum petet, qui in Dei praeceptis versatur. Considera vero hoc esse Christum in discipulis manere, verba eius in illis manere, siue seruari, aut opere perfici.

Vers. 8. *In — adferatis.* Glorificatus est, hoc est, glorificabitur. Vt adferatis, id est, si attuleritis. Multa siquidem sunt apud scripturam huiusmodi idiomata.

Vers. 8. *Et — discipuli.* Perfecti efficiamini. Obseruandum igitur, quod is, qui fructum adfert copiosum, hic perfectus efficitur Christi discipulus. Glorificari autem dixit patrem et gaudere, in copiosa fructificatione, et perfecto discipulatu ipsius: adhortans eos ad hanc rem, tanquam ad id, quod domino gratum est.

Vers. 9. *Sicut — vos.* Eo modo, quo me dilexit pater, tanquam videlicet facientem voluntatem suam: ita et ego dilexi vos, tanquam scilicet facientes voluntatem meam.

In praecedentibus quidem data est a nobis distinctio de Sicut, Quemadmodum et similibus, quod quum de patre, filio, ac spiritu sancto dicuntur, aequalitatem significant: quum vero de Deo et hominibus, similitudinem designant, verum similitudo non vbique per omnia quadrat.

Vers. 9.

Verſ. 6. Καὶ — βάλλουσι. Τὸ τῆς γεέννης.

Verſ. 6. Καὶ καίεται. Καὶ φλέγονται, οὐ μὴν κατακαίονται, οὐ μένοντας δὲ ἐν αὐτῷ λέγει, οὐ μόνον τοὺς ἀποκοπέντας ἢ ἀποσχισθέντας αὐτοῦ, ἀλλὰ καὶ τοὺς μηδ᾽ ὅλως συναφθέντας αὐτῷ.

Verſ. 7. Ἐὰν — ὑμῖν. Οὐδὲν γὰρ ἀνάξιον αἰτήσεται, ὁ ταῖς ἐντολαῖς τοῦ θεοῦ ἐμπολιτευόμενος. σκόπει δὲ, ὅτι τοῦτό ἐστι τὸ μένειν τὸν χριστὸν ἐν τοῖς μαθηταῖς, τὸ, τὰ ῥήματα αὐτοῦ μένειν ἐν αὐτοῖς, εἴτουν, τηρεῖσθαι, ἐνεργεῖσθαι.

Verſ. 8. Ἐν — φέρητε. Τὸ μὲν ἐδοξάσθη, ἀντὶ τοῦ, δοξάζεται. τὸ δὲ ἵνα φέρητε, ἀντὶ τοῦ, ἐὰν φέρητε. πολλὰ γὰρ τοιαῦτα ἰδιώματα παρὰ τῇ γραφῇ.

Verſ. 8. Καὶ — μαθηταί. Ἀπαρτισθήσεσθε. παρατηρητέον οὖν, ὅτι ὁ καρπὸν πολὺν φέρων, οὗτος ἀπαρτίζεται μαθητὴς τοῦ χριστοῦ. δοξάζεσθαι δὲ, ἤτοι, χαίρειν τὸν πατέρα εἶπεν, ἐν τῇ πολλῇ καρποφορίᾳ καὶ τελείᾳ μαθητείᾳ αὐτοῦ, προτρεπόμενος αὐτοὺς ἐπὶ τὸ πρᾶγμα, ὡς ἐπὶ εὐαπόδεκτον τῷ θεῷ.

Verſ. 9. Καθὼς — ὑμᾶς. Ὃν τρόπον ἠγάπησέ με ὁ πατὴρ, ὡς ποιοῦντα δηλαδὴ τὸ θέλημα αὐτοῦ· οὕτω κἀγὼ ἠγάπησα ὑμᾶς, ὡς ποιοῦντας τὸ θέλημά μου.

Προδιέσαλται δὲ ἡμῖν, ὅτι τὸ καθὼς καὶ τὰ τοιαῦτα, ὅταν μὲν ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος λέγωνται, ἰσότητα δηλοῦσιν· ὅταν δὲ ἐπὶ θεοῦ καὶ ἀνθρώπων, ὁμοιότητα σημαίνουσιν. ἡ δὲ ὁμοιότης, οὐ παντάπασιν ἀπαράλλακτος.

Verſ. 9. *Manete — meâ.* Rurſum aſtringit illos ad ſe.

Verſ. 10. *Si — dilectione.* Et quomodo moreris velut homo carens auxilio? Quia vult hoc pater et ego, pro hominum ſalute: quia hanc quoque rem duco gloriam. Sicut ergo ego dilectus a patre tamen pro vobis morior: ſic et vos ita a me dilecti, moriemini tamen pro me. Nam huiusmodi mors iuxta beneplacitum eſt, non ex odio aut imbecillitate.

Verſ. 11. *Haec — maneat.* Haec conſolatoria verba loquutus ſum vobis, qui ob meam diſcruciamini mortem: vt gaudium, quod erat propter me, quod de me gaudebatis, donec aduenirent haec triſtia, non corrumpatur, ſed in vobis maneat, quum certiores facti ſitis, quod non relinquam vos orphanos, ſed iterum veniam ad vos.

Verſ. 11. *Et — compleatur.* Et vt gaudium veſtrum, quod de me eſt, compleatur, ſicut ab exordio eius expectabatis, ſperantes ſemper mecum conuerſari.

Verſ. 12. *Hoc — vos.* Vt diligatis vos inuicem adeo vehementer, vt etiam pro vobis inuicem moriamini: ego enim ſic dilexi vos, vt etiam pro vobis iam moriar. Frequenter autem talia dicit, vt cordibus eorum charitatem indelebiliter inſculpat.

Vide autem admirandum vinculum: ſiquidem oſtenſum eſt, quod manſio in Chriſto procedit ex eius dilectione et obſeruatione mandatorum illius: praeceptum vero eius eſt, vt diligamus nos inuicem.

Verf. 9. Μείνατε — ἐμῇ. Πάλιν ἐπι-φθέγγει αὐτούς.

Verf. 10. Ἐὰν — ἀγάπῃ. Καὶ πῶς ἀποθνήσκεις, ὡσεὶ ἄνθρωπος ἀβοήθητος; διότι θέλει τοῦτο καὶ ὁ πατὴρ κἀγὼ, ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων. ἐπεὶ καὶ δόξαν τὸ πρᾶγμα ἡγῆμαι. ὥσπερ οὖν ἐγὼ, οὕτως ἀγαπώμενος ὑπὸ τοῦ πατρὸς, ὅμως ἀποθνήσκω δι' ὑμᾶς· οὕτω καὶ ὑμεῖς οὕτως ἀγαπώμενοι παρ' ἐμοῦ, ὅμως ἀποθανεῖσθε δι' ἐμέ. κατ' εὐδοκίαν γὰρ ὁ τοιοῦτος θάνατος, οὐ κατὰ ἀποστροφὴν ἢ ἀσθένειαν.

Verf. 11. Ταῦτα — μείνῃ. Ταῦτα, τὰ παραμυθητικὰ ῥήματα, λελάληκα ὑμῖν ἀνιωμένοις ἐπὶ τῷ θανάτῳ μου, ἵνα ἡ χαρὰ ἡ δι' ἐμὲ, ἣν ἐχαίρετε ἐπ' ἐμοὶ μέχρι τῶν σκυθρωπῶν τούτων, μὴ ἀφανισθῇ, ἀλλὰ ἐν ὑμῖν μείνῃ βεβαιωθεῖσιν, ὅτι οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἀλλὰ πάλιν ἔρχομαι πρὸς ὑμᾶς.

Verf. 11. Καὶ — πληρωθῇ. Καὶ ἵνα ἡ χαρὰ ὑμῶν, ἡ ἐπ' ἐμοὶ, πληρωθῇ, ὡς ἐν ἀρχῇ αὐτῆς προσεδοκᾶτε, ἐλπίζοντες ἀεί μοι συνεῖναι.

Verf. 12. Αὕτη — ὑμᾶς. Ἵνα ἀγαπᾶτε ἀλλήλους οὕτω σφοδρῶς, ὡς καὶ ὑπὲρ ἀλλήλων ἀποθνήσκειν. οὕτω γὰρ κἀγὼ ἠγάπησα ὑμᾶς, ὡς καὶ ὑπὲρ ὑμῶν ἀποθνήσκειν ἤδη. συνεχῶς δὲ τὰ τοιαῦτα λέγει, ἀνεξάλειπτον ταῖς καρδίαις αὐτῶν ἐγκολάπτων τὴν ἀγάπην.

Ὅρα δὲ θαυμασίαν σειράν. δέδεικται γὰρ, ὅτι τὸ μεῖναι ἐν τῷ χριστῷ, γίνεται ἀπὸ τοῦ ἀγαπᾶν αὐτόν· τὸ δὲ ἀγαπᾶν αὐτὸν, ἀπὸ τοῦ τὰς ἐντολὰς αὐτοῦ τηρεῖν· ἡ ἐντολὴ δὲ αὐτοῦ, ἵνα

inuicem. Itaque diligere nos inuicem, est in Christo manere: et seruare Dei praecepta, est diligere Deum: suntque inter se connexae dilectio, quae est erga Deum, et quae est erga nos inuicem. Dicens autem, Sicut dilexi vos, ostendit quod voluntarie propter illorum dilectionem moriatur.

Vers. 13. *Maiorem — suis.* Maiorem hac, quae adeo magna est, vt etiam animam pro amicis relinquat, sicut ego nunc facio. Itaque non ex imbecillitate, sed ex vestri dilectione morior, ac dispensatorie à vobis separor: nolite ergo contristari. Et quia amicos eos ostendit, nunc etiam dicit, quomodo sint amici sui.

Vers. 14. *Vos — vobis.* O incomparabilem humanitatem. Nunquam quispiam seruum benignum facit sibi amicum: Christus autem etiam hoc facit: magis autem et fratrem eum efficit, Nunciate, inquit, fratribus meis, vt abeant in Galilaeam: atque patri hunc in filium ascISCit: simulque regni coelorum haeredem constituit.

Vers. 15. *Iam non — seruos.* Et quando illos dixit, seruos? Quando docens occultabat suae diuinitatis potentiam. In praecedentibus etiam dixit, Vos vocatis me dominum et magistrum, et bene dicitis: sum etenim.

Vers. 15. *Quia — dominus.* Quid faciat occultum.

Vers. 15. *Vos — vobis.* Renunciaui vobis omnia tanquam amicis, quaecunque videlicet ferre potuissis: quaecunque aequum erat, vt audiretis: amico namque et non seruo credit quispiam arcana.

Atqui

*) αὐτούς, A. Ita Hentenius. Mox ad finem versus 15. vtrumque coniungitur.

ἀγαπῶμεν ἀλλήλους· ὥστε τὸ ἀγαπᾷν ἀλλήλους, μένειν ἐν τῷ Χριστῷ ἐστι, καὶ ἀγαπᾷν τὸν Θεόν ἐστι, καὶ ἀναπεπλεγμέναι πρὸς ἀλλήλας εἰσὶν ἥτε πρὸς Θεὸν καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη. αὐτὸν δὲ, ὅτι καθὼς ἠγάπησα ὑμᾶς, ἔδειξεν, ὅτι ἐκεῖνος ἀποθνήσκει διὰ τὴν ἀγάπην αὐτῶν.

Verſ. 13. Μείζονα — αυτȣ. Μείζονα ταυτης, της ȣτω μεγαλης, ως καὶ την ψυχην ἀφεῖναι ὑπὲρ τῶν φίλων, καθὼς ἐγὼ ποιῶ νυν. λοιπον οὖν ουκ ἐξ ἀσθενειας εμης, ἀλλ' ἐξ ἀγάπης ὑμῶν ἀποθνήσκω, καὶ οἰκονομικως ὑμῶν χωρίζομαι, καὶ μὴ ἀθυμεῖτε. ἐπεὶ δὲ φίλους[k]) αὐτȣ ὑπεδήλωσε, λέγει, πῶς εἰσὶ φίλοι αὐτȣ.

Verſ. 14. Ὑμεῖς — ὑμῖν. Ὦ τῆς ἀνεικάσου φιλανθρωπίας! ἐφ' ἡμῶν μὲν, ȣκ ἄν ποτέ τις τὸν εὐγνώμονα δοῦλον ποιήσῃ φίλον· ὁ δὲ χριςὸς καὶ τȣτο ποιεῖ, μᾶλλον δὲ καὶ ἀδελφὸν αὐτὸν ἀπεργάζεται. ἀπαγγείλατε[x]) γάρ, φησι, τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν· καὶ υἱοθετεῖ τουτον τῷ πατρὶ, καὶ καθιςᾷ συγκληρονόμον της βασιλείας των οὐρανῶν. x) Matt. 28, 10.

Verſ. 15. Οὐκ ἔτι — δȣλȣς. Καὶ πότε αὐτοὺς εἶπε δȣλους; ὅτε διδάσκων ἀπεκάλυπτε τὴν ἐξȣσίαν τῆς ἑαυτȣ θεότητος. καὶ προλαβὼν δὲ εἶπεν· ὑμεῖς[y]) φωνεῖτέ με ὁ κύριος καὶ ὁ διδάσκαλος· καὶ καλῶς λέγετε. εἰμὶ γάρ. y) Io. 13, 13.

Verſ. 15. Ὅτι — κύριος. Τί ποιεῖ ἀπόῤῥητον.

Verſ. 15. Ὑμᾶς — ὑμῖν. Ἀνήγγειλα ὑμῖν, ὡς φίλοις, πάντα, ὅσα ἠδύνασθε βαςάζειν δηλονότι, ὅσα ἀκȣσαι ὑμᾶς εἰκός. τῷ φίλῳ γάρ τις, ȣ τῷ δȣλῳ, καταπιςεύει τὰ ἀπόῤῥητα.

Atqui superius quum diceret, Vos amici mei estis, si feceritis, quaecunque ego praecipio vobis, ostendit, quod nondum erant, sed futuri tunc, quum ea facerent: quomodo ergo hic ait, Vos autem dixi amicos, quia omnia, quae audiui a patre meo, nota feci vobis? Verbum Estis, siue eritis, pro Permanebitis accipito, ac si dicat, Quum iam sitis, etiam in futurum permanebitis, si feceritis et caetera.

Deinde et aliud ponit signum, quod eos haberet amicos suos.

Vers. 16. *Non — vos.* Negatiue sermo pronuntiandus est, non interrogatiue. Vos non elegistis me, sed ego elegi vos in amicos: ego ad amicitiam vestram accurri.

Vers. 16. *Et posui vos.* Ex plantaui vos in dilectione mea, in fide, quae in me est.

Vers. 16. *Vt vos iatis.* Vt extendamini crescentes.

Vers. 16. *Et fructum adferatis.* Veluti superius significatum est. Aut fructum, spiritualia charismata: aut multitudinem eorum, qui studio illorum saluandi sunt.

Vers. 16. *Et — maneat.* Maneat incorruptus, perpetuus.

Vers. 16. *Vt — vobis.* Nomine meo, hoc est, tanquam mei, tanquam Christiani.

Vel

3) *αὐτούς*, omittit. B.
4) Ita *ἔθηκα* exponit Chrysost. Tom. VIII. p. 452. C. Theophylact. p. 782. A. B. *Τιθένω* de palmitibus ita habet Xenoph. Oecon. 19, 7. 9.
5) Ita Chrysost. Tom. VIII. p. 452. C. Theophyl. p. 782. A. Cyrill. Tom. IV. p. 892. E. qui per *ἀνάγειν* explicat. Nititur autem haec interpretatio

τοῦ

Καὶ μὴν ἀνωτέρω εἰπὼν ὑμεῖς φίλοι μου z) Io. 15, 14.
ἐστὲ, ἐὰν ποιῆτε, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν· ὅπερ ἔφημεν, ὅτι οὔπω εἰσὶν, ἀλλὰ τότε εἰσὶν, ὅτε ποιοῦσι· πῶς οὖν ἐνταῦθά φησιν· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν; τὸ ἐστὲ, ἀντὶ τοῦ, διαμένετε νόησον, ὅτι ὄντες ἤδη, καὶ εἰς τὸ ἑξῆς διαμένετε, ἐὰν ποιῆτε, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

Εἶτα τίθησι καὶ ἄλλο τεκμήριον τοῦ ἔχειν [3]) αὐτοὺς φίλους ἑαυτοῦ.

Vers. 16. Οὐχ — ὑμᾶς. Κατὰ ἀπόφασιν ὁ λόγος, ὅτι ἐγὼ εἱλόμην ὑμᾶς φίλους, ἐγὼ τῇ φιλίᾳ ὑμῶν ἐπέδραμον.

Vers. 16. Καὶ ἔθηκα ὑμᾶς. Καὶ ἐφύτευσα [4]) ὑμᾶς εἰς τὴν ἐμὴν ἀγάπην, εἰς τὴν εἰς ἐμὲ πίστιν.

Vers. 16. Ἵνα ὑμεῖς ὑπάγητε. Ἵνα ἐκτείνησθε [5]) αὐξανόμενοι.

Vers. 16. Καὶ καρπὸν φέρητε. [Ὡς [6]) ἀνωτέρω δεδήλωται ἢ] καρπὸν, τὰ πνευματικὰ χαρίσματα, ἢ τὰ πλήθη τῶν σωζομένων ἐκ τῆς αὐτῶν σπουδῆς.

Vers. 16. Καὶ — μένῃ. Καὶ ἵνα μένῃ ἀνώλεθρος, διηνεκής.

Vers. 16. Ἵνα — ὑμῖν. Ἐν τῷ ὀνόματί μου, τουτέστιν, ὡς ἐμοὶ, ὡς χριστιανοί.

Ἡ ἐπιτοῦ ἔθηκα et ὑπάγητε proximis vocabulis, καρπὸν φέρητε. Vereor tamen, ne doctior quam verior sit haec explicatio. Euangelistae enim haud adeo diligenter obseruant vocabula translata. Sunt alia loca, vbi nemo τιθέναι interpretabitur περὶ φυτεύσεως, Vide Rom. 4, 17. Hebr. 1, 2. Ὑπάγειν autem sine exemplo explicatur ἐκτείνεσθαι, ἀνάγειν, αὔξειν.

[6]) Inclusa absunt. A.

Vel inuocato nomine meo, sicut etiam in praecedentibus declarauimus, vbi dicebat, Et quicquid petieritis nomine meo, hoc faciam. Ac rursus, Si quid petieritis nomine meo, hoc faciam: ex quibus ostensa est potentiae aequalitas patris et filii.

Vers. 17. *Haec — inuicem.* Haec loquor vobis, puta, quod morior pro vobis, et quod ego ad amicitiam vestram accurri, non improperans, sed incitans vos ad mutuam inter vos dilectionem. Quia vero turbabantur tanquam iam ab omnibus Iudaeis odio habiti, deinceps consolatur etiam eorum tristitiam.

Vers. 18. *Si — odio habuerit.* Mundum dicit, malos Iudaeos. Sit, inquit, vobis in consolationem, quod ego prius, quam vos, fuerim odio habitus: et gaudete magis, quia mecum in odio malorum communicatis. Deinde aliam quoque ponit consolationem: quod si e numero malorum essent, mali vtique eos diligerent.

Vers. 19. *Si — diligeret.* Quod suum esset, hoc est, sibi simile: gaudet namque simili simile.

Vers. 19. *Quia — mundus.* Itaque odio haberi vos a malis, demonstratio est virtutis, quemadmodum etiam a talibus amari, signum est malitiae. Quia vero abiectam eorum mentem erexit: rursum ipsos ab his, quae contra se fiebant, consolatur.

Vers. 20. *Mementote — vobis.* Et quis sit ille sermo, aduerte.

Vers. 20.

7) Inclusa absunt.

8) Scilicet Chrysost. Tom. VIII. p. 452. D. pro ἐντέλλομαι, infert λελάληκα, ex loco simili, vt solet.

ἐπικαλούμενοι τὸ ὄνομά μου, ὡς καὶ προλαβόντες ἡρμηνεύσαμεν, ἔνθα ἔλεγε] καὶ ὅ,τι [a]) ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω. [καὶ [7]) πάλιν· ἐάν τι [b]) αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. ἀφ' ὧν δείκνυται τὸ ἰσοδύναμον πατρὸς καὶ υἱοῦ.]

a) Io. 14. 13.
b) Io. 14. 14.

Vers. 17. Ταῦτα — ἀλλήλους. Ταῦτα [8]) λαλῶ ὑμῖν, τὸ ὅτι ἀποθνήσκω ὑπὲρ ὑμῶν, καὶ, τὸ ὅτι ἐγὼ τῇ φιλίᾳ ὑμῶν ἐπέδραμον, οὐκ ὀνειδίζων, ἀλλ' ἐνάγων ὑμᾶς εἰς τὸ ἀγαπᾷν ἀλλήλους. ἐπεὶ δὲ ἐθορυβοῦντο, ὡς ἤδη πᾶσι τοῖς Ἰουδαίοις μισητοὶ γενόμενοι, παραμυθεῖται καὶ τὴν ἐντεῦθεν ἀθυμίαν.

Vers. 18. Ἐι — μεμίσηκε. Κόσμον λέγει, τοὺς πονηροὺς Ἰουδαίους. ἔσω, φησὶν, ὑμῖν εἰς παραμυθίαν, τὸ πρὸ ὑμῶν ἐμὲ μισηθῆναι, καὶ χαίρετε μᾶλλον, ὅτι κοινωνεῖτέ μοι τοῦ παρὰ τῶν πονηρῶν μίσους. εἶτα λέγει καὶ ἑτέραν παραμυθίαν, ὅτι ἐὰν ἐκ τῶν πονηρῶν ἦσαν, οἱ πονηροὶ ἂν ἐφίλουν αὐτούς.

Vers. 19. Ἐι — ἐφίλει. Τὸ ὅμοιον, χαίρει γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον.

Vers. 19. Ὅτι — ὁ κόσμος. Ὥστε τὸ μισεῖσθαι ὑμᾶς παρὰ [9]) τῶν πονηρῶν, ἀπόδειξίς ἐστιν ἀρετῆς, ὥσπερ καὶ τὸ φιλεῖσθαι παρὰ τῶν τοιούτων, κακίας. ἐπάρας οὖν αὐτῶν καταπίπτον τὸ φρόνημα, πάλιν ἀπὸ τῶν καθ' ἑαυτὸν τούτους παρηγορεῖ.

Vers. 20. Μνημονεύετε — ὑμῖν. Καὶ [r]) ποῖός ἐστιν ἐκεῖνος ὁ λόγος, ἄκουσον.

Vers. 20.

9) ὑπὸ, pro παρά. A.
r) Omisso καὶ legitur ὁποῖος. A.

Verſ. 20. *Non — ſuo.* Nam hunc ſermonem in praecedentibus dixit eis: nec id ſemel, ſed variis in locis. Ait ergo, Non eſtis vos me meliores.

Verſ. 20. *Si — perſequentur.* Conſequens enim eſt, vt ſi mei eſtis diſcipuli, bono ſitis animo ad ſimilia cum praeceptore ſufferenda, et per veſtigia me ſequendum.

Verſ. 20. *Si — ſeruabunt.* Neque grauiter feratis, quod vos perſequantur, aut quod veſtros contemnant ſermones: quae enim in me oſtenderunt, haec etiam in vos oſtendent: et ſufficit, inquit, ſeruo, vt ſit ſicut dominus eius.

Verſ. 21. *Sed — meum.* Haec omnia: puta perſequentes, et ſermonem veſtrum non ſeruantes. Si ergo diligitis me, gaudebitis omnino, quia haec propter me patimini, quia et ego propter vos: et vos quidem pro domino, ego vero pro ſeruis. Deinde ponit et aliam conſolationem.

Verſ. 21. *Quia — me.* Quia contemnunt eum, qui me amandauit, hoc eſt, patrem quoque contumelia afficiunt. Gaudete itaque nobiſcum affecti contumelia. Poſt haec Iudaeos omni priuat venia, quod de induſtria perperam operati ſint, taliaque perpetrauerint.

Verſ. 22. *Si — ſuo.* Si non docuiſſem eos, peccatum non haberent perſequendo ac contumelia afficiendo et me et vos, qui mei eſtis, vtpote non dicentem, quis eſſem, nec id a ſcripturis oſtendentem.

Verſ. 23. *Qui — odit.* Explanat et auget peccatum illorum dicens, quod filii iniuria,

patris

Vers. 20. Οὐκ — αὐτοῦ. Τοῦτον γὰρ τὸν λόγον προλαβὼν εἶπεν αὐτοῖς καὶ οὐχ ἁπλῶς ἀλλὰ διαφόρως. λέγει οὖν, ὅτι οὐκ ἐμοῦ κρείττους ὑμεῖς.

Vers. 20. Εἰ — διώξουσι. Ἀκόλουθον γὰρ, εἴγε μαθηταί μου ἐστε. εὐψυχεῖτε οὖν, τὰ ὅμοια τῷ διδασκάλῳ πάσχοντες, καὶ κατὰ ἴχνος ἀκολουθοῦντές μοι.

Vers. 20. Εἰ — τηρήσουσι. Μήτε διωκόμενοι δυσφορεῖτε, μήτε τοῦ λόγου ὑμῶν ἀθετουμένου. ἃ γὰρ εἰς ἐμὲ ἐνεδείξαντο, ταῦτα καὶ εἰς ὑμᾶς ἐνδείξονται, καὶ ἀρκετόν, φησι, τῷ c) δούλῳ, ἵνα γένηται ὡς ὁ κύριος αὐτοῦ. c) Matt. 10, 25.

Vers. 21. Ἀλλὰ — με. Ταῦτα πάντα, διώκοντες δηλαδὴ, καὶ τὸν λόγον ὑμῶν μὴ τηροῦντες. εἰ οὖν ἀγαπᾶτέ με, χαρήσετε πάνυ, ὅτι δι' ἐμὲ ταῦτα πάσχετε, ἐπεὶ κἀγὼ δι' ὑμᾶς. καὶ ὑμεῖς μὲν ὑπὲρ δεσπότου, ἐγὼ δὲ ὑπὲρ δούλων. εἶτα τίθησι καὶ ἄλλην παραμυθίαν.

Vers. 21. Ὅτι — με. Ὅτι ἀθετοῦσι τὸν ἀποστείλαντά με, τουτέστιν, ὑβρίζουσι καὶ τὸν πατέρα. λοιπὸν τοίνυν ἀγαλλιᾶσθε, ὑβριζόμενοι μεθ' ἡμῶν. ἔπειτα ἀποστερεῖ τοὺς ἰουδαίους ἁπάσης συγγνώμης, ἐθελοκακοῦντας, καὶ τοιαῦτα διαπραττομένους.

Vers. 22. Εἰ — αὐτῶν. Εἰ μὴ ἐδίδαξα αὐτοὺς, ἁμαρτίαν οὐκ εἶχον, διώκοντες καὶ ὑβρίζοντες ἐμέ τε καὶ ὑμᾶς τοὺς ἐμοὺς, ὡς μήτε, τίς εἰμι, λέγοντα, μήτε ἀπὸ τῶν γραφῶν τοῦτο δεικνύοντα.

Vers. 23. Ὁ — μισεῖ. Σαφηνίζει καὶ αὔξει τὴν ἁμαρτίαν αὐτῶν, λέγων, ὅτι καὶ ἡ τοῦ υἱοῦ ὕβρις, τοῦ πατρός ἐστιν ὕβρις. εἰπὼν δὲ

περὶ

patris est iniuria. Postquam autem dixit de doctrina sua, dicit etiam de signis suis.

Vers. 24. *Si — haberent.* Et vere ipsi testes erant dicentes, Nunquam apparuit sic in Israël, aliaque similia.

Vers. 24. *Nunc — viderunt.* Huiusmodi opera.

Vers. 24. *Et — meum.* Superius namque dixit, Qui me odit, is et patrem meum odit. Et rursum alibi, Qui non honorat filium, non honorat patrem, qui misit illum.

Vers. 25. *Sed — gratis.* Etiam hic dictio Ut, non est causalis, sed futuri significatiua, quod futurum sit, ut hic sermo compleatur. Legem vero dicit librum Psalmorum, in quo scriptum est, Et sermonibus odii circumdederunt me et oppugnauerunt me gratis, siue frustra, absque ratione, propter suam malitiam. c) Matt. 10, 25.

Ne autem dicant Apostoli, Si te persequuti sunt, et sermonem tuum non seruauerunt: si quum talia edocti sunt, taliaque viderunt, nihil illis profuit, si te et patrem tuum oderunt: similia quoque aduersum nos demonstrabunt: quam igitur ob causam ad tales nos mittis? inducit consolationem, dicens, quod spiritus sanctus cooperabitur illis.

Cap. XVII. De paracleto.

Vers. 26. *Quum — me.* De mea diuinitate. Nam quum pater testimonium perhibuerit de

2) μισῶν ἐμέ. A.

3) Hic addit Codex. A. μου. Paullo post autem omittit.

περὶ τῆς διδασκαλίας αὐτοῦ, λέγει καὶ περὶ τῶν σημείων αὐτοῦ.

Verſ. 24. Ει — εἶχον. Καὶ ὄντως αὐτοὶ τούτων μάρτυρες, λέγοντες· ὅτι οὐδέποτε d) οὕτως ἐφάνη ἐν τῷ ἰσραὴλ, καὶ ἕτερα τοιαῦτα. d) Matth. 9, 33.

Verſ. 24. Νῦν — ἑωράκασι. Τὰ τοιαῦτα ἔργα.

Verſ. 24. Καὶ — με. Ἀνωτέρω γὰρ εἶπεν· ὅτι e) ὁ ἐμὲ [2]) μισῶν [3]) καὶ τὸν πατέρα μου μισεῖ. καὶ ἀλλαχοῦ πάλιν· ὁ f) μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. e) Io. 15, 23. f) Io. 5, 23.

Verſ. 25. Ἀλλ' — δωρεάν. Κἀνταῦθα τὸ ἵνα οὐκ αἰτιολογικὸν, ἀλλὰ δηλωτικὸν τοῦ μέλλοντος, ὅτι μέλλει πληρωθῆναι ὁ λόγος οὗτος. νόμον δὲ λέγει, τὴν βίβλον τῶν ψαλμῶν, ἐν ᾗ γέγραπται· ὅτι g) καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἐμίσησαν οὖν αὐτὸν δωρεὰν, ἤτοι, μάτην, ἀνευλόγως, [4]) διὰ τὴν πονηρίαν αὐτῶν. g) Pſ. 108, 2.

Ἵνα δὲ μὴ εἴπωσιν οἱ ἀπόστολοι· εἰ σὲ ἐδίωξαν καὶ τὸν λόγον σου οὐκ ἐτήρησαν, εἰ τοιαῦτα διδαχθέντες καὶ τοιαῦτα ἑωρακότες οὐδὲν ἀπώναντο, εἰ σὲ καὶ τὸν πατέρα σου μεμισήκασι, μέλλουσι δὲ καὶ εἰς ἡμᾶς τὰ ὅμοια ἐνδείξασθαι, τίνος ἕνεκεν εἰς τοιούτους ἀποστέλλεις ἡμᾶς; ἐπάγει παραμυθίαν, λέγων, ὅτι τὸ πνεῦμα τὸ ἅγιον συνεργήσει αὐτοῖς.

Κεφ. ΙΖ. Περὶ τοῦ παρακλήτου.

Verſ. 26. Ὅταν — ἐμοῦ. Περὶ τῆς ἐμῆς θεότητος. τοῦ γὰρ πατρὸς διαφόρως μαρτυρήσαν-

4) Hentenius fortaſſe reperit ἄνευ λόγου, Sed hoc quoque probum i. e. οὐκ εὐλόγως.

de me, ſpiritus ſanctus quoque multifariam teſtimonium omnino perhibebit. Teſtificabitur autem lucens in cordibus veſtris ad maiorem certitudinem: et miracula operans ad nomen meum. Vide autem, quod mittit quidem eum et filius, tanquam eiusdem cum patre honoris: verum id a patre, puta procedentem. Procedit itaque a patre, tanquam de eius ſubſtantia. Ideo etiam omnia, quae patris ſunt, nouit, ficut et filius.

Quod ſi roget quis, cur etiam filius non dicitur ipſe ſpiritus, quum etiam ab eodem ſit patre? Dicemus, quia non natus eſt, quemadmodum filius, ſed alio modo procedit. Ideo Nati quidem vocabulum filio conuenit, Procedentis vero ſpiritui. Rurſum ſi pergat interrogans, quid ſit illa proceſſio, pergemus et nos dicentes, inuertendo paulum, quod ait Gregorius Theologus: Dic tu generationem filii, et nos naturam eloquemur proceſſionis ſpiritus: et ex aequo pugnabimus, in Dei myſteria tanquam per tranſennam proſpicientes.

Quare autem filius et ſpiritus non dicuntur fratres, quum eundem habeant patrem? quia non eodem modo ex illo ſunt: ſiquidem ille naſcitur, hic vero procedit.

Verſ. 27. *Et — eſtis.* Teſtes ſermonum et operum meorum, ac meae diuinae potentiae fide digni, quia ab initio praedicationis meorumque miraculorum mecum eſtis: et omnino multos ad fidem adducetis: neque enim omnes ſimiliter mali ſunt.

Cap.

5) Incluſa abſunt. A.
6) Locus Gregorii Nazianz. in orat. de Sp. S. p. 221. init. ita habet: *τίς οὖν ἡ ἐκπόρευσις; εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ*

σαντος περὶ ἐμȣ̃, καὶ τὸ πνεῦμα τὸ ἅγιον διαφόρως μαρτυρήσει πάντως. μαρτυρήσει δὲ, ἐλλάμπον ταῖς καρδίαις ὑμῶν εἰς πληροφορίαν τελειοτέραν, καὶ τερατουργοῦν ἐπὶ τῷ ὀνόματί μου. [ὅρα[5]) δὲ, ὅτι πέμπει μὲν αὐτὸ καὶ υἱὸς, ὡς ὁμότιμος τῷ πατρί· παρὰ τȣ̃ πατρὸς δὲ, ὡς παρὰ τȣ̃ πατρὸς ἐκπορευόμενον. παρὰ τȣ̃ πατρὸς δὲ ἐκπορεύεται, ὡς ἐκ τῆς ȣ̓σίας αὐτȣ̃ ὄν. διὸ καὶ οἶδε πάντα τὰ τȣ̃ πατρὸς, ὥσπερ καὶ ὁ υἱός.

Εἰ δέ τις ἐρωτᾷ, πῶς ȣ̓ λέγεται καὶ τὸ πνεῦμα υἱὸς, οἷα ἐκ τȣ̃ αὐτȣ̃ πατρὸς ὄν; ἐρȣ̃μεν, διότι ȣ̓ γεννᾶται, ὡς ὁ υἱὸς, ἀλλ᾽ ἐκπορεύεται τρόπον ἕτερον. διὸ τῷ γεννητῷ μὲν κλῆσις, υἱὸς, τῷ ἐκπορευτῷ δὲ, πνεῦμα. εἰ δὲ προσερωτήσει, τίς ἐστιν αὕτη ἡ ἐκπόρευσις, προσερȣ̃μεν, ὅ φησιν[6]) ὁ θεολόγος γρηγόριος, μικρὸν ὑπαλλάξαντες· ὅτι, εἰπὲ σὺ τὴν γέννησιν τȣ̃ υἱȣ̃, καὶ ἡμεῖς φυσιολογήσομεν τὴν ἐκπόρευσιν τȣ̃ πνεύματος, καὶ παραπληκτίσομεν ἐπίσης εἰς θεȣ̃ μυστήρια παρακύπτοντες.

Καὶ διατί ὁ υἱὸς καὶ τὸ πνεῦμα ȣ̓ λέγονται ἀδελφοὶ, τὸν αὐτὸν ἔχοντες πατέρα; διότι ȣ̓ τὸν αὐτὸν τρόπον εἰσὶν ἐξ αὐτȣ̃. ὁ μὲν γὰρ γεννᾶται, τὸ δὲ ἐκπορεύεται.]

Verſ. 27. Καὶ — ἐστέ. Καὶ ὑμεῖς μάρτυρες τῶν λόγων καὶ ἔργων μου, καὶ τῆς ἐμῆς θεοπρεπȣ̃ς δυνάμεως ἀξιόπιστοι, διότι ἀπ᾽ ἀρχῆς τȣ̃ κηρύγματος καὶ τῶν θαυμάτων μετ᾽ ἐμȣ̃ ἐστε, καὶ πολλοὺς[7]) πάντως ἀγρεύσετε πρὸς τὴν πίστιν. ȣ̓ γὰρ πάντες ὁμοίως πονηροί.

υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω εἰς θεοῦ μυστήρια παρακύπτοντες.

7) πάλιν, pro πολλȣ̀ς. B

Cap. XVI. v. 1. *Haec — offendamini.*

Quum malos videritis persequentes vos, ac iniuria afficientes, sed cognoscentes, quod paracletus vobis auxilietur, bono sitis animo, ac viriliter agatis.

Vers. 2. *Extra synagogas — vos.* Praedictum est enim, quod statuerunt Iudaei, vt si quis confiteretur ipsum esse Christum, extra synagogam eiiceretur.

Vers. 2. *Sed — Deo.* Sed procedente tempore, inquit, adeo insanient, tantoque studio vestram affectabunt mortem, vt eum, qui vos occiderit, putent sacrificium ac victimam obtulisse Deo, et opinentur coluisse eum magis, eique placuisse, vt qui seductores ac pestiferos occiderit.

Vers. 3. *Et — me.* Propter quos haec sustinebitis: et satis est vobis ad consolationem, quod haec propter nos patiamini. Non nouerunt autem patrem, neque me, idque voluntarie, sponte videlicet deteriora sectantes.

Vers. 4. *Sed — vobis.* Vt quum venerit tempus persequutionis ac mortis vestrae, reminiscamini eorum, quae videlicet loquutus sum vobis: siue, vt recordemini, quod ego praedixerim vobis omnia, tanquam vniuersa cognoscens: et vt a vera tristium praenuntiatione, fidelem me habeatis etiam in bonorum promissionibus. Nam deceptor non ea praedicit, quae a deceptione abducunt, sed ea tantum, quae attrahunt.

Haec

s) ἀποκτείναντα. A. vt est in textu.
υ) δηλαδή, loco δή. A.
ι) ἐχθρῶν antea, sed ex correctione eiusdem manus, σκυθρωπῶν. B.

Cap. XVI. v. 1. Ταῦτα — σκανδαλισθῆτε.

Ὅταν ἴδητε τοὺς πονηροὺς διώκοντας ὑμᾶς καὶ κακοῦντας, ἀλλ' ἵνα γινώσκοντες, ὅτι ὁ παράκλητος ἐπικουρεῖ ὑμῖν, εὐψυχεῖτε καὶ ἀνδρίζεσθε.

Vers. 2. Ἀποσυναγώγους — ὑμᾶς. Προείρηται γάρ· ὅτι h) συνέθεντο οἱ ἰουδαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστὸν, ἀποσυνάγωγος γένηται. h) Io. 9, 20.

Vers. 2. Ἀλλ' — θεῷ. Ἀλλὰ προϊόντος τοῦ χρόνου, φησὶν, τοσοῦτον ἐκμανήσονται καὶ περισπούδαστον ποιήσονται τὸν θάνατον ὑμῶν, ὥστε τὸν ἀποκτείνοντα[8]) ὑμᾶς δοκεῖν θυσίαν προσφέρειν τῷ θεῷ, καὶ νομίζειν εὐσεβεῖν μᾶλλον καὶ εὐαρεστεῖν αὐτῷ, ὡς ἀποκτείνοντα πλάνους καὶ λυμεῶνας καὶ θεοστυγεῖς. προειπὼν δὲ τὰ λυπηρὰ, ἐπάγει πάλιν παραμυθίαν.

Vers. 3. Καὶ — ἐμέ. Διὰ σὲ ταῦτα ὑποστήσεσθε. καὶ ἀρκεῖ ὑμῖν εἰς παράκλησιν τὸ, διὰ ἡμᾶς ταῦτα πάσχειν. οὐκ ἔγνωσαν δὲ τὸν πατέρα οὐδὲ ἐμὲ, ἑκόντες, ὡς ἐθελοκακοῦντες.

Vers. 4. Ἀλλὰ — ὑμῖν. Ἵνα, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς διώξεως καὶ ἀναιρέσεως ὑμῶν, μνημονεύητε αὐτῶν, ὧν δὴ[9]) λελάληκα ὑμῖν, ἤγουν ἵνα μνημονεύητε, ὅτι ἐγὼ εἶπον ὑμῖν πάντα, ὡς πάντα εἰδὼς, καὶ ἵνα ἀπὸ τῆς ἀληθοῦς προαγορεύσεως τῶν[1]) σκυθρωπῶν ἡγῆσθέ με πιστὸν καὶ ἐπὶ ταῖς ἀγαθαῖς ἐπαγγελίαις. ὁ γὰρ ἀπατῶν οὐ προλέγει τὰ ἀπάγοντα τῆς[2]) ἀπάτης, ἀλλὰ μόνα τὰ ἕλκοντα.

[2]) ἀγάπης in contextu, et supra ἀπάτης. B. Utrumque ab eadem manu. Codex A. habet ἀπάτης tantum.

Haec vero et similia frequenter eis inculcat, vt dum passi fuerint non turbentur, quum hoc praesciuerint: neque torpescant scientes, quod propter Deum passuri sint. Magnum siquidem remedium est his, qui pro virtute decertant, cognoscere, pro quo sit certamen. Et nobis ergo pro honesto patientibus consolationi sit, cognoscere, quod pro honesto patimur. Nam si pro honesto quis pati gaudet, multo magis pro Deo et pro virtute.

Vers. 4. *Haec — eram.* Quia vobiscum eram et ita passuri non eratis, quamdiu vobiscum essem. Nunc autem haec dico, quia separor a vobis: et iam instant vobis pericula.

Atqui etiam ab initio, quum vocauit eos, et in Apostolatum ordinauit, dixit eis, [Ecce ego mitto vos, tanquam oues in medio luporum: et, Tradent vos ad concilia, et in synagogis suis verberabunt vos, et ad reges et praesides ducemini propter me et eritis odio habiti ab omnibus propter nomen meum. Itemque, Ne vobis ab his timueritis, qui occidunt corpus, ac multa huiusmodi.

Quomodo ergo ait, Haec vobis ab initio non dixi? Quia dictio Haec, in praesenti alia ab illis significat: dico sane, sed venit siue appropinquat tempus, vt quisquis interfecerit vos, videatur cultum praestare Deo: nam haec dixit nunc, quae praecedentibus erant formidabiliora.

Vers. 5. *Nunc — abis?* Videns eos in tantum tristitia absorptos, vt muti efficerentur, nec responsum ei dare possent, exprobrat eis silentium a tali

3) Inclusa desunt. A.

4) αὐτοῖς, omittit. A.

5) Inclusa omittit. A. Eorum loco autem habet, καὶ τὰ ἑξῆς.

Ταῦτα δὲ καὶ τὰ τοιαῦτα συνεχῶς αὐτοῖς ἐπιλέγει, ἵνα, ὅταν πάσχωσι, μὴ θορυβῶνται, προειδότες τοῦτο, μηδὲ μαλακίζωνται, γινώσκοντες, ὅτι διὰ τὸν θεὸν πάσχουσι. μέγα γὰρ φάρμακον ἐν τοῖς ὑπὲρ ἀρετῆς ἀγῶσι, τὸ γινώσκειν ὑπὲρ τίνος ὁ ἀγών. καὶ ἡμᾶς οὖν, ὑπὲρ καλοῦ πάσχοντας, παραμυθείσθω τὸ γινώσκειν, ὅτι ὑπὲρ καλοῦ πάσχομεν· εἰ γὰρ ὑπὲρ ἀγαπητοῦ τις πάσχων χαίρει, πολλῷ μᾶλλον ὑπὲρ τοῦ θεοῦ καὶ ὑπὲρ ἀρετῆς.

Vers. 4. Ταῦτα — ἤμην. Ὅτι μεθ' ὑμῶν ἤμην καὶ οὐκ ἐμέλλετε οὕτω παθεῖν, ἕως μεθ' ὑμῶν ἤμην. νῦν δὲ ταῦτα λέγω, διότι χωρίζομαι ὑμῶν, καὶ ἐγγίζουσιν ἤδη τὰ δεινὰ ὑμῖν.

Καὶ μὴν καὶ ἐξ ἀρχῆς, ὅτε ἐκάλεσεν αὐτοὺς, καὶ [εἰς[3]) ἀποστολὴν ἔταξεν,] εἶπεν αὐτοῖς[4]) ὅτι[i]) ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· καὶ ὅτι παραδώσουσιν[k]) ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν [ὑμᾶς[5]) καὶ ὅτι ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ· καὶ ὅτι ἔσεσθε[l]) μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ ὅτι[m]) μὴ φοβῆσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα·] καὶ πολλὰ τοιαῦτα·

i) Matt. 10, 16.
k) Matt. 10, 17. 18.
l) Matt. 10, 22.
m) Matt. 10, 28.

Πῶς οὖν εἶπεν, ὅτι ταῦτα ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον; διότι ἐνταῦθα τὸ ταῦτα, ἕτερα παρ' ἐκεῖνα δηλοῖ. φημὶ δὴ, τὸ ἀλλ' ἔρχεται ὥρα, εἶπεν, ἐγγίζει· καὶ τὸ ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς [δόξῃ[6]) λατρείαν προσφέρειν τῷ θεῷ.] ταῦτα γὰρ νῦν εἶπεν αὐτοῖς, φοβερώτερα ἐκείνων ὄντα.

Vers. 5. Νῦν — ὑπάγεις; Ἰδὼν αὐτοὺς οὕτως ὑπὸ τῆς ἀθυμίας καταπαλαισθέντας, ὡς ἀφώνους γενέσθαι, καὶ μὴ δύνασθαι αὐτῷ προσ-

 λαλεῖν,

6) Inclusa absunt. A.

a tali tristitia ortum, dicens, Nunc autem abeo ad eum, qui misit me, et nemo interrogat me, Quo abis?

Atqui Petrus interrogauit eum dicens, domine quo abis? Sed ibi sane Petrus dicens, Quo abis? de loco interrogauit: hic vero, Quo abis? significat: Quid agis? Solent namque qui aegre ferunt, ita reuocare eum, qui repente prosilit ad mortem. Oportuit ergo et discipulos dicere, Quo abis? siue, Quid agis, nos relinquens?

Potest quoque et alio modo dici, quod quum Petro interrogante non respondisset, quo abiret, oportuit eos rursum interrogare.

Vers. 6. *Sed — cor.* Admodum contristati estis, et propterea siletis.

Vers. 7. *Sed — vobis.* Vtpote ipsa veritas. Quanquam enim mille modis anxii sitis, veritatem dicam, nec tristia occultabo, sicut ii, qui ad gratiam loquuntur. Deinde consolando ostendit, vtilem eis esse suam profectionem.

Vers. 7. *Expedit — vos.* Vos quidem optatis, vt ego verser vobiscum, verum aliud vobis expedit. Procuratoris est autem, non indulgere dilectis, quum inutilia concupiscunt. Nam quia desuper ita sanctae trinitati visum est, vt pater quidem ad filium eos attraheret: filius autem illos doceret, ac spiritus sanctus ipsos perficeret: et iam duo completa erant, oportebat et tertium perfici, consummationem videlicet spiritus sancti. Non erat autem aequum, vt hoc fieret, nisi postquam filius recessisset. Expedit itaque vobis, vt ego abeam. Sicut enim, si ego non abiero, paracle-

7) δὲ, abest. A.

λαλεῖν, ὀνειδίζει τὴν ἀπὸ τῆς τοιαύτης ἀθυμίας σιγὴν, λέγων· νῦν [†] δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ ὐδεὶς ἐρωτᾷ με, πού ὑπάγεις;

Καὶ μὴν ὁ πέτρος ἠρώτησεν αὐτὸν, εἰπών· κύριε, [n]) πού ὑπάγεις; ἀλλ' ἐκεῖ μὲν ὁ πέτρος n) Io. 13, 36.
εἰπών· πού ὑπάγεις; περὶ τόπυ ἠρώτησεν· ἐνταῦθα δὲ τὸ, πού ὑπάγεις; τὸ τί ποιεῖς; ὑποφαίνει. εἰώθασι γὰρ οἱ δεινοπαθοῦντες ὕτως ἐπιφωνεῖν τῷ πρὸς θάνατον ὁρμῶντι. ἔδει οὖν καὶ τὺς μαθητὰς ἐπιλέγειν, πῦ ὑπάγεις; ἤγουν, τί ποιεῖς ἀπολιμπάνων ἡμᾶς;

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ἐπειδὴ τότε, τῦ πέτρου ἐρωτήσαντος, οὐκ ἀπεκρίνατο, πού ὑπάγει, ἐχρῆν αὐτοὺς πάλιν ἐρωτῆσαι.

Verſ. 6. Ἀλλ' — καρδίαν. Σφόδρα ἐλυπήθητε, καὶ διὰ τῦτο σιγᾶτε.

Verſ. 7. Ἀλλ' — ὑμῖν. Ὡς αὐτοαλήθεια. κἂν γὰρ μυριάκις λυπῆσθε, τὴν ἀλήθειαν λέγω, καὶ οὐκ ἀποκρύψω τὰ λυπηρὰ, ὡς οἱ λέγοντες πρὸς χάριν. εἶτα παρηγορῶν, δείκνυσι λυσιτελοῦσαν αὐτοῖς τὴν ἀποδημίαν αὐτῦ.

Verſ. 7. Συμφέρει — ὑμᾶς. Ὑμεῖς μὲν θέλετε συνεῖναί με ὑμῖν· ἔστι δὲ τὸ συμφέρον ἕτερον· κηδομένυ δὲ, τὸ μὴ φείδεσθαι τῶν ἠγαπημένων, ὅταν ἀσύμφορα βύλωνται. ἐπεὶ γὰρ εὐδόκησεν ἄνωθεν ἡ ἁγία τριὰς, τὸν μὲν πατέρα ἑλκύσαι αὐτοὺς πρὸς τὸν υἱόν· τὸν δὲ υἱὸν διδάξαι αὐτούς· τὸ δὲ πνεῦμα τὸ ἅγιον τελειῶσαι αὐτούς· καὶ τὰ μὲν δύο ἤδη γεγόνασιν· ἔδει δὲ γενέσθαι καὶ τὸ τρίτον, τὴν διὰ τῦ ἁγίου πνεύματος τελείωσιν· οὐκ ἦν δὲ εἰκὸς τοῦτο ἐλθεῖν, μὴ ἀπελθόντος τῦ υἱοῦ· φησὶν, ὅτι συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω, καὶ τὰ ἑξῆς. ὥσπερ γὰρ, ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς

racletus non veniet ad vos: ita etiam, si paracletus non venerit ad vos, nequaquam perficiemini. Necesse est ergo, vt ego abeam, completo iam opere, quod me facere oportuit, vt alius exhortator adueniat, vosque perficiat.

Vers. 8. *Quumque venerit — iudicio.* Arguet, hoc est, condemnabit tandem malos, inexcusabiles penitus demonstrabit, quum me mortuo eximias apparabit doctrinas, et vt signa fiant maxima ad mei nominis inuocationem. Quid ergo posthac aduersum me dicent, quod sit rationi consentaneum? Cuius etiam mortui nomen talia praestare poterit? profecto nihil. Deinde ea etiam explanat, de quibus illos arguet.

Vers. 9. *De — me.* Nam irremissibile erit peccatum, adhuc in me non credere.

Vers. 10. *De — me.* Iusti namque indicium est, accedere ad Deum, simulque cum eo esse. Nam hoc significat, Et posthac non videbitis me. Itaque nisi iustus essem, non accederem ad Deum: quomodo namque peccator ac seductor, legis transgressor, Deique aduersarius, perueniret ad eum, qui iustus est, verax, legislator ac Deus?

Sed vnde manifestum erit, quod ad Deum abeat et cum eo sit? Vnde? A spiritus sancti testimonio, per illustrationem, vt dictum est, ac signa, quae per nomen eius edentur.

Post-

8) *ἀποφανεῖ* corrigendum, quod Hentenius etiam habet.

9) Durum hoc, *παρασκευάσει διδασκαλίας καὶ ἐπιτελεῖσθαι.* Malim ergo post *διδασκαλίας* interponere *γίνεσθαι.*

ὑμᾶς! οὕτω καὶ, ἐὰν ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, οὐ τελειωθήσεσθε. ἀναγκαῖον οὖν λοιπὸν ἐμὲ ἀπελθεῖν, πεπληρωκότα τὸ ἔργον, ὃ ἔδει ποιῆσαί με, ἵνα ὁ ἄλλος παράκλητος ἔλθῃ καὶ τελειώσῃ ὑμᾶς.

Vers. 8. Καὶ ἐλθὼν — κρίσεως. Ἐλέγξει, τουτέστι, καταδικάσει τέλεον τοὺς πονηροὺς, ἀναπολογήτους παντάπασιν [1]) ἀποφήνῃ, ὅταν, ἀποθανόντος μου, παρασκευάσῃ ὑψηλὰς [2]) διδασκαλίας καὶ μέγιστα σημεῖα ἐπιτελεῖσθαι [1]) ἐπὶ τῇ κλήσει τοῦ ὀνόματός μου. τί γὰρ ἐροῦσιν ἔτι κατ' ἐμοῦ εὔλογον, οὗ καὶ ἀποθανόντος τηλικαῦτα δύναται τὸ ὄνομα μόνον; ὄντως οὐδέν. εἶτα ἑρμηνεύει, καὶ ἐφ' οἷς ἐλέγξει αὐτούς.

Vers. 9. Περὶ — ἐμέ. Ἁμαρτία γὰρ ἀσύγγνωστος, τὸ μὴ πιστεύειν ἔτι εἰς ἐμέ.

Vers. 10. Περὶ — με. Δικαίου γὰρ γνώρισμα, τὸ πορεύεσθαι πρὸς τὸν Θεὸν καὶ συνεῖναι αὐτῷ. τοῦτο γὰρ δηλοῖ τό· καὶ οὐκέτι θεωρεῖτέ με. καὶ λοιπὸν, εἰ μὴ ἤμην δίκαιος, οὐκ ἂν ἐπορευόμην πρὸς τὸν πατέρα. πῶς γὰρ ἂν ἁμαρτωλὸς καὶ πλάνος καὶ παράνομος καὶ ἀντίθεος πορευθείη πρὸς τὸν δίκαιον καὶ ἀληθινὸν καὶ νομοθέτην καὶ Θεόν;

Καὶ πόθεν δῆλον, ὅτι πρὸς τὸν Θεὸν [2]) ἀπῆλθε καὶ σύνεστιν αὐτῷ; πόθεν; ἀπὸ τῆς τοῦ ἁγίου πνεύματος μαρτυρίας, τῆς δι' ἐλλάμψεως καὶ σημείων, ὡς προείρηται, ἐπὶ τῷ ὀνόματι αὐτοῦ γινομένης. [3])

Οὐκ

1) τελεῖσθαι. B.

2) Ita. A. Sed Cod. B. in contextu habet, πρὸς τὸν, et supra, αὐ. i. e. αὐτὸν, et Θεόν.

3) γενομένης. A.

Posthac autem non videbitis me, cum hac videlicet ignominia et abiectione. Siquidem visuri eum erant, sed non, vt prius.

Vers. 11. *De — iudicatus est.* Quia diabolus condemnatus est, et a potentatu suo eiectus, non potens posthac meum omnino ferre nomen, sed statim fugiens: quomodo obsecro id illi contingeret, si amicum eum haberem, veluti dicunt mali, quod per Beelzebul principem daemoniorum eiiciam daemonia, quodque daemonium habeam, et caetera huiusmodi?

Vt autem sermonem summatim colligamus: Quum venerit paracletus, arguet mundum de peccato, quia peccant, qui adhuc non credunt: de iustitia autem, quia iustus ego sum et non peccator, sicut ipsi dicunt: de iudicio vero, siue condemnatione, quia condemnatus est princeps daemoniorum, tanquam inimicus, et non amicus meus.

Vers. 12. *Adhuc — nunc.* Quum adhuc imperfecti sitis: et necdum per horrendam passionem, ac inopinatam resurrectionem meam profeceritis, neque induti sitis virtute ex alto.

Vers. 13. *Quum — veritatem.* Ad hoc, vt sciatis omnem veritatem diuinorum dogmatum, quam videlicet expedit vobis cognoscere. Deinde, ne auditis talibus de spiritu sancto, maiorem existimarent esse spiritum, et in extremam inciderent impietatem, medelam adiungit dicens.

Vers. 13. *Non — semetipso.* Sicut neque ego, quemadmodum variis in locis explicauimus, Siquidem nihil vlli sanctae trinitatis personae proprium est, praeter innascibilitatem, natiuitatem et processionem, sed omnia eis communia,

Vers. 13.

Οὐκέτι δὲ θεωρεῖτέ με, μετὰ τῆς νῦν δηλονότι ἀδοξίας καὶ εὐτελείας. ἔμελλον γὰρ αὐτὸν ὁρᾷν, ἀλλ' οὐχ ὡς τὸ πρότερον.

Verſ. 11. Περὶ — κέκριται. Ὅτι ὁ διάβολος κατακέκριται καὶ ἐκβέβληται τῆς δυναστείας αὐτοῦ, μηκέτι δυνάμενος ὅλως φέρειν τὸ ἐμὸν ὄνομα, ἀλλὰ παραυτίκα δραπετεύων. πῶς δ' ἂν τοῦτο πέπονθεν, εἰ φίλον αὐτὸν εἶχον, ὡς οἱ πονηροὶ λέγουσιν· ὅτι o) ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλω τὰ δαιμόνια· καὶ ὅτι p) δαιμόνιον ἔχω, καὶ τὰ τοιαῦτα; o) Matt. 12, 24. p) Io. 7, 20.

Ἵνα δὲ τὸν λόγον ἀνακεφαλαιώσωμεν, ἐλθὼν, φησιν, ὁ παράκλητος ἐλέγξει τοὺς πονηρούς· ἐπὶ ἁμαρτίᾳ μὲν, ὅτι ἁμαρτάνουσι, μὴ πιστεύοντες ἔτι· ἐπὶ δικαιοσύνῃ δὲ, ὅτι δίκαιος ἐγὼ καὶ οὐχ ἁμαρτωλὸς, ὡς αὐτοὶ λέγουσιν· ἐπὶ κρίσει δὲ, ἤτοι κατακρίσει, ὅτι κατακέκριται ὁ ἄρχων τῶν δαιμονίων, ὡς ἐχθρὸς καὶ οὐ φίλος μου.

Verſ. 12. Ἔτι — ἄρτι. Ἀτελεῖς ὄντες ἔτι, καὶ μήπω, διὰ τῶν ἐν τῷ σταυρῷ καὶ τῇ ἀναστάσει μου φρικτῶν καὶ παραδόξων, προκόψαντες, μηδὲ ἐνδυσάμενοι δύναμιν ἐξ ὕψους.

Verſ. 13. Ὅταν — ἀλήθειαν. Εἰς τὸ εἰδέναι πᾶσαν τὴν ἀλήθειαν τῶν θείων δογμάτων, τὴν προσήκουσαν δηλονότι γνωρισθῆναι ὑμῖν. εἶτα ἵνα μὴ, τηλικαῦτα περὶ τοῦ ἁγίου πνεύματος ἀκούσαντες, μεῖζον τὸ πνεῦμα νομίσωσι, καὶ εἰς ἑτέραν ἀσέβειαν ἐμπέσωσιν, ἐπάγει θεραπείαν καὶ φησίν.

Verſ. 13. Οὐ — ἑαυτοῦ. Ὥσπερ οὐδ' ἐγὼ, καθὼς διαφόρως προδιεστειλάμην, οὐδὲν γὰρ ἴδιον οὐδενὶ τῆς ἁγίας τριάδος, πλὴν ἀγεννησίας καὶ γεννήσεως καὶ ἐκπορεύσεως, ἀλλὰ κοινὰ πάντα αὐτῇ.

Verſ. 13.

Verſ. 13. *Sed — loquetur.* Quaecunque audierit a patre, ſicut etiam frequenter de meipſo dixi, ſignificans ſubſtantiae ac naturae identitatem, aequalitatem, ac omnimodam ſimilitudinem. Quemadmodum enim filius impletio legis eſt ac prophetarum, veritate confirmans, quae prius figuratiue ſcripta erant: ita quoque et diuinus ſpiritus impletio eſt euangelii, ea quae filii ſunt adimplens, ſicut et filius ea, quae patris ſunt.

Verſ. 13. *Et — vobis.* Ne incaute praecipitemini, etiam prophetiae ac praecognitionis gratia dignos efficiet.

Verſ. 14. *Ille me glorificabit.* Per nomen meum vires praebens: meae incarnationis myſterium planius vobis manifeſtans.

Verſ. 14. *Quia — vobis.* De mea ſcientia: ea videlicet, quae patris eſt. Accipiet autem, hoc eſt audiet. Dicit tamen haec, demittens ſeſe ad diſcipulorum imbecillitatem. Nam accipere et audire, creaturarum ſunt: ſiquidem increata trinitas nouit omnia, et nunquam vllo indiget. Deinde interpretatur, quod dixit, De meo.

Verſ. 15. *Omnia — vobis.* Nam cum omnia, quae patris ſunt, mea ſint, vnum autem horum ſit haec ſcientia: merito dixi, quod de meo accipiet, hoc eſt, conformia mecum et audiet et annuntiabit vobis, nihilque diſſonum, vtpote mihi per omnia aequalis. Quaecunque ergo docuerit, mea ſunt, et meorum adimpletiua ſermonum et operum.

Et quare non venit ſpiritus ſanctus, dum adhuc eſſet cum eis filius? Primum quidem, quia ſufficie-

Verf. 13. Ἀλλ' — λαλήσει. Ὅσα ἂν ἀκούσῃ παρὰ τῦ πατρὸς, ὃ καὶ περὶ ἐμαυτοῦ πολλάκις εἴρηκα, δηλῶν τὸ ὁμοούσιον καὶ ὁμοφυὲς καὶ ἶσον καὶ ἀπαράλλακτον. ὥσπερ γὰρ ὁ υἱὸς, πλήρωμα νόμου καὶ προφητῶν, τὰ τυπικῶς προδιαγραφέντα βεβαιώσας διὰ τῆς ἀληθείας· οὕτω καὶ τὸ θεῖον πνεῦμα, πλήρωμα τοῦ εὐαγγελίου, ἀναπληροῦν τὰ τοῦ υἱοῦ, καθὼς καὶ οὗτος τὰ τοῦ πατρός.

Verf. 13. Καὶ — ὑμῖν. Τὰ μέλλοντα, ὥςε μὴ ἐμπίπτειν ὑμᾶς ἀφυλάκτως, καὶ προγνωςικῦ χαρίσματος ἀξιώσει.

Verf. 14. Ἐκεῖνος ἐμὲ δοξάσει. Ἐν τῷ ἐμῷ ὀνόματι τὰς ἐνεργείας διδοὺς, ἀποκαλύπτων ὑμῖν τρανότερον τὸ μυςήριον τῆς ἐμῆς ἐνανθρωπήσεως.

Verf. 14. Ὅτι — ὑμῖν. Ἐκ τῆς ἐμῆς γνώσεως, ἤτοι, τῆς τῦ πατρός. λήψεται δὲ, ἀντὶ τῦ, ἀκούσει. τὰ τοιαῦτα δὲ συγκαταβατικῶς λέγει, διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν. τὸ γὰρ λαμβάνειν καὶ ἀκούειν, τῶν κτιςῶν εἰσιν· ἡ δὲ ἄκτιςος τριὰς οἶδε πάντα, καὶ ἐπὶ πᾶσιν ἀνενδεής ἐςιν. εἶτα ἑρμηνεύει, τὸ ἐκ τῦ ἐμῦ.

Verf. 15. Πάντα — ὑμῖν. Ἐπεὶ γὰρ πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐςιν, ἓν δὲ τούτων καὶ ἡ γνῶσις αὕτη, εἰκότως εἶπον, ὅτι ἐκ τῦ ἐμῦ λήψεται, τῦτέςι, συνῳδά μοι καὶ ἀκούσει καὶ ἀναγγελεῖ ὑμῖν, καὶ οὐδὲν ἀπᾷδον, ὡς κατὰ πάντα ἶσος ἐμοί. λοιπὸν τοίνυν, ἅπερ ἂν διδάξῃ, ἐμά ἐςι, καὶ τῶν ἐμῶν ἀναπληρωτικά.

[Καὶ[4]) διατί οὐκ ἦλθε τὸ πνεῦμα τὸ ἅγιον, συνόντος αὐτοῖς ἔτι τῦ υἱοῦ; πρῶτα μὲν, διότι ἤρκει

4) A verbis καὶ διατί ad δήλη γενήται desunt omnia in Cod. A.

sufficiebat filius, qui cum eis versabatur. Praeterea vero, quia necdum occiso agno, qui pro mundi peccato immolatus est, nondum solutum erat peccatum: hoc autem nondum soluto, Dei erga homines reconciliatio nondum facta erat: nondum vero facta reconciliatione, non oportuit dari gratiam spiritus sancti. Vbi vero facta est reconciliatio, et Apostoli ad pericula mittebantur, ac certamina aggrediebantur, et vrgentis erat necessitatis, tunc demum alius venit exhortator.

Et quare non statim post resurrectionem venit? Vt in multo illius positi desiderio, cum multa eum gratia susciperent. Etenim donec cum eis erat Christus, in afflictione non erant: at vbi recessit, nudati et in multo timore ac moestitia constituti, multa cum hilaritate ac iucunditate spiritum sanctum erant suscepturi.

Quemadmodum autem pater ea, quae sunt, in esse potuit producere, filius tamen ea produxit, vt eius discamus potentiam ac diuinitatem: ita quoque filius poterat, quae alterius erant paracleti in discipulis operari, ea tamen operatus est spiritus sanctus, vt eius quoque discamus potentiam ac diuinitatem. Nam quia de patre quidem nullus haesitabat, de filio autem ac spiritu sancto ignorantia tenebantur, propterea ille sane per incarnationem cum eis conuersatus est, hic vero alio modo perfecit.

Praeterea de patre quidem multa audierant: filium quoque saepius diuina operantem conspexerant;

5) Elegantissime ἀποδύεσθαι et ἀλείφειν iunxit. Prius restitui quoque debet Libanio in Epist. DCXLVII. p. 309. vbi Codex Mosq. ita habet: ἐλπίζω δέ σε καὶ διὰ τοῦ παιδὸς πολλοὺς ἡμῖν ἐλέγξειν ῥήτορας, οὕτως ὀξὺ βλέποντος καὶ ῥέοντος, ὃν ᾤμην δεῖν εὐθὺς ἀποδύντα [vulgo ἀποδόντα] παλαίειν, ὅπως μὴ παρελθόντα καιρὸν ζητῶμεν.

ἥρκει συνὼν αὐτοῖς ὁ υἱός· ἔπειτα δὲ, διότι μήπω τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου τυθέντος, οὔπω ἐλύθη ἡ ἁμαρτία· μήπω δὲ ταύτης λυθείσης, οὔπω καταλλαγὴ τοῦ θεοῦ πρὸς τοὺς ἀνθρώπους ἐγένετο· μήπω δὲ καταλλαγῆς γενομένης, οὐκ ἔδει δοθῆναι τὴν χάριν τοῦ ἁγίου πνεύματος. ὅτε δὲ καὶ καταλλαγὴ γέγονε, καὶ οἱ ἀπόστολοι πρὸς κινδύνους ἐπέμποντο, καὶ πρὸς τοὺς ἀγῶνας ἀπεδύοντο,[5]) καὶ χρεία τοῦ ἀλείφοντος ἦν, τότε λοιπὸν ὁ ἄλλος παράκλητος ἔρχεται.

Καὶ διατί μὴ μετὰ τὴν ἀνάστασιν εὐθὺς ἔρχεται; ἵνα ἐν πολλῇ αὐτοῦ καταστάντες ἐπιθυμίᾳ, μετὰ πολλῆς αὐτὸν χαρᾶς ὑποδέξωνται. ἕως μὲν γὰρ συνῆν αὐτοῖς ὁ χριστὸς, οὐκ ἦσαν ἐν θλίψει· ἐπεὶ δὲ ἀπῆλθε, γυμνωθέντες καὶ ἐν πολλῷ φόβῳ καὶ ἀθυμίᾳ γενόμενοι, σφόδρα ἡδέως ἔμελλον ὑποδέξασθαι τὸ πνεῦμα τὸ ἅγιον.

Ὥσπερ δὲ ὁ πατὴρ ἠδύνατο τὰ ὄντα παραγαγεῖν, ὁ υἱὸς δὲ ταῦτα παρήγαγεν, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν καὶ θεότητα· [οὕτω[6]) καὶ ὁ υἱὸς ἠδύνατο τὰ τοῦ ἄλλου παρακλήτου ἐργάσασθαι ἐν τοῖς μαθηταῖς· τὸ πνεῦμα δὲ τὸ ἅγιον εἰργάσατο, ἵνα μάθωμεν καὶ αὐτοῦ τὴν δύναμιν καὶ θεότητα.] ἐπεὶ γὰρ περὶ μὲν τοῦ πατρὸς οὐδεὶς ἀμφέβαλλε, περὶ δὲ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἠγόουν, διὰ τοῦτο ὁ μὲν δι' ἐνανθρωπήσεως ὁμιλεῖ αὐτοῖς, τὸ δὲ τρόπον ἕτερον καταρτίζει.

Καὶ ἐπεὶ περὶ μὲν τοῦ πατρὸς πολλὰ ἤκουσαν, τὸν δὲ υἱὸν πολλάκις εἶδον θεοπρεπῶς ἐργαζόμενον, τὴν

6) Quae hic inclusa sunt, leguntur in marg. Cod. B, a manu recentiori. Excidisse autem videntur ob duplex θεότητα. Ego non dubitaui recipere; praesertim cum Hentenius etiam habeat in sua interpretatione.

rant: ſpiritus ſancti autem dignitatem, neque auditu, neque aſpectu cognoſcebant. Ab hoc itaque perficiuntur, vt eius quoque diuinitatem cognoſcant. Propterea etiam in diuino baptismate viuificans trinitas aſſumitur: non quod vna ſola perſona ad regenerationem non ſufficiat, ſed vt per inuocationis communicationem Deitatis communicatio ſignificetur.

Verſ. 16. *Puſillo — me.* Sub terra ſepultum.

Verſ. 16. *Et — me.* Vbi a mortuis reſurrexero.

Verſ. 16. *Quia — patrem.* Paſſionis myſterium appellat vbique tranſitum, oſtendens, quod non multo tempore morti erit ſubiectus. Itaque poſtquam laeta de altero paracleto promiſit, rurſum triſtia inducit, idque frequenter et fecit iam et facit, laetis triſtia permiſcens, vt hinc quidem conſoletur deiectos, hinc vero ſtantes exerceat. Nam qui in verbis horrenda primum meditati fuerant, ea poſtmodum in rebus tolerabilius laturi erant.

Verſ. 17. *Dixerunt — v. 18. loquatur.* Siquidem parabolam eis videbatur aliquam etiam hic dicere, ſicut et in euangelio iuxta Matthaeum praediximus. Fortaſſis autem et triſtitiae vehementia inſenſibilitatem hanc eis iniecerat: et qui frequenter haec audierant, ſic affecti erant, quaſi nihil vnquam horum audiſſent.

Verſ. 19. *Cognouit — me?* Deinde, quod quaerebant, interpretatur.

Verſ. 20. *Amen — vos.* Non videntes me, ſub terra videlicet ſepultum.

τὴν δὲ τοῦ ἁγίου πνεύματος ἀξίαν οὔτε δι' ἀκοῆς, οὔτε δι' ὄψεως ἐγίνωσκον· λοιπὸν παρὰ τούτου τελειοῦνται, ἵνα καὶ τὴν τούτου θεότητα γνωρίσωσι. διὰ τοῦτο καὶ ἐπὶ τοῦ θείου βαπτίσματος ἡ ζωοπάροχος τριὰς παραλαμβάνεται, οὐχ ὡς τοῦ ἑνὸς μόνου μὴ ἀρκοῦντος εἰς ἀναγέννησιν, ἀλλ' ἵνα διὰ τῆς κοινωνίας τῶν ἐπικλήσεων, ἡ κοινωνία τῆς θεότητος δήλη γένηται.]

Verſ. 16. Μικρὸν — με. Τεθαμμένον ὑπὸ γῆν.

Verſ. 16. Καὶ — με. Ἀναστάντα ἐκ νεκρῶν.

Verſ. 16. Ὅτι — πατέρα. Διάβασις πανταχοῦ τὸ πρᾶγμα καλεῖ, δεικνὺς, ὅτι οὐ κατασχεθήσεται ἐπὶ πολὺ παρὰ τοῦ θανάτου. χαρίεντα μὲν οὖν περὶ τοῦ ἄλλου παρακλήτου ἐπαγγειλάμενος, λυπηρὰ πάλιν ἐπήγαγε. καὶ πολλάκις ἤδη τοῦτο πεποίηκε, καὶ ποιεῖ, τοῖς θυμήρεσι τὰ θυμαλγῆ ἀναπλέκων, οἷα τοῦτο μὲν παρηγορῶν καταπίπτοντας, τοῦτο δὲ γυμνάζων ἐρῶντας. οἱ γὰρ ἐν τοῖς ῥήμασι τὰ ἀπευκταῖα μελετήσαντες, εὐφορώτερον ἔμελλον οἴσειν αὐτὰ ἐν τοῖς πράγμασιν.

Verſ. 17. Εἶπον — v. 18. λαλεῖ. Ἐδόκει γὰρ αὐτοῖς παραβολήν τινα κἀνταῦθα λέγειν, ὡς καὶ ἐν τῷ κατὰ ματθαῖον προειρήκαμεν. ἴσως δὲ καὶ τὸ σφοδρὸν τῆς ἀθυμίας τὴν ἀναισθησίαν ταύτην ἐνεποίησεν αὐτοῖς, καὶ οἱ πολλάκις ταῦτα ἀκούσαντες, οὕτω διέκειντο, ὡς μηδέποτε μηδὲν τούτων ἀκηκοότες.

Verſ. 19. Ἔγνω — με; Εἶτα διερμηνεύει τὸ ζητούμενον.

Verſ. 20. Ἀμὴν — ὑμᾶς. Μὴ θεωροῦντές με, ὡς τεθαμμένον ὑπὸ γῆν.

Verf. 20. *Mundus vero gaudebit.* Mali scilicet, tanquam a me liberati.

Verf. 20. *Vos autem contristabimini.* Ad aliquod tempus. Vide autem, quomodo dixerit, Plorabitis et lamentabimini ac contristabimini: ad tolerantiam amplius eos exercens, per continuationem eorum, quae moerore afficiant.

Verf. 20. *Sed — vertetur.* Quum me iterum videbitis ex mortuis resuscitatum. Deinde ponit etiam vulgare ac certissimum exemplum de gaudio, quod moerorem e medio tollit.

Verf. 21. *Mulier — eius.* Tempus laboriosum dolorum.

Verf. 21. *Quum — mundum.* Quemadmodum breuis ille moeror, qui mulieri in partu laboranti prouenit a partus doloribus, magnum parit de edita prole gaudium: ita quoque vobis temporalis de morte mea moeror, perpetuum generabit de resurrectione mea gaudium.

Verf. 22. *Et — vobis.* Nemo a vobis auferet: tunc enim non amplius moriar, nec deinceps me priuabimini. Quomodo autem de muliere dixit, quod gaudet, quia natus est homo in mundum: quum non propterea gaudeat, sed quod sibi natus sit puerulus? Hoc dixit, quoniam ab initio dixit Deus, Crescite et multiplicamini ac replete terram: et in primis quidem homo nascitur in mundum: ex consequenti vero etiam ad obsequium parentum.

Simul autem et mysticum quiddam hinc significatur, quod Christus per mortem genitus quasi per

7) μικρὸν, pro κοσμικόν. A.
8) ὀδυνῶν. A.

Verf. 20. Ὁ δὲ κόσμος χαρήσεται. Οἱ πονηροὶ, ὡς ἀπαλλαγέντες μου.

Verf. 20. Ὑμεῖς δὲ λυπηθήσεσθε. Πρὸς καιρόν τινα. ὅρα δὲ, πῶς εἶπε, κλαύσετε καὶ θρηνήσετε καὶ λυπηθήσεσθε, γυμνάζων αὐτοὺς ἐπὶ πλέον εἰς ὑπομονὴν διὰ τῆς συνεχείας καὶ ἐπιτάσεως τῶν ἀλγυνόντων.

Verf. 20. Ἀλλ' — γενήσεται. Πάλιν θεωρούντων με, ὡς ἀναστάντα ἐκ νεκρῶν ἤδη. εἶτα τίθησι καὶ [7]) κοσμικὸν ἀναντίῤῥητον παράδειγμα τῆς τὴν λύπην ἀφανιζούσης χαρᾶς.

Verf. 21. Ἡ γυνὴ — αὐτῆς. Ὁ καιρὸς τῶν ἐπωδύνων ὠδίνων. [8])

Verf. 21. Ὅταν — κόσμον. Ὥσπερ τῇ ὠδινούσῃ γυναικὶ ἡ ἀπὸ τῶν [9]) ὠδίνων βραχεῖα λύπη γεννᾷ τὴν ἐπὶ τῷ γεννήματι μεγάλην χαράν· οὕτω καὶ ὑμῶν ἡ ἀπὸ τοῦ θανάτου μου πρόσκαιρος λύπη γεννήσει τὴν ἐπὶ τῇ ἀναστάσει μου διηνεκῆ χαράν.

Verf. 22. Καὶ — ὑμῶν. Οὐδεὶς ἀφαιρεῖται ὑμῶν. οὐκέτι γὰρ ἀποθνήσκω μαι, οὐκέτι με ζημιωθήσεσθε. πῶς δὲ περὶ τῆς γυναικὸς εἶπεν, ὅτι χαίρει, διότι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον; οὐ διὰ τοῦτο γὰρ χαίρει, ἀλλὰ διότι ἐγεννήθη αὐτῇ παιδίον· τοῦτο εἶπε, διότι κατ' ἀρχὰς ὁ θεὸς εἴρηκεν· αὐξάνεσθε q) καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν. καὶ προηγουμένως μὲν, εἰς τὸν κόσμον γεννᾶται ὁ ἄνθρωπος, ἑπομένως δὲ καὶ εἰς θεραπείαν τῶν γεννητόρων. q) Genef. 1, 28.

Ἅμα δὲ καί τι μυστικὸν ἐντεῦθεν [r]) ὑποδηλοῦται, ὅτι ὡς διὰ μήτρας τινὸς, διὰ τοῦ θανάτου,

Mm 3 τεχθεὶς

9) ὀδυνῶν. B.
r) ἐνταῦθα. A.

per quendam vterum, et solutis mortis doloribus natus sit nouus homo in mundum nouum: primogenitus ex mortuis in regnum coelorum.

Vers. 23. *Et — non quicquam.* In illo die, hoc est, quum venerit paracletus, non rogabitis me quicquam eorum, quae nunc rogatis, puta, Quo abis? et, Ostende nobis patrem ac similia: de omnibus a paracleto edocti.

Vel etiam aliter. Non necesse habetis mecum versari corporaliter: nam hoc significat, Me non rogabitis quicquam, sed tantum nomen meum nominantes, cuncta accipietis, quae petieritis: subiungit enim:

Vers. 23. *Amen — vobis.* Cuius autem nomen tanta potest, certissime Deus est. Ideo etiam David variis in locis illud laudans, nunc quidem ait, Quam admirabile est nomen tuum in vniuersa terra: nunc vero, Exaltatum est nomen eius solius.

Aduertendum est autem, quod interdum quidem dationem eorum, quae petuntur, patri attribuit: quandoque vero sibi ipsi, sicut et alia sane, propter aequalitatem, eandemque potentiam: hic autem et patri et sibiipsi. Nam ait, In nomine meo. Et pari modo dicendum, vbicunque hoc adiunctum est.

† Quaecunque conferunt et vtilia sunt.

Vers. 24. *Hactenus — meo.* Atqui quando eos misit data potestate aduersus spiritus immundos, vt eiicerent illos, et curarent omnem morbum, omnemque languorem, in nomine ipsius opera-

²) Inclusa absunt. A.

³) Intell. ἑαυτῷ καὶ τῷ πατρὶ ἀνατίθησι.

⁴) τὸ ἐν τῷ ὀνόματί μου. Sed Hentenius ita reddidit, ac si post καὶ inuenerit λεκτέον. Sed id fortasse perspicuitatis caussa de suo addidit.

πειχθεὶς ὁ χριςὸς, καὶ τὰς ὠδῖνας τȣ̃ θανάτου λύσας, ἐγεννήθη ἄνθρωπος καινὸς, εἰς τὸν κόσμον τὸν καινὸν, πρωτότοκος ἐκ νεκρῶν, εἰς τὴν βασιλείαν τῶν ȣ̓ρανῶν.

Verſ. 23. Καὶ — ȣ̓δέν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τȣτέςιν, ἐλθόντος τȣ̃ παρακλήτου, οὐκ ἐρωτήσετέ με ȣ̓δὲν, ὧν ἐρωτᾶτε νῦν, οἷον ποῦ ὑπάγεις, καὶ, δεῖξον ὑμῖν τὸν πατέρα, καὶ τὰ τοιαῦτα, διδασκόμενοι πάντα ὑπὸ τȣ̃ παρακλήτου.

[Ἢ*) καὶ ἑτέρως, οὐχ ἕξετε χρείαν ἐντυχεῖν μοιτωματικῶς· τοῦτο γὰρ δηλοῖ τὸ, ἐμὲ οὐκ ἐρωτήσετε ȣ̓δέν· ἀλλὰ μόνον τὸ ὄνομά μου ὀνομάζοντες, πάντα λήψεσθε τὰ ζητούμενα. ἐπάγει γάρ.]

Verſ. 23. Ἀμὴν — ὑμῖν. Οὗ δὲ τὸ ὄνομα τοσαῦτα δύναται, θεὸς ἀναντιῤῥήτως ἐςί. διὸ καὶ ὁ δαυὶδ διαφόρως, ὑμνῶν αὐτὸ φησιν, νῦν μέν· ὡς r) θαυμαςὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· νῦν δέ· ὅτι s) ὑψώθη τὸ ὄνομα αὐτȣ̃ μόνου.

r) Pſ. 8, 2.
s) Pſ. 148, 13

Παρατηρητέον δὲ, ὅτι ποτὲ μὲν τῷ πατρὶ τὴν δόσιν τῶν αἰτηθέντων ἀνατίθησι· ποτὲ δὲ ἑαυτῷ, ὥσπερ δὴ καὶ τἄλλα, διὰ τὸ ἴσον καὶ ὁμοσθενές· ἐνταῦθα δὲ καὶ τῷ πατρὶ καὶ ἑαυτῷ. φησὶ γὰρ, ὅτι ἐν τῷ ὀνόματί μου· ὁμοίως δὲ καὶ, 3) ἔνθα ἂν τȣ̃το 4) συνέζευκται.

[Ὅσα 5) ἂν αἰτήσητε· ὅσα συμφέροντα καὶ ὠφέλιμα.]

Verſ. 24. Ἕως ἄρτι — μου. Καὶ μήποτε ἀπέςειλεν αὐτοὺς, δοὺς t) ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥςε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἐν τῷ

t) Matth. 10, 1.

*) Haec vterque Codex in marg. habet.

operabantur. Verum tunc non petebant patrem in nomine ipsius.

Verf. 24. *Petite — impletum.* Vt postquam cognoueritis, quanta possit nomen meum, gaudium habeatis perfectum, siue multum, aut copiosius.

Verf. 25. *Haec — vobis.* Hoc est, obumbrata, et non omnino manifesta, quia adhuc metu et moerore affecti, his, quae dicuntur non potestis aduertere, aut amplius percipere.

Verf. 25. *Sed — vobis.* Instat tempus, resurrectionis meae videlicet, quando aperte ac manifeste docebo vos, iam in laetitia constitutos. Siquidem post resurrectionem per quadraginta dies apparebat eis, et docebat de regno Dei, sicut narrat liber Actorum.

Verf. 26. *In — petetis.* Diem et horam solet frequenter ipsum tempus appellare. Saepius autem de petitione in nomine suo dicit: certiores eos reddens de ipsius virtute et fiduciam iniiciens.

Verf. 26. *Et — vobis* Et non dicam vobis tunc, Precabor patrem pro vobis.

Verf. 27. *Ipse — exiui.* Nam ipse pater tunc vos amabit, sicut ego, permanentes videlicet in amore ac fide erga me.

Verf. 28. *Exiui — patrem,* Verba haec, Exiui et Veni, Relinquo et Vado, ac similia, demittendo se dicit, propter infirmitatem intelligentiae discipulorum, veluti frequenter diximus. Nam tanquam Deus et in patre erat et in mundo: siquidem res loco non circumscripta est diuinitas.

Itaque

τῷ ὀνόματι αὐτᾶ ἐνήργουν· ἀλλὰ τότε ἃ τὸν πατέρα ᾐτοῦντο ἐν τῷ ὀνόματι αὐτᾶ.

Verſ. 24. Αἰτεῖτε — πεπληρωμένη. Ἵνα γνόντες, ὅσα τὸ ὄνομά μου δύναται, χαρὰν ἔχητε τελείαν, ἤτοι πολλὴν, ἢ πλείονα.

Verſ. 25. Ταῦτα — ὑμῖν. Τουτέςι, συνεσκιασμένα, καὶ ὰ πάντη σαφῆ, διότι, δεδοικότες ἔτι καὶ ἀθυμᾶντες, ὰ δύναθε προσέχειν τοῖς λεγομένοις, ἢ πλεῖον ἐνωτίσαθαι.

Verſ. 25. Ἀλλ' — ὑμῖν. Ἔρχεται καιρὸς, ὁ τῆς ἀναςάσεώς μου δηλαδὴ, ὅτε ἀπαραχαλύπτως καὶ σαφῶς διδάξω ὑμᾶς ἐν εὐθυμίᾳ γενομένους ἤδη. καὶ γὰρ μετὰ τὴν ἀνάςασιν ἐπὶ [v] τεσσαράκοντα ἡμέρας ἦν ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τᾶ θεᾶ, καθά φησιν ἡ βίβλος τῶν πράξεων. v) Act. 1, 3.

Verſ. 26. Ἐν — αἰτήσεσθε. Ἡμέραν, τὸν καιρὸν: πολλάκις εἴωθε λέγειν. συνεχῶς δὲ περὶ τῆς ἐν τῷ ὀνόματι αὐτᾶ αἰτήσεως λέγει, πληροφορῶν αὐτοὺς περὶ τῆς δυνάμεως αὐτᾶ, καὶ θάρσος ἐμβάλλων.

Verſ. 26. Καὶ — ὑμῶν. Καὶ οὐ λέγω ὑμῖν τότε, ὅτι ἐγὼ παρακαλέσω τὸν πατέρα περὶ ὑμῶν.

Verſ. 27. Αὐτὸς — ἐξῆλθον. Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς τότε, ὡς ἐγὼ, ἐμμένοντας τῇ πρὸς ἐμὲ φιλίᾳ καὶ πίςει.

Verſ. 28. Ἐξῆλθον — πατέρα. Τὸ ἐξῆλθον, καὶ ἐλήλυθα, καὶ ἀφίημι, καὶ πορεύομαι, καὶ τὰ τοιαῦτα συγκαταβατικῶς λέγει, διὰ τὴν ἀθένειαν τῆς διανοίας τῶν μαθητῶν, ὡς διαφόρως εἰρήκαμεν. ὡς γὰρ θεὸς, καὶ ἐν τῷ πατρὶ ἦν, καὶ ἐν τῷ κόσμῳ: ἀπερίγραπτον γὰρ ἡ θεότης.

Itaque exiui a patre, significat esse eum de substantia patris, siue legitimum patris filium. Veni in mundum, significatiuum est incarnationis ipsius: et similiter quod ait, Relinquo mundum. At illud, Vado ad patrem, demonstrat restitutionem prioris potentiae ac gloriae ipsius.

Vers. 29. *Dicunt — dicis.* Nunc manifeste loqueris, et nihil obtectum dicis: intelleximus enim, quae nunc dixisti.

Vers. 30. *Nunc — interroget.* Hoc dicunt, consolatione non modica accepta ab his, quos loquutus est, sermonibus, vtpote intelligentes, quod rursum resurrecturus esset, rursumque eos docturus: et quod pater ipsos amaret. Illud siquidem auxilii spem praebebat, hoc autem rectae fidei certitudinem: nam tunc potissimum haec intellexerunt. Aiunt ergo, Nunc scimus, quod scis omnia, etiam hominum arcana: nec opus est tibi, vt quis te interroget de his, quae discere voluerit, sed praeueniens dissoluis, quod quaerit. Nam et nobis conquirentibus, quid esset, Pusillo tempore non videbitis me, et rursum pusillo tempore, et videbitis me, et caetera: non interrogatus interpretatus es ea, et quiescere fecisti mentem nostram.

Vers. 30. *Per hoc* — v. 31. *creditis?* Ipsi siquidem tanquam gratiam aliquam illi praestantes dixerunt, Ex hoc perfecte credimus, quod a Deo missus sis, quod filius Dei sis: ipse vero exprobrans eis imperfectam adhuc fidem, ait: Modo perfecte creditis. Necdum adhuc: arguet enim ac conuincet vos tempus quod iam instat.

Vers. 32. *Ecce — relinquatis.* Tempus dicit impetus eorum, qui cum proditore venturi erant,

*) Inclusa absunt. A.

[Τὸ μὲν) ἐκ ἐξῆλθον παρὰ τοῦ πατρὸς, δηλοῖ τὸ εἶναι αὐτὸν ἐκ τῆς ἐσίας τοῦ πατρὸς, ἤγουν υἱὸν γνήσιον τοῦ πατρός· τὸ δὲ ἐλήλυθα εἰς τὸν κόσμον, σημαντικὸν τῆς ἐνανθρωπήσεως αὐτοῦ· ὁμοίως δὲ καὶ τὸ ἀφίημι τὸν κόσμον· τὸ δὲ πορεύομαι πρὸς τὸν πατέρα, παρίστησι τὴν ἀποκατάστασιν τῆς προτέρας ἐξουσίας καὶ δόξης αὐτοῦ.]

Vers. 29. Λέγουσι — λέγεις. Νῦν φανερῶς λαλεῖς, καὶ ἐδὲν συνεσκιασμένον λέγεις, ἔγνωμεν γὰρ, ἃ εἶπες νῦν.

Vers. 30. Νῦν — ἐρωτᾷ. Τοῦτο λέγουσι παρηγορηθέντες μικρῶς ἀπὸ τῶν ῥηθέντων λόγων, ὡς μαθόντες, ὅτι ἀναστήσεται, καὶ πάλιν διδάξει αὐτοὺς, καὶ ὅτι ὁ πατὴρ φιλεῖ αὐτούς. Τὸ μὲν γὰρ ἐλπίδα βοηθείας παρεῖχε, τὸ δὲ πληροφορίαν ὀρθῆς πίστεως. Τότε γὰρ ταῦτα μάλιστα νενοήκασι. Φασὶν οὖν, ὅτι νῦν οἴδαμεν, ὅτι οἶδας πάντα, καὶ τὰ ἀπόῤῥητα τῶν ἀνθρώπων, καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε ἐρωτᾷ, περὶ ὧν βέλεται μαθεῖν, ἀλλὰ προφθάνων λύεις τὸ ζητούμενον. καὶ ἡμῶν γὰρ συζητούντων, τί ἐστι τὸ μικρὸν, καὶ ἐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με, καὶ τὰ ἑξῆς· μὴ ἐρωτηθεὶς ἡρμήνευσας αὐτὰ, καὶ ἀνέπαυσας ἡμῶν τὴν διάνοιαν.

Vers. 30. Ἐν τούτῳ — v. 31. πιστεύετε; Αὐτοὶ μὲν, ὥσπερ χάριν τινὰ παρέχοντες αὐτῷ, εἶπον, ὅτι ἀπὸ τούτε πιστεύομεν ἐντελῶς, ὅτι ἐκ τοῦ θεοῦ ἀπεστάλης, ὅτι υἱὸς εἶ τοῦ θεοῦ· αὐτὸς δὲ ὀνειδίζων αὐτοῖς ἀτελῆ ἔτι πίστιν, φησὶν, ἄρτι πιστεύετε ἐντελῶς; οὐδ᾽ ἄρτι. ἐλέγξει γὰρ ὑμᾶς ὁ ἐφεστὼς ἤδη καιρός.

Vers. 32. Ἰδοὺ — ἀφῆτε. Τὸν καιρὸν λέγει τῆς ἐφόδου τῶν ἀμφὶ τὸν προδότην, ὅτε οἱ μαθη-

erant, quum omnes discipuli eius relicto eo fugerunt, veluti scripsit Matthaeus: tunc enim timor imperfectam eorum fidem ostendit, quum ad modicum tempus offendiculum passi sint de passione ipsius.

Vers. 32. *Et — est.* Semper mecum versatur, vtpote inseparabilis.

Vers. 33. *Haec — habeatis.* Haec loquutus sum vobis, non perfectam vobis tradens notitiam, sed ne propter cogitationes patiamini in me offendiculum, aut turbemini, quum comprehendar, ligabor et abducar, aliaque humano more patiar.

Vers. 33. *In — habebitis.* Non solum, quum patiar, verum etiam, quam diu in mundo hoc fueritis: nam praesens vita stadium est ac locus exercitationis athletarum Dei, siue exploratio eorum, qui me diligunt. Praedictum est enim, quod arcta est porta et stricta via, quae ducit ad vitam. Ne autem deiiciantur audientes, quod tota vita passuri sint afflictiones, confortat eos dicens.

Vers. 33. *Sed — mundum.* Hoc est malitiam ac malum illum, qui huius pater est. Nam praedictum est, quod princeps mundi huius iudicatus est, siue deuictus est. Ne ergo timueritis: consequens enim est, vincente praeceptore, etiam discipulos, qui eum imitantur, vicisse. Qui ergo malis afficiunt et occidunt corpus, superabuntur ab anima vestra, atque id, quod capi potest, tollent: ab ea vero, quae capi nequit, manifeste deuincentur.

Cap.

7) Interpres intellexit χρόνον. Alii tamen in mentem venire posse aut οὐ μικρὸν, aut μετὰ μικρὸν, nimirum χρόνον.

μαθηταὶ αὐτοῦ x) πάντες ἀφέντες αὐτὸν ἔφυγον, x) Matt. 26, 56.
ὡς ἔγραψεν ὁ ματθαῖος. τότε γὰρ ὁ φόβος ἀτελῆ τὴν πίστιν αὐτῶν ἤλεγξε, σκανδαλισθέντων μικρὸν 7) ἐπὶ τῷ πάθει αὐτοῦ.

Vers. 32. Καὶ — ἐστι. Συνὼν μοι ἀεὶ, καὶ ἀχώριστος.

Vers. 33. Ταῦτα — ἔχητε. Ταῦτα λελάληκα ὑμῖν, οὐ τελείαν γνῶσιν παραδιδοὺς ὑμῖν, ἀλλ' ἵνα ἐπ' ἐμοὶ μὴ στασιάζητε τοῖς λογισμοῖς, μηδὲ ταράσσησθε, ὅτε συλλαμβάνομαι καὶ δεσμοῦμαι καὶ ἀπάγομαι καὶ τἄλλα πάσχω ἀνθρωποπρεπῶς.

Vers. 33. Ἐν — ἕξετε. Οὐχ ὅτε πάσχω μόνον, ἀλλ' ἕως ἂν ἐν τῷ κόσμῳ τούτῳ ἐστέ. στάδιον γὰρ ὁ παρὼν βίος, καὶ γυμναστήριον τῶν ἀθλητῶν τοῦ θεοῦ, καὶ δοκίμιον τῶν ἀγαπώντων με. [προείρηται 8) γάρ· ὅτι 9) στενὴ y) ἡ πύλη καὶ y) Matth. 7, 14.
τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. ἵνα δὲ μὴ καταπέσωσιν, ἀκούσαντες, ὅτι διὰ βίου παντὸς θλιβήσονται, παραθαῤῥύνει αὐτούς.]

Vers. 33. Ἀλλὰ — κόσμον. Τὴν πονηρίαν, καὶ τὸν πονηρὸν, τὸν ταύτης πατέρα. προείρηται γάρ· ὅτι z) ὁ ἄρχων τοῦ κόσμου τούτου z) Io. 16, 11.
κέκριται, ἤτοι, καταπεπάλαισται. μὴ φοβῆσθε οὖν. τοῦ διδασκάλου γὰρ νικήσαντος, ἀκόλουθον καὶ τοὺς μαθητὰς νικῆσαι, μιμουμένους αὐτόν. οἱ γὰρ κακοῦντες καὶ ἀποκτείνοντες τὸ σῶμα, ἡττηθήσονται τῆς ψυχῆς ὑμῶν, καὶ τὸ μὲν ληπτὸν αἱρήσουσιν, ὑπὸ δὲ τοῦ ἀλήπτου περιφανῶς καταπαλαισθήσονται.

Cap.

8) Inclusa omittit. A.
9) Ex hoc loco nemo colligat, Euthymium apud Matthaeum probare ὅτι, pro τί. Hoc enim ὅτι centies in hoc libro nihil nisi locum litterarum sacrarum ac vocabula aliquo modo laudata significat.

Cap. XVII. v. 1. *Haec — coelum.*

Post admonitionem, ad orationem, tanquam homo, conuertitur, instruens homines, vt in tentationibus ad Deum respiciant: omnibusque relictis ad eum confugiant, et ab eo petant auxilium. Hic itaque sursum eleuat oculos, docens intentionem ac indistractionem in orationibus. Alibi vero procidit in faciem, statuens deiectionem ac cordis contritionem tempore orationis. Venit enim non tantum, vt seipsum ostenderet, sed et virtutem traderet: non verbis solum, sed et operibus. Nam hoc veri praeceptoris est.

Vers. 1. *Et — hora.* Passionis, aut mortis, de qua dixerat, Tempus meum nondum adest: tempus, quod Deus, qui assumsit, homini assumto definiuit.

Vers. 1. *Glorifica filium tuum.* Afflictionibus, quas pro mundo perpetiar. Nam mihi, qui dominus sum, gloria est pati pro seruis, vt hinc hominibus innotescat, quo affectus sim hominum amore: vt accurrant omnes gentes, et me Deum esse cognoscant. Ait enim Paulus, quod sic dilexit nos, vt traderet seipsum pro nobis.

Vel, Glorifica me, edens tempore passionis prodigia ac terribilia, admirandaque signa: et ex his ostendens, quod naturalis sim filius tuus. Haec quoque dicta sunt, vbi habetur, Nunc glorificatus est filius hominis.

Vers. 1. *Vt — te.* Per suam gloriam: nam credentibus in me gentibus, et tu glorificaberis. Siquidem credent in te et glorificabunt te, qui proprio

[1]) προσευχῆς. A.

[2]) Omissis, quae hic inclusa sunt, post προσευχῆς, legit, τὸ δὲ ἐλήλυθεν ἡ ὥρα. A.

Cap. XVII. v. 1. Ταῦτα — οὐρανόν.

Μετὰ τὴν παραίνεσιν, ἐπὶ εὐχὴν τρέπεται, ὡς ἄνθρωπος, παιδεύων τοὺς ἀνθρώπους, ἐν τοῖς πειρασμοῖς πρὸς τὸν θεὸν βλέπειν, καὶ πάντα ἀφέντας, εἰς αὐτὸν καταφεύγειν, καὶ παρ' αὐτοῦ αἰτεῖσθαι βοήθειαν. Ἐνταῦθα μὲν οὖν ἄνω αἴρει τοὺς ὀφθαλμοὺς, διδάσκων τὸ ἐκτενὲς καὶ ἀπερίσπαστον ἐν ταῖς [1]) εὐχαῖς· [ἀλλαχοῦ δὲ, [2]) πίπτει [a]) ἐπὶ πρόσωπον, νομοθετῶν ταπείνωσιν a) Matt. 26, 39. καὶ συντριβὴν καρδίας ἐν ταῖς εὐχαῖς. ἦλθε γὰρ, οὐχ ἑαυτὸν δεῖξαι μόνον, ἀλλὰ καὶ ἀρετὴν παραδοῦναι, μὴ μόνον διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων. τοῦτο γὰρ διδασκάλου ἀληθοῦς.

Vers. 1. Καὶ — ὥρα.] Ἡ τοῦ πάθους, ἢ τοῦ θανάτου, περὶ ἧς ἔλεγεν· ὅτι ὁ [b]) καιρὸς b) Io. 7, 6. ὁ ἐμὸς οὔπω πάρεστιν· [ὁ [3]) καιρὸς, ὃν ὁ προσλαβὼν θεὸς ὥρισε τῷ προσληφθέντι ἀνθρώπῳ.]

Vers. 1. Δόξασόν σου τὸν υἱόν. Τοῖς ὑπὲρ τοῦ κόσμου πάθεσι. δόξα γὰρ ἐμοὶ τῷ δεσπότῃ πάσχειν ὑπὲρ τῶν δούλων μου, καὶ γνωρίζειν ἐντεῦθεν τοῖς ἀνθρώποις, οἵαν ἔχω φιλανθρωπίαν, ὥστε προσδραμεῖν πάντα τὰ ἔθνη, καὶ γνῶναί με θεόν. [φησὶ [4]) γὰρ ὁ Παῦλος· ὅτι [c]) οὕτως ἠγάπησεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν. c) Gal. 2, 20. Ephes. 5, 2. Ἢ δόξασόν με, τερατουργῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὰ φοβερὰ καὶ ἐξαίσια σημεῖα, καὶ δεικνύων ἐκ τούτων, ὅτι γνήσιος υἱός σου εἰμι. ταῦτα δὲ εἴρηται καὶ ἔνθα κεῖται τό· νῦν [d]) ἐδοξάσθη ὁ d) Io. 13, 31. υἱὸς τοῦ ἀνθρώπου.]

Vers. 1. Ἵνα — σε. Διὰ τῆς ἑαυτοῦ δόξης. τῶν γὰρ ἐθνῶν πιστευόντων εἰς ἐμὲ, καὶ σὺ δοξασθήσῃ. καὶ εἰς σὲ γὰρ πιστεύσουσι, καὶ δοξά-

3) Inclusa omittit. A.
4) Inclusa absunt. A.

proprio filio tuo pro eis non peperceris: meaque gloria erit et tua. Quaerens ergo glorificari, ostendit, quod ad crucem sponte veniat. Deinde etiam causam dicit, propter quam glorificari quaerat.

Vers. 2. *Sicut — carnis.* Sicut, pro Quia. Ait ergo, Glorifica filium tuum, quia dedisti ei potestatem omnium gentium, vt ab eis glorificetur. Scriptum est enim, Et dabo tibi gentes haereditatem tuam, et possessionem tuam terminos terrae. Glorifica filium tuum, quia complacitum est tibi, notum eum fieri ac glorificari vniuerso orbi. Quaerere autem glorificari ac dicere Dedisti et similia, demittendo se dicit ac dispensatorie, sicuti variis in locis disputauimus. Aut etiam tanquam homo hoc ait.

Vers. 2. *Vt — aeternam.* Quantum in se est. Nam licet quidam non crediderint, id tamen illorum culpa est: siquidem patri complacitum est, vt filius haberet omnium potestatem per fidem, et omnes sub iugum praeceptorum eius fierent. Filius quoque vniuersis per Apostolos dedit euangelium, Deique notitiam, quae est vita aeterna, vtpote vitam concilians aeternam: qui autem non sunt subjecti, neque illud susceperunt, ipsi sibi perditionis causa sunt: neminem enim cogit inuitum. Nam virtus voluntaria est.

Vers. 3. *Haec — Christum.* Et vere vita aeterna est Dei cognitio, fide ac operibus coniunctis. Nam fides, inquit, sine operibus mortua est. Vt cognoscant Deum, te solum verum Deum et me.

Solum

5) Inclusa desunt. A.
6) Inclusa omittit. A.

δοξάσουσί σε, ὡς τοῦ ἰδίου σου υἱοῦ μὴ φεισάμενον ὑπὲρ αὐτῶν, καὶ ἡ ἐμὴ δόξα ἔσται καὶ σή. [ζητῶν[5]) οὖν, ὡς δεδήλωται, δοξασθῆναι, δείκνυσιν, ὅτι ἐπὶ τὸν σταυρὸν ἑκουσίως ἔρχεται. εἶτα λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ζητεῖ δοξασθῆναι.]

Verſ. 2. Καθὼς — σαρκός. Καθὼς, ἀντὶ τοῦ, διότι. φησὶν οὖν δόξασόν σου τὸν υἱὸν, διότι ἔδωκας αὐτῷ ἐξουσίαν πάντων τῶν ἐθνῶν, ὥστε δοξάζεσθαι παρ' αὐτῶν. γέγραπται γὰρ καὶ e) δώσω σοὶ ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. [δόξασόν σου τὸν[6]) υἱὸν, διότι εὐδόκησας γνωρισθῆναι αὐτὸν καὶ δοξασθῆναι πάσῃ τῇ οἰκουμένῃ. καὶ τὸ ζητεῖν δὲ δοξασθῆναι, καὶ τὸ λέγειν, ὅτι ἔδωκας, καὶ τὰ τοιαῦτα συγκαταβατικῶς λέγει καὶ οἰκονομικῶς, ὡς διαφόρως προδιεστειλάμεθα, ἢ καὶ ὡς ἄνθρωπος.] e) Pſ. 2, 8.

Verſ. 2. Ἵνα — αἰώνιον. Ὅσον τὸ ἐπ' αὐτῷ. εἰ δέ τινες οὔτε ἐπίστευσαν, οὔτε ἔλαβον ζωὴν αἰώνιον, τῶν τοιούτων ἐστὶ τὸ ἔγκλημα. ὁ μὲν γὰρ πατὴρ εὐδόκησεν, ἵνα πάντων ὁ υἱὸς ἐξουσιάσῃ διὰ τῆς πίστεως, καὶ πάντες ὑπὸ τὸν ζυγὸν τῶν ἐντολῶν αὐτοῦ γένωνται. καὶ ὁ υἱὸς δὲ πᾶσι διὰ τῶν ἀποστόλων δέδωκε τὸ εὐαγγέλιον, τὴν θεογνωσίαν, ἥτις ἐστὶ ζωὴ αἰώνιος, ὡς πρόξενος ζωῆς αἰωνίου. [οἱ δὲ[7]) μὴ ὑποταγέντες, μηδὲ παραδεξάμενοι, αὐτοὶ τῆς ἑαυτῶν ἀπωλείας αἴτιοι. οὐδένα γὰρ ἄκοντα καταναγκάζει. αἱρετὴ γὰρ ἡ ἀρετή.]

Verſ. 3. Αὕτη — χριστόν. Καὶ ὄντως αἰώνιος ζωὴ, ἡ θεογνωσία, τῇ πίστει καὶ τῶν ἔργων δηλονότι συνεζευγμένων. ἡ f) πίστις γάρ, φησι, χωρὶς τῶν ἔργων νεκρά ἐστιν. ἵνα γινώσκωσι θεὸν, σὲ, τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ἐμέ. f) Iac. 2, 20.

Μόνον

7) Incluſa omittit. A.

Solum autem verum Deum dixit patrem, ad differentiam falso dictorum deorum: non verorum quidem, sed tamen dictorum. Non autem seipsum exclusit, quin verus esset Deus. Nam quonam pacto id facere potuit, quod se veritatem vocat dicens, Ego sum veritas: et se patri praedicat aequalem, cum multis aliis in locis, tum vbi ait, Ego et pater vnum sumus? Non hoc ergo nunc etiam de se ipso dixit: vt quod ex his quae frequenter docuit notum est. Siquidem neque spiritus sancti hic meminit: vtpote de quo significauerat in his, quae docuerat, nempe quum esset ille paracletus, qui duceret eos in omnem veritatem, sicut praedictum est.

Vers. 4. *Ego — terram.* Super terram dixit. Nam in coelo glorificatus fuerat, ex natura habens gloriam et ab angelis adoratus. Non ergo de illa loquitur gloria, quam ex substantia sua haereditario iure possidet: nam illam, etsi nemo eum glorificet, plenam habet: sed hanc dicit, quae ab hominum cultu resultat. Nempe tale est et illud, Glorifica filium tuum. Et vt scias, quod de hac gloria loquatur, subiungit:

Vers. 4. *Opus — facerem.* Praedicationem euangelii. Atqui res adhuc in principiis erat: quomodo ergo dicit, Consummaui? Quia quicquid suarum erat partium iam impleuerat.

Aut futurum dicit, tanquam praeteritum.

Vel hoc dixit, quia iam radicem honorum iecerat, quae omnino fructum erat productura.

Ipse ergo patrem glorificauit in terra, vtpote data iam de eo notitia vniuerso orbi per euangelium, quod

8) Inclusa absunt. A.

9) Nescio, vtrum Hentenius legerit τῇ τε φύσει, an ἔκ τε φύσεως. Coniici etiam possit ἔτι φύσει.

Μόνον δὲ ἀληθινὸν θεὸν εἶπε τὸν πατέρα, πρὸς διαςολὴν τῶν ψευδωνύμων θεῶν, τῶν οὐκ ὄντων μὲν, λεγομένων δέ. ἐ μὴν ἑαυτὸν ἐξέβαλε τῦ εἶναι ἀληθινὸν θεόν. πῶς γάρ; ὅςγε ἀλήθειαν ἑαυτὸν καλεῖ, λέγων· ἐγώ εἰμι[g]) ἡ ἀλήθεια· g) Io. 14, 6.
καὶ ἴσον ἑαυτὸν τῷ πατρὶ κηρύττει, [ἐν ἄλλοις τε[8]) πολλοῖς, καὶ ἐν οἷς φησίν· ἐγὼ[h]) καὶ ὁ πα- h) Io. 10, 30.
τὴρ ἕν ἐσμεν. οὐκ εἶπεν οὖν τῦτο καὶ περὶ ἑαυτοῦ νῦν, ὡς ἤδη γνώριμον, ἀφ' ὧν πολλάκις ἐδίδαξε. καὶ γὰρ ἐδὲ τῦ ἁγίου πνεύματος ἐμνημόνευσεν ἐνταῦθα, ὡς καὶ περὶ τύτυ δηλώσας, ἀφ' ὧν ἐδίδαξε, καὶ ὡς αὐτοῦ τοῦ παρακλήτυ ὁδηγήσοντος αὐτοὺς εἰς πᾶσαν τὴν ἀλήθειαν, καθὼς προείρηται.]

Verſ. 4. Ἐγώ — γῆς. Ἐπὶ τῆς γῆς εἶπε, διότι ἐν τῷ ἐρανῷ ἐδεδόξαςο, ἔν τε[9]) φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν ἀγγέλων προσκυνούμενος. ἐ τοίνυν περὶ ἐκείνης τῆς δόξης λέγει, τῆς τῇ ἐσίᾳ αὐτῦ συγκεκληρωμένης· ἐκείνην γὰρ, καὶ εἰ μηδεὶς ἐδόξαζεν αὐτὸν, ἔχει πεπληρωμένην· ἀλλὰ ταύτην φησὶ, τὴν ἀπὸ τῆς λατρείας τῶν ἀνθρώπων γινομένην. [οὐκοῦν[1]) τοιοῦτόν ἐςι καὶ τό· δόξασόν σου τὸν υἱόν· καὶ ἵνα μάθῃς, ὅτι περὶ ταύτης τῆς δόξης φησὶν, ἐπήγαγε.]

Verſ. 4. Τὸ ἔργον — ποιήσω. Τὸ κήρυγμα τῦ εὐαγγελίου. καὶ μὴν ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε, πῶς οὖν λέγει, ἐτελείωσα; ὅτι πᾶν τὸ ἑαυτῦ πεποίηκεν ἤδη.

Ἢ τὸ ἐσόμενον, ὡς γεγενημένον, λέγει.

Ἢ τῦτο εἶπεν, ὡς τὴν ῥίζαν τῶν ἀγαθῶν καταβαλλόμενος, ἥτις πάντως ἔμελλε καρποφορῆσαι.

Αὐτὸς οὖν τὸν πατέρα ἐδόξασεν ἐπὶ τῆς γῆς, ὡς ἤδη γνωρίσας αὐτὸν πάσῃ τῇ οἰκουμένῃ, διὰ τοῦ

[1]) Incluſa abſunt. A.

quod per Apostolos in vniuerso mundo praedicandum erat. Nam in omnem, inquit, terram exiuit sonus eorum, et in fines orbis terrae verba eorum. Eum quoque glorificauit, omnia ei adscribendo, tam doctrinas, quam signa.

Vers. 5. *Et — te.* Ego quidem glorificaui te in terra, vt significatum est: tu vero glorifica me gloria diuinitatis, quam habui ante mundi constitutionem. Glorifica me hominem apud teipsum, regali solio dignum apud te iudicans: de quo ait propheta, Dixit dominus domino meo, hoc est, pater filio: sede a dextris meis. Glorifica me gloria, quam habui, vt Deus, priusquam hic mundus esset, apud tuam potestatem: priusquam hic mundus fieret: id est, ante omnia et semper. Quod autem dicitur, Et nunc, hoc est, deinceps.

Et nos ergo hac fruemur gloria, si eum fuerimus imitati. Ait enim Paulus, Si compatimur, vt et conglorificemur. Omnino sane innumeris digni sunt lachrymis, qui quum proposita sit huiusmodi gloria, sua segnitie ab ea exiderint, et more insanientium ac dementium sibiipsis insidias parauerint. Nam etsi nullum esset supplicium, miserrimi tamen iudicarentur: qui quum sibi paratum fuisset, vt cum filio Dei conregnarent et conglorificarentur: ipsi sese talibus priuassent bonis. Non sunt enim condignae afflictiones huius temporis ad futuram gloriam, quae manifestabitur erga nos.

Vers. 6. *Manifestaui — hominibus.* Postquam dixit, Opus consummaui, explanat nunc sermonem. Atqui Iudaeis manifestatum erat nomen eius: nouerant enim, quod Deus esset, sed hoc

2) Inclusa absunt. A.

τοῦ εὐαγγελίου, ὃ ἔμελλε κηρυχθῆναι ἐν ὅλῳ τῷ κόσμῳ διὰ τῶν ἀποςόλων. εἰς πᾶσαν[i]) γάρ, φησι, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἐδόξασε δὲ αὐτὸν, καὶ ὡς τὰ πάντα αὐτῷ ἐπιγραφόμενος, καὶ τὰς διδασκαλίας, καὶ τὰ σημεῖα.

i) Rom. 10, 18.

Verſ. 5. Καὶ — σοί. Ἐγὼ μὲν ἐδόξασά σε, ἐπὶ τῆς γῆς, ὡς δεδήλωται· σὺ δὲ δόξασόν με παρὰ σεαυτῷ τῇ δόξῃ τῆς θεότητος, ᾗ εἶχον πρὸ τοῦ κόσμου. δόξασόν με, τὸν ἄνθρωπον, παρὰ σεαυτῷ, τῆς παρὰ σοὶ βασιλικῆς καθέδρας ἀξιώσας, περὶ οὗ φησιν ὁ προφήτης· εἶπεν[k]) ὁ κύριος τῷ κυρίῳ μου, τουτέςιν ὁ πατὴρ τῷ υἱῷ, κάθου ἐκ δεξιῶν μου· δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον ὡς θεὸς, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ τῇ σῇ ἐξουσίᾳ· πρὸ τοῦ τὸν κόσμον γενέσθαι, τουτέςι, πρὸ πάντων, καὶ ἀεί. [τὸ[2]) δὲ, καὶ νῦν, ἀντὶ τοῦ, λοιπόν.

k) Pſ. 109, 1.

Καὶ ἡμεῖς τοίνυν ἀπολαύσομεν ταύτης τῆς δόξης, ἐὰν μιμησώμεθα αὐτόν. φησὶ γὰρ ὁ παῦλος· εἴπερ[l]) συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. μυρίων ἄρα δακρύων ἄξιοι πάντως οἱ, τοιαύτης προκειμένης δόξης, ἐκπίπτοντες αὐτῆς διὰ ῥαθυμίαν, καὶ δίκην μαινομένων καὶ ἀνοήτων ἐπιβουλεύοντες ἑαυτοῖς. καὶ εἰ μὴ κόλασις γὰρ ἦν, ἀθλιώτατοι οἱ, συμβασιλεῦσαι καὶ συνδοξασθῆναι τῷ υἱῷ τοῦ θεοῦ παρὸν, τηλικούτων ἀγαθῶν ἑαυτοὺς ἀποςεροῦντες. οὐκ ἄξια[m]) γάρ, φησι, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.]

l) Rom. 8, 17.

m) Rom. 8, 18.

Verſ. 6. Ἐφανέρωσα — ἀνθρώποις. Εἰπὼν, ὅτι τὸ ἔργον ἐτελείωσα, ἐπεξηγεῖται τὸν λόγον. καὶ μὴν τοῖς ἰουδαίοις πεφανερωμένον ἦν τὸ ὄνομα αὐτοῦ. ᾔδεισαν γὰρ, ὅτι θεός ἐςιν·

ἀλλὰ

hoc de aliis dicit gentibus, quibus id ignotum erat.

Aut nomen dicit paternum, quod pater fit filii naturalis. Nam quum id eos lateret, ab ipfo manifeftatum eft.

Verf. 6. *Quos — erant.* Tanquam Dei.

Verf. 6. *Et — dedifti.* Tanquam aequali. Eft autem de Apoftolis fermo: quo etiam hic oftendit, quod non fit Deo contrarius, quodque patris eft voluntas, vt credant in filium. Nam fi, vt quidam nugantur, quum patris erant, non erant filii, confequens eft, vt quum eos dederit filio, alienauerit eos: quod abfurdum eft. Dedifti, inquit, mihi: iuxta quem modum etiam prius dixerat, Nemo poteft venire ad me, nifi pater, qui mifit me, traxerit eum.

Sed quomodo dixit, Quos dedifti mihi de mundo, quum prius dixerit ad eos, De mundo non eftis? Ibi quidem malos appellauit mundum: hic vero fabricam ipfam mundialem.

Verf. 6. *Et — feruauerunt.* Voluntatem tuam compleuerunt, credendo in me.

Verf. 7. *Nunc — funt.* Nunc, poftquam videlicet didicerunt, cognouerunt, quod omnia, quae dedifti mihi, hoc eft, quaecunque dico ac doceo, abs te funt, tua funt praecepta, et nihil mihi proprium eft aut alienum a te. Deinde etiam dicit, vnde hoc cognouerunt.

Verf. 8. *Quia — mififti.* Hoc cognouerunt ex verbis, quae dedi eis. Siquidem aperte doce-

ἀλλὰ περὶ τῶν ἄλλων ἐθνῶν λέγει, οἷς ἄγνωστον τοῦτο ἦν.

Ἡ ὄνομα λέγει, τὸ πατρικὸν, ὅτι ἐστὶ πατὴρ υἱοῦ γνησίου. τοῦτο γὰρ ἀφανὲς αὐτοῖς ὂν παρ' αὐτοῦ ἐφανερώθη.

Verſ. 6. Οὓς — ἦσαν. Ὡς Θεοῦ.

Verſ. 6. Καὶ — δέδωκας. Ὡς ἴσα. περὶ τῶν ἀποστόλων δὲ ὁ λόγος. δείκνυσι δὲ κἀνταῦθα, ὅτι οὐκ ἔστιν ἀντίθεος, καὶ ὅτι βούλημά ἐστι τοῦ πατρὸς, τὸ πιστεύειν αὐτοὺς εἰς τὸν υἱόν· εἰ γὰρ, ὥς τινες ληροῦσιν, ὅτε ἦσαν τοῦ πατρὸς, οὐκ ἦσαν τοῦ υἱοῦ· λοιπὸν, δοὺς αὐτοὺς τῷ υἱῷ, ἐξέστη αὐτῶν, ὅπερ ἄτοπον. δέδωκας δέ μοι εἶπεν, καθ' ὃν εἴρηκε λόγον πρότερον· ὅτι οὐδεὶς[n]) δύναται ἐλθεῖν πρός ἐμε, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. n) Io. 6, 44.

Ἀλλὰ πῶς εἴρηκεν, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου; προλαβὼν γὰρ ἔφη πρὸς αὐτούς· ὅτι[o]) ἐκ τοῦ κόσμου οὐκ ἐστέ. κόσμον ἐκεῖ μὲν τοὺς πονηροὺς ὠνόμασεν, ἐνταῦθα δὲ λέγει τὴν κτίσιν ταύτην. o) Io. 15, 19.

Verſ. 6. Καὶ — τετηρήκασι. Τὸ θέλημά σου πεπληρώκασιν, ἐν τῷ πιστεῦσαι εἰς ἐμέ.

Verſ. 7. Νῦν — ἐστι. Νῦν, ἤτοι, μετὰ τὸ μαθεῖν, ἔγνωσαν, ὅτι πάντα,[3]) ἴσα δέδωκάς μοι, τουτέστιν, ὅσα λέγω καὶ διδάσκω, ἀπὸ σοῦ εἰσι, σά εἰσιν ἐντάλματα, καὶ οὐδὲν ἴδιον ἐμοὶ ἢ ἀλλότριόν σου. εἶτα λέγει, καὶ πόθεν τοῦτο ἔγνωσαν.

Verſ. 8. Ὅτι — ἀπέστειλας. Τοῦτο ἔγνωσαν, ἀπὸ τῶν ῥημάτων, ὧν δέδωκα αὐτοῖς.

3) καὶ ἃ pro ὅσα. B. Ἔγνωσαν autem, loco ἔγνωκαν verſu 7. cum Chryſoſtomo legit, qui verſ. 7. & 8. confudit.

docebam tua esse, quaecunque dicebam ac docebam. Et ipsi acceperunt, facile persuasi.

Haec autem et similia loquitur ad patrem, ostendens discipulis, quem erga illos haberet amorem. Nam qui non tantum sua tribuit, sed et alium ad hoc praecatur, vehementissimum ostendit desiderium.

Vers. 9. *Ego — rogo.* Pro eis te precor, tanquam homo. Nam et hic et in sequenti sententia capitur ἐρωτῶ pro obsecro.

Vers. 9. *Non — sunt.* Non pro mundo vniuerso precor, sed pro his, qui credunt in me. Nam qui in me non credunt, nolunt vt pro eis orem, Frequenter autem ponit verbum Dedisti, vt firmius discant, quod patris voluntas sit, vt credatur in filium. Verum quia, Dedisti, et Tui sunt, ac similia, insipientibus prauas generatura erant suspiciones, nempe quod maior et antiquior esset patris potentia: has soluit dicens:

Vers. 10. *Et — mea.* Vides honorum aequalitatem? nam hoc significat nunc ista conuersio. Quum enim dixit, Tui sunt, ostendit, quod etiam hi, qui sibi dati sunt, paternae sint potestatis, ne quis ergo potentiorem putaret patrem, addidit, Et mea omnia tua sunt, et tua mea sunt. Itaque etiam, antequam darentur, filii erant, et postquam dati sunt, patris permanserunt, hoc est, semper amborum, vtpote aequalium in honoribus et bonis. Eos ergo mihi dedisti, qui mei erant. Dedisti vero, dixi dispensatorie, vt cognoscant, quod non praeter voluntatem tuam hos attraxerim.

Vers. 10. *Et — eis.* Etiam potestatem habens in his, quae tua sunt, sicut in his, quae mea:

4) Inclusa omittit. A.

καὶ γὰρ διαῤῥήδην ἐδίδασκον, ὅτι σά εἰσιν, ὅσα λέγω καὶ διδάσκω, καὶ αὐτοὶ ἔλαβον εὐπειθῶς.

Ταῦτα δὲ, καὶ τὰ τοιαῦτα, διαλέγεται πρὸς τὸν πατέρα, δεικνύων τοῖς μαθηταῖς, οἷον ἔχει φίλτρον αὐτῶν. ὁ γὰρ μὴ μόνον τὰ παρ᾽ ἑαυτοῦ παρέχων, ἀλλὰ καὶ ἄλλον εἰς τοῦτο παρακαλῶν, πλείονα δεικνύει τὸν πόθον.

Verſ. 9. Ἐγὼ — ἐρωτῶ. Ὑπὲρ αὐτῶν παρακαλῶ σε, ὡς ἄνθρωπος.

Verſ. 9. Οὐ — εἰσιν. Οὐ περὶ τοῦ κόσμου παντὸς παρακαλῶ, ἀλλὰ περὶ τῶν πιστευόντων εἰς ἐμέ. οἱ γὰρ μὴ πιστεύοντες, οὐ θέλουσιν, ἵνα περὶ αὐτῶν παρακαλῶ. πυκνῶς δὲ τίθησι τὸ δέδωκας, ἵνα μάθωσι βεβαιότερον, ὅτι θέλημα τοῦ πατρός ἐστι τὸ πιστεύειν εἰς τὸν υἱόν. [ἐπεὶ[4]) δὲ, τὸ δέδωκάς μοι, καὶ τὸ σοί εἰσι, καὶ τὰ τοιαῦτα, ἔμελλον ἐμποιῆσαι τοῖς ἀσυνέτοις ὑποψίας πονηρὰς, ὅτι μείζων ἡ ἐξουσία τοῦ πατρὸς, καὶ πρεσγενεστέρα, λύει ταύτας λέγων.]

Verſ. 10. Καὶ — ἐμά. Εἶδες ἰσοτιμίαν; τοῦτο γὰρ δηλοῖ νῦν ἡ ἀντιστροφή. εἰπὼν μὲν οὖν, ὅτι σοί εἰσιν, ἔδειξεν, ὅτι καὶ δοθέντες αὐτῷ, τῆς ἐξουσίας τοῦ πατρός εἰσιν. ἵνα δὲ μὴ νομίσῃ τις ἐντεῦθεν, ὅτι ἐξουσιαστικώτερός ἐστιν ὁ πατὴρ, προσέθηκε, καὶ τὰ ἐμὰ πάντα, σά ἐστι, καὶ τὰ σὰ ἐμά. [ὥστε[5]) καὶ πρὸ τοῦ δοθῆναι, τοῦ υἱοῦ ἦσαν, καὶ μετὰ τὸ δοθῆναι, τοῦ πατρὸς, τουτέστιν, ἀεὶ ἀμφοτέρων, ὡς ἰσοτίμων. δέδωκας οὖν μοι τοὺς ἐμούς· δέδωκας δὲ εἶπον οἰκονομικῶς, ἵνα γνῶσιν, ὅτι οὐ παρὰ τὸ σὸν θέλημα τούτους ἐπεσπασάμην.]

Verſ. 10. Καὶ — αὐτοῖς. Καὶ ἐξουσίαν ἔχω

5) Incluſa abſunt. A.

mea: quemadmodum et tu in his quae mea ſunt, ſicut in his quae tua.

Vel, glorificatus ſum in diſcipulis, qui mihi dati ſunt, agnoſcentibus me dominum ſuum, et adorantibus ac praedicantibus me Deum.

Verſ. 11. *Et — mundo.* Paulo poſt moriturus. Rurſum autem ſermonem de morte ſua inducit, commendaturus eos, tanquam homo, Deo ac patri. Ait ergo, Iam non ſum in mundo, ſicut hactenus, cum eis conuerſans et confirmans, inungens ac conſolans illos.

Verſ. 11. *Et — ſunt.* Nondum morientes, et propterea tuo egent auxilio. Quum autem dixiſſet, Iam non ſum in mundo, interpretatur hoc dicens:

Verſ. 11. *Et — venio.* Sicut filius ad patrem, conſummato iam opere, vt dictum eſt.

Verſ. 11. *Pater — me.* Per nomen tuum omnipotens, quod et ego natura habeo. Nam et ego Deus ſum. Iterum autem ait, Donaſti, ne Deo videretur eſſe contrarius. Vel, quod dediſti mihi, tanquam homini.

Verſ. 11. *Vt ſint vnum.* Vnitate fidei, quae in me eſt, et mutua dilectione, de qua ſuperius multa eis praeceperat.

Verſ. 11. *Sicut nos.* Praedixit enim, Ego et pater vnum ſumus. Prius autem aliis in locis diſſeruimus, quod καθὼς ſicut, et ſimilia, de ſancta quidem trinitate dicta, aequalitatem ſignificent: De

6) πάλιν ἐπάγει. A.
7) ὅτι οὐκ εἰμί. A.
8) Poſt αὐτοὺς, addit. A. τὸ δὲ καὶ ἐγὼ πρός σε ἔρχομαι.

ἔχω ἐν τοῖς σοῖς, ὡς ἐμοῖς, ὥσπερ καὶ σὺ, ἐν τοῖς ἐμοῖς, ὡς σοῖς.

Ἡ δεδόξασμαι ἐν τοῖς δοθεῖσί μοι μαθηταῖς, ἐπιγνοῦσι μὲν κύριον ἑαυτῶν, καὶ προσκυνοῦσι καὶ κηρύττουσί με θεόν.

Verſ. 11. Καὶ — κόσμῳ. Μετὰ μικρὸν ἀποθνήσκων. πάλιν[6]) δὲ εἰσάγει τὸ περὶ τοῦ θανάτου αὐτοῦ, μέλλων αὐτοὺς, ὡς ἄνθρωπος, παραθέσθαι τῷ θεῷ καὶ πατρί. Φησὶν οὖν, ὅτι οὐκέτι[7]) εἰμὶ ἐν τῷ κόσμῳ, καθάπερ ἄχρι νῦν, συνὼν καὶ στηρίζων καὶ ἀλείφων καὶ παρηγορῶν αὐτούς.[8])

Verſ. 11. [Καὶ[9]) — εἰσί. Μήπω ἀποθνήσκοντες, καὶ διὰ τοῦτο τῆς σῆς δέονται βοηθείας. εἰπὼν δὲ, ὅτι οὐκ εἰμὶ ἐν τῷ κόσμῳ, ἑρμηνεύει τοῦτο λέγων.

Verſ. 11. Καὶ — ἔρχομαι.] Ὡς υἱὸς, πρὸς πατέρα, τὸ ἔργον τελειώσας, ὡς εἴρηται.

Verſ. 11. Πάτερ — μοι. Διὰ τοῦ ὀνόματός σου τοῦ παντοδυνάμου, ὃ ἔχω φύσει κἀγώ. [Θεὸς[1]) γὰρ κἀγώ.] πάλιν δὲ τὸ δέδωκας, ἵνα μὴ δόξῃ ἀντίθεος, ἢ ὃ δέδωκάς μοι, ὡς ἀνθρώπῳ.

Verſ. 11. Ἵνα ὦσιν ἕν. Ἵνα ὦσιν ἓν, τῇ ἑνώσει τῆς εἰς ἐμὲ πίστεως, καὶ τῆς εἰς ἀλλήλους ἀγάπης, [περὶ[2]) ἧς ἀνωτέρω πολλὰ αὐτοῖς ἐνετείλατο.]

Verſ. 11. Καθὼς ἡμεῖς. [Προείρηκε[3]) γάρ ὅτι[p]) ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. προδιεστειλάμεθα δὲ καὶ ἐν ἄλλοις, ὅτι τὸ καθὼς καὶ τὰ τοιαῦτα, ἐπὶ μὲν τῆς ἁγίας τριάδος ἰσότητα δηλοῦσιν, p) Io. 10, 30.

9) Incluſa abſunt. A.
1) Incluſa exciderunt. A.
2) Incluſa abſunt. A.
3) Incluſa abſunt. A.

De Deo vero et hominibus, similitudinem quandam. Vnum ergo sunt pater et filius, sicut essentia et aliis, ita etiam concordia. Dicit itaque, Sicut nos, propter indiuisionem ac inseparabilitatem.

Vers. 12. *Quum — tuum.* Quum essem in mundo, vt homo, qui semper in eo sum, vt Deus, tunc ego seruabam eos per virtutem tuam, siue per te: nam mea virtus, tua est: et ego et tu vnum sumus.

Haec autem et similia loquitur, et tanquam homo, et propter discipulorum imbecillitatem. Siquidem quia multis de eius auxilio auditis: et, Iterum videbo vos, et gaudebit cor vestrum, et gaudium vestrum nemo tollet a vobis: nondum perfecte a moerore liberati erant: patri deinceps pro eis loquitur, vt patri quoque commendati, bono essent animo. Quum enim imperfecti essent, non ita sublimibus ac diuinis verbis credebant, quemadmodum humilioribus ac more humano dictis.

Vers. 12. *Quos — perditionis.* Iudas proditor, amantissimus perditionis, dilectus ab ea, illamque diligens. Perditionem vero intellige casum et alienationem a Deo: aut etiam diabolum ipsum, vtpote perdentem illos, qui ei obediunt. Periit autem Iudas spontanee, propter voluntatis prauitatem. Atqui etiam alii de septuaginta perierunt: verum non tunc: nam solus proditor tunc periit.

Vers. 12. *Vt scriptura compleretur.* Dauidica, quae frequenter de eius perditione loquitur: et praecipue psalmo centesimo octauo. Et hic ergo

4) Inclusa absunt. A.
5) Inclusa absunt. A.

λῦσιν, ἐπὶ δὲ Θεῦ καὶ ἀνθρώπων, ὁμοίωσίν τινα. ἓν οὖν εἰσιν ὁ πατὴρ καὶ ὁ υἱός,] ὥσπερ τῇ οὐσίᾳ καὶ τοῖς ἄλλοις, ὕτω καὶ τῇ ὁμονοίᾳ. λοιπὸν οὖν τό, καθὼς ἡμεῖς, διὰ τὸ ἀδιαίρετον καὶ ἀδιάῤῥηκτον.

Verſ. 12. Ὅτε — σου. Ὅτε ἤμην ἐν τῷ κόσμῳ, ὡς ἄνθρωπος· ἀεὶ γάρ εἰμι, ὡς Θεός. τότε ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῇ δυνάμει σου, ἤγουν ἐν σοί. ἡ ἐμὴ γὰρ δύναμις, σή, καὶ ἐγὼ καὶ σὺ ἕν ἐσμεν.

Καὶ ὡς ἄνθρωπος δὲ ταῦτα, καὶ τὰ τοιαῦτα, διαλέγεται, καὶ διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν. [ἐπεὶ γάρ,[4]) πολλὰ περὶ τῆς παρ' αὐτῦ βοηθείας ἀκύσαντες, καὶ ὅτι πάλιν q) ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν ὐδεὶς αἴρει ἀφ' ὑμῶν· ὐκ ἀπηλλάγησαν ὔπω τῆς ἀθυμίας τέλεον· τῷ πατρὶ λοιπὸν ὑπὲρ αὐτῶν διαλέγεται, ἵνα κἂν γοῦν τῷ πατρὶ παρατιθέμενοι θαῤῥήσωσιν. ἀτελεῖς γὰρ ὄντες, ὐχ οὕτω τοῖς ὑψηλοῖς καὶ θεοπρεπέσι ῥήμασιν ἐπίστευον, ὡς τοῖς ταπεινοτέροις καὶ ἀνθρωποπρεπέσιν.] q) Io. 16, 22.

Verſ. 12. Οὓς — ἀπωλείας. Ἰούδας, ὁ προδότης, ὁ φίλτατος τῆς ἀπωλείας, ὁ φιληθεὶς αὐτῇ καὶ φιλήσας αὐτήν. ἀπώλειαν δὲ νόει, τὴν ἀπὸ τῦ Θεῦ ἔκπτωσίν τε καὶ ἀλλοτρίωσιν, ἢ καὶ τὸν διάβολον, ὡς ἀπολλύοντα τοὺς πειθομένους αὐτῷ. [ἀπώλετο[5]) γὰρ ὁ ἰούδας ἑκυσίως, διὰ φαυλότητα προαιρέσεως. καὶ μὴν καὶ ἄλλοι ἀπὸ τῶν ἑβδομήκοντα μαθητῶν ἀπώλοντο, ἀλλ' οὐ τότε, ἀλλ' ὕστερον. τότε δὲ μόνος ὁ προδότης ἀπώλετο.]

Verſ. 12. Ἵνα ἡ γραφὴ πληρωθῇ. Ἡ δαυϊτική, ἡ πολλαχῦ περὶ τῆς ἀπωλείας αὐτῦ διαλαμβάνυσα, καὶ μᾶλλον ἐν τῷ ἑκατοστῷ ὀγδόῳ

ergo dictio Vt, non est causae significatiua, sed eius, quod omnino futurum erat, puta, quod scriptura compleretur.

Vers. 13. *Nunc — venio.* Rursum repetit, Ad te venio: sicut et, A Deo exiui: haec frequentissime illis confirmans, simul etiam consolationem hinc non vulgarem tribuens.

Vers. 13. *Et — semetipsis.* Haec loquor, quum adhuc in mundo sum: haec, quaenam? Ad te venio: et, Serua eos. Haec ergo, inquit, loquor, vt habeant gaudium de me: perfecte certiores effecti, quod me non retinebit infernus, et te habebunt adiutorem. Quanquam enim credebant, nondum tamen mente compositi, cogitationibus adhuc fluctuabant, nec quiescere poterant.

Vel, Haec loquor humilia ac more humano, vt cessante interim infirmitate mentis eorum, absolute gaudeant, ne me Deo contrarium esse suspicentur.

Vers. 14. *Ego — mundo.* Tradidi eis sermonem tuum euangelicum, et mali oderunt eos, vt qui non sint ex ipsis, quantum ad innocentiam aut simplicitatem. Nam et in praecedentibus dixit ad eos, Si de mundo fuissetis, mundus, quod suum esset, diligeret. Nam, Mundum, et ibi et hic vocat malos, propter mundi ac voluptatum amorem. Itaque, quum propter sermonem tuum odio habeantur, custodi illos.

Vers. 15. *Non — malo.* Orationem propter eos explanat, vt confidentiori magis sint animo, vtpote non statim morituri, priusquam praedica-

[6]) Inclusa absunt. A.

ἀγγέλου ψαλμῷ. κἀνταῦθα τοίνυν, τὸ ἵνα, οὐκ αἰτίας ἐςὶ δηλωτικὸν, ἀλλὰ τοῦ πάντως ἐσομένου, ὅτι μέλλει ἡ γραφὴ πληρωθῆναι.

Verſ. 13. Νῦν — ἔρχομαι. Πάλιν, τὰ πρὸς δὲ ἔρχομαι, ὥσπερ καὶ, τὸ παρὰ τοῦ θεοῦ ἐξῆλθον, καὶ τὰ τοιαῦτα, τῇ συνεχείᾳ πάντως ἐπὶ πλεῖον βεβαιῶν αὐτοῖς ταῦτα, καὶ ἅμα παραμυθίαν ἐντεῦθεν, οὐ τὴν τυχοῦσαν παρέχων.

Verſ. 13. Καὶ — αὐτοῖς. Ταῦτα λαλῶ, ἐν τῷ κόσμῳ ὢν ἔτι. ταῦτα, ποῖα; τὸ πρὸς σὲ ἔρχομαι, καὶ τὸ, τήρησον αὐτούς. ταῦτα οὖν, φησὶν, λαλῶ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν περὶ ἐμοῦ ὁλοτελῆ, πληροφορηθέντες, ὅτι καὶ ἐμὲ σὺ καθίζεις ὁ ἄδης, καὶ σὲ ἕξουσι βοηθόν. εἰ γὰρ καὶ ἐπίςευον, ἀλλὰ μήπω καταρτισθέντες, ἐκυμαίνοντο τοῖς λογισμοῖς πάλιν, καὶ ἠρεμεῖν οὐκ ἠδύναντο.

[Ἢ[6]) ταῦτα λαλῶ, τὰ ταπεινὰ καὶ ἀνθρωποπρεπῆ, ἵνα ἀναπαυομένης τῆς ἀσθενοῦς τέως διανοίας αὐτῶν, χαίρωσιν ἐντελῶς, ὡς μὴ δοκοῦντος μου ἀντιθέου.]

Verſ. 14. Ἐγὼ — κόσμου. Δέδωκα αὐτοῖς τὸν λόγον σου, τὸν εὐαγγελικὸν, καὶ οἱ πονηροὶ ἐμίσησαν αὐτοὺς, ὡς μὴ ὄντας ἐξ αὐτῶν, ὅσοι ἐπὶ τῇ ἀκακίᾳ. καὶ προλαβὼν γὰρ εἶπε πρὸς αὐτούς· ὅτι[r]) εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. κόσμον γὰρ καὶ ἐκεῖ καὶ ἐνταῦθα, τοὺς πονηροὺς καλεῖ, διὰ τὸ φιλόκοσμον καὶ φιλήδονον. καὶ λοιπὸν, ὡς διὰ τὸν λόγον σου μισηθέντας, διαφύλαξον αὐτούς. r) Io. 15, 19.

Verſ. 15. Οὐκ — πονηροῦ. Σαφηνίζει τὴν εὐχὴν, δι᾽ αὐτοὺς, ἵνα θαῤῥήσωσι μᾶλλον, ὡς οὐκ αὐτίκα τεθνηξόμενοι πρὸ τοῦ κηρύξαι, ἀλλὰ καὶ τῆς παρὰ τοῦ πατρὸς φυλακῆς ἀπολαύσοντες.

dicauerint: et quasi patris custodia fruituri. Et hic ἐρωτῶ significat obsecro.

Vers. 16. *De — sunt.* Idem adhuc frequenter dicit: siue vlla immutatione prius illis testificans, ne turbentur, si odio habeantur: scientes omnino contrariam esse virtuti malitiam. Simul quoque laudat eos apud patrem: etiam hinc ostendens illis dilectionem suam erga ipsos. Dicit ergo coelestes eos esse ciues, non mundana, sed coelestia sapientes.

Vers. 16. *Sicut — sum.* Etiam consolatur eos similitudine ad seipsum: et ad tolerantiam excitat.

Vers. 17. *Sanctifica — tuam.* Sanctos facito ipsos per spiritum sanctissimum, per veritatem dogmatum: nam vera dogmata sanctificant hominem. Deinde manifestat, quid dicat, Veritatem.

Vers. 17. *Sermo — est.* Sermo dogmatum tuus, siue à te per spiritum sanctum illis infusus. Nam superius dixit, Spiritus veritatis ducet vos in omnem veritatem.

Aliter quoque intelligite. Sanctifica eos per veritatem tuam, hoc est, segrega eos per euangelium tuum: sermo namque tuus, puta, euangelicus, veritas est.

Patris autem ait esse sermonem: sicut etiam in praecedentibus dixit, Ego ex meipso non sum loquutus, sed pater, qui misit me, ipse mihi praeceptum dedit, quid dicam et quid loquar.

Vers. 18.

7) Chrysost. T. VIII. p. 483. D. dixerat: τῶν οὐρανῶν γεγόνασι πολίται. Hinc illi οὐρανοπολίται apud Theophyl. p. 801. fin. apud Ammon. in Caten. Corder p. 415.

σοντες. κἀνταῦθα δὲ, ἡ ἐρώτησις τὴν παράκλησιν σημαίνει.

Vers. 16. Ἐκ — εἰσι. Συνεχῶς καὶ τοῦτο λέγει, προσμαρτυρῶν αὐτοῖς τὸ ἀπόνηρον, ἵνα βεβαιωθῶσιν εἰς τὸ μὴ θορυβεῖσθαι μισούμενοι, εἰδότες, ὅτι ἀντίκειται τῇ ἀρετῇ πάντως ἡ κακία. ἅμα δὲ καὶ ἐπαινεῖ αὐτοὺς παρὰ τῷ πατρὶ, δεικνύων αὐτοῖς κἀντεῦθεν τὴν εἰς αὐτοὺς ἀγάπην αὐτοῦ. Φησὶν οὖν, ὅτι οὐρανοπολῖται [7]) εἰσὶν, οὐ κοσμικὰ φρονοῦντες, ἀλλὰ οὐράνια.

Vers. 16. Καθὼς — εἰμί. Καὶ τῇ πρὸς ἑαυτὸν ὁμοιότητι παρηγορεῖ τούτους, καὶ διεγείρει πρὸς ὑπομονήν.

Vers. 17. Ἁγίασον — σου. Ἁγίους ποίησον διὰ τοῦ παναγίου πνεύματος ἐν τῇ ἀληθείᾳ τῶν δογμάτων. τὰ γὰρ ἀληθῆ δόγματα ἁγιάζουσι τὸν ἄνθρωπον. εἶτα διασαφεῖ, τί λέγει ἀλήθειαν.

Vers. 17. Ὁ λόγος — ἐστιν. Ὁ λόγος, ὁ τῶν δογμάτων, ὁ σὸς, ἤγουν, ὁ παρὰ σοῦ διὰ τοῦ ἁγίου πνεύματος ἐνηχούμενος αὐτοῖς. εἴρηκε γὰρ ἀνωτέρω· ὅτι τὸ s) πνεῦμα τῆς ἀληθείας s) Io. 16, 13. ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν.

[Νοεῖται [8]) δὲ καὶ ἑτέρως τὸ, ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, ἀντὶ τοῦ, ἀφόρισον αὐτοὺς ἐν τῷ εὐαγγελίῳ σου. ὁ λόγος γὰρ ὁ σὸς, ἤγουν, ὁ εὐαγγελικὸς, ἀλήθειά ἐστι.

Τοῦ πατρὸς δὲ τὸν λόγον εἶναί φησι, καθὼς καὶ προλαβὼν εἶπεν· ὅτι ἐγὼ t) ἐξ ἐμαυτοῦ οὐκ t) Io. 12, 49. ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω.]

Vers. 18.

8) Inclusa absunt. A. Hentenius per confusionem vocalium videtur legisse νοεῖτε.

Verſ. 18. *Sicut — mundum.* Sicut tu hominum cupiens ſalutem, me miſiſti: Ita et ego illam cupiens, miſi eos. Vel ſicut tu, qui pater meus es, miſiſti me, ita et ego, qui pater eorum ſum, miſi eos. Sed tu quidem natura pater meus es, ego vero pater eorum, tanquam creator et prouiſor ac magiſter Quod autem futurum eſt, tanquam factum dicit, eo quod jam paulo poſt eſſet eos miſſurus.

Verſ. 19. *Et — meipſum.* Ego voluntarie immolo meipſum. Nam hoc in loco victimam dicit ſanctificationem. Sanctum enim dicitur et ipſa hoſtia: multa quoque dicuntur ſancta, tanquam ſignum ſanctitatis.

Verſ. 19. *Vt — veritatem.* Vt et ipſi immolati ſint per veram hoſtiam: legalis ſiquidem victima figura erat, non veritas, vt et ipſi immolati ſint, capite videlicet ipſorum immolato.

Vel etiam, tanquam et ipſi immolati. Habiti ſumus, inquit, ſicut oues caedi deputatae, et; Exhibete membra veſtra hoſtiam viuentem. Poteſt enim etiam ſine caede immolari hoſtia. Ne quis autem eum putaret haec pro ſolis Apoſtolis dicere, ſubdit:

Verſ. 20. *Non — v. 21. ſint* Simul quoque eos iterum conſolatus eſt, oſtendens, quod per eorum praedicationem alii quoque fient diſcipuli.

Verſ. 21. *Sicut — ſint.* Sicut tu in mei et ego in tui dilectione: vt et ipſi in nobis, ſiue in fide quae eſt in nos, vnum ſint. Nam qui in fide

9) κατὰ μικρόν. B.

Vers. 18. Καθὼς — κόσμον. Καθὼς σὺ, θέλων τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἐμὲ ἀπέστειλας· οὕτω κἀγὼ, θέλων αὐτὴν, ἀπέστειλα αὐτούς· ἢ καθὼς σὺ, πατήρ μου ὢν, ἐμὲ ἀπέστειλας· οὕτω κἀγὼ, πατὴρ αὐτῶν ὢν, ἀπέστειλα αὐτούς. ἀλλὰ σὺ μὲν πατήρ μου φύσει· ἐγὼ δὲ πατὴρ αὐτῶν, ὡς κτίστης καὶ προνοητὴς καὶ διδάσκαλος. ὡς γεγονὸς δὲ λέγει, τὸ γενησόμενον, διὰ τὸ ἤδη μέλλειν ἀποστεῖλαι αὐτοὺς μετὰ [1]) μικρόν.

Vers. 19. Καὶ — ἐμαυτόν. Ἐγὼ ἑκουσίως θυσιάζω ἐμαυτόν. ἁγιασμὸν γὰρ ἐνταῦθα, τὸν θυσιασμὸν λέγει. ἅγιον γὰρ λέγεται καὶ ἡ θυσία, καὶ [2]) πολλὰ σημαίνει τὸ ἅγιον.

Vers. 19. Ἵνα — ἀληθείᾳ. Ἵνα καὶ αὐτοὶ ὦσι τεθυμένοι ἐν ἀληθινῇ θυσίᾳ. ἡ γὰρ νομικὴ θυσία τύπος ἦν, οὐκ ἀλήθεια. ἵνα δὲ ὦσι τεθυμένοι, ὡς τῆς κεφαλῆς αὐτῶν τυθείσης.

Ἢ ὡς καὶ αὐτοὶ θυόμενοι. ἐλογίσθημεν v) γὰρ, φησιν, ὡς πρόβατα σφαγῆς. καὶ παραστήσατε x) τὰ μέλη ὑμῶν, θυσίαν ζῶσαν. ἔστι γὰρ θύεσθαι, καὶ δίχα σφαγῆς. ἵνα δὲ μὴ νομίσῃ τις ὑπὲρ τῶν ἀποστόλων μόνων ταῦτα λέγειν αὐτὸν, φησίν.

v) Ps. 43, 23.

x) Rom. 12, 1.

Vers. 20. Οὐ — v. 21. ὦσιν. Ἅμα καὶ παρεμυθήσατο αὐτοὺς πάλιν, δείξας, ὅτι διὰ τοῦ κηρύγματος αὐτῶν καὶ ἄλλοι ἔσονται μαθηταί.

Vers. 21. Καθὼς — ὦσι. Καθὼς σὺ ἐν τῇ ἐμῇ ἀγάπῃ, κἀγὼ ἐν τῇ σῇ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν, ἤγουν, ἐν τῇ εἰς ἡμᾶς πίστει, ἓν ὦσιν.

 ὄντες

[1]) Interpres hic prorsus dissentit a meis Codicibus. Sed haec lectio magis placet.

[2]) Ita ex Chrysostomo laudat. Tom. VIII. p. 484. C.

fide, quae est in nos, vnum sunt; erunt quoque in mutua inter se dilectione vnum. Dixit enim, Qui habet praecepta mea et seruat ea, hic est, qui diligit me, et, Hoc est praeceptum meum, vt diligatis vos inuicem. Quum ergo a dilectione et concordia inceperit, rursum in hac conclusit sermonem: ostendens, quod Deo chara sit ac magno studio affectanda dilectio.

Vers. 21. *Vt — miseris.* Vt credens Apostolis, credat, quod tu me miseris: nam hoc praedicaturi sunt: et nihil adeo erit impedimento praedicationi, sicut diuisos esse praedicatores, fidei diuersitate, ac mutua inter se inimicitia. Si enim inter se pugnauerint, dicent, eos non esse pacifici magistri discipulos: quod si non pacifici, nec a te missi. Si vero concordes fuerint, et praecepta mea custodierint, omnes cognoscent, quod mei sint discipuli, et quod tu me miseris.

Vers. 22. *Et — eis.* Quae a doctrina et miraculis procedit: aut quae a concordia: neque enim ex hac minus, quam ex illis glorificantur. Dedi autem dixit etiam hic, et suam insinuans dignitatem, et aequalem cum patre honorem: quemadmodum frequenter aliis in locis.

Vers. 22. *Vt — sumus.* Hoc superius quoque dictum ac declaratum est: et nunc idem dicit, vehementer cupiens inprimi cordibus eorum, tanquam maxime necessarium.

Vers. 23. *Ego — me.* Ego in eis maneo, et tu in me, hoc est, ego et tu in eis manemus, quomodo ergo non eos conseruabimus? Alibi quoque

3) Inclusa absunt. A.
4) Inclusa absunt. A.
5) Inclusa omittit. A.

ὄντες γὰρ ἐν τῇ εἰς ἡμᾶς πίστει ἕν, ἔσονται καὶ
ἐν τῇ εἰς ἀλλήλους ἀγάπῃ ἕν. [εἴρηκε[3]) γάρ·
ὁ ἔχων[y]) τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, y) Io. 14. 21.
ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· καὶ αὕτη[z]) ἐστὶν ἡ ἐν- z) Io. 15, 12.
τολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους. ἐκ τῆς
ἀγάπης τοίνυν καὶ ὁμονοίας ἀρξάμενος, εἰς ταύ-
την πάλιν κατέκλεισε τὸν λόγον, δεικνὺς, ὅτι θεο-
φιλὲς καὶ περισπούδαστον ἡ ἀγάπη.]

Vers. 21. Ἵνα — ἀπέστειλας. Ἵνα πι-
στεύσας τοῖς ἀποστόλοις, πιστεύσῃ, ὅτι σύ με ἀπέ-
στειλας. τοῦτο γὰρ μέλλουσι κηρύττειν. οὐδὲν γὰρ
οὕτως ἔμελλεν ἐμποδίζειν τῷ κηρύγματι, ὡς τὸ
διεσχίσθαι τοὺς κήρυκας, τῇ τε διαφορᾷ τῆς πί-
στεως, καὶ τῇ πρὸς ἀλλήλους ἀπεχθείᾳ, ἐπει-
δὴ, μαχομένων, ἐροῦσιν, οὐκ εἰρηνικοῦ εἶναι μαθη-
τάς· εἰ δὲ οὐκ εἰρηνικοῦ, οὐδὲ παρὰ σοῦ ἀποσταλέν-
τος· ὁμογνωμονούντων δὲ καὶ τὰς ἐντολάς μου
φυλαττόντων, γνώσονται πάντες, ὅτι ἐμοὶ μα-
θηταί εἰσι, καὶ ὅτι σύ με ἀπέστειλας.

Vers. 22. Καὶ — αὐτοῖς. Τὴν ἀπὸ τῶν
διδαγμάτων καὶ τῶν θαυμάτων, [ἢ[4]) καὶ τὴν
ἀπὸ τῆς ὁμονοίας] οὐκ ἔλαττον γὰρ ἐκ ταύτης
ἢ ἐκ τούτων δοξάζονται. δέδωκα δὲ εἶπε, παραδη-
λῶν κἀνταῦθα καὶ τὸ ἑαυτοῦ ἀξίωμα, καὶ τὸ
πρὸς τὸν πατέρα ὁμότιμον, ὥσπερ καὶ ἐν ἄλλοις
πολλάκις.

Vers. 22. Ἵνα — ἐσμέν. Τοῦτο καὶ ἀνω-
τέρω εἴρηται, καὶ ἡρμήνευται. [καὶ νῦν[5]) δὲ τοῦτο
λέγει, σφόδρα τοῦτο βουλόμενος ἐνεῖναι αὐτοῖς,
ὡς ἀναγκαιότατον.]

Vers. 23. Ἐγὼ — ἐμοί. Ἐγὼ ἐν αὐ-
τοῖς μένω, καὶ σὺ ἐν ἐμοὶ, τουτέστιν, ἐγὼ καὶ σὺ
ἐν αὐτοῖς μένομεν, καὶ πῶς οὐ συντηρήσομεν[6])
Ooo 3 αὐτούς;

[6]) συντηρήσωμεν. A. Idem mox omittit inclusa.

que dixit, Si quis diligit me, sermonem meum seruabit, et pater meus diliget eum, et ad eum veniemus ac mansionem apud eum faciemus. Sed ego quidem in eis diuino modo propter fidem, tu vero in me paterno modo propter naturam.

Vers. 23. *Vt — vnum.* In vnitatem, in concordiam. Quemadmodum enim seditio dissoluit, sic et concordia congregat.

Vers. 23. *Et — miseris.* († † Superius etiam dixerat: vt mundus credat, me a te missum esse). Iterum ergo idem dicit, vt firmius concordes fiant: certiores effecti, quod hoc maxime ad fidem attrahat homines.

Vers. 23. *Et — dilexisti.* Nam signum fuit dilectionis eorum, quod nec proprio filio tuo propter eos peperceris. Hic quoque dictio Sicut, non aequalitatem, sed similitudinem quandam significat, quemadmodum in praecedentibus ostendimus. Frequenter autem hoc ponit, consolans eos per similitudinem, quam erga ipsum habent, et fiduciam praebens.

Ad hunc vsque locum de dilectione ac concordia sermonem extendit: deinceps vero de brabiis quoque et coronis differit, quae post praesentem vitam illis reposita sunt, vt ampliorem sumant fiduciam.

Vers. 24. *Pater — mecum.* In regno videlicet conregnantes mihi.

Vers. 24. *Vt — mihi.* Gloriam diuinitatis, quam dedisti mihi, non tanquam minori aut posterius genito, sed tanquam principium, siue is,

7) Inclusa omiserat Hentenius.
8) Inclusa absunt. A.

αὐτούς; [καὶ ἀλλαχοῦ δὲ εἴρηκεν· ἐάν τις[a]) ἀγα- a) Io. 14, 23.
πᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου
ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα,
καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ἀλλ' ἐγὼ μὲν
ἐν αὐτοῖς θεοπρεπῶς, διὰ τὴν πίστιν· σὺ δὲ ἐν
ἐμοὶ πατροπρεπῶς, διὰ τὴν φύσιν.]

Vers. 23. Ἵνα — ἕν. Εἰς ἕνωσιν, εἰς ὁμόνοιαν. ὥσπερ γὰρ ἡ στάσις διαλύει· οὕτως ἡ συμφωνία συγκροτεῖ.

Vers. 23. Καὶ — ἀπέστειλας. [Καὶ[7]) ἀνωτέρω εἶπεν· ἵνα[b]) ὁ κόσμος πιστεύσῃ, ὅτι σύ b) Io. 17, 21.
με ἀπέστειλας.] πάλιν ἓν τὸ αὐτό φησιν, [ἵνα βεβαίως[8]) ὁμονοῶσι, πληροφορηθέντες, ὅτι τοῦτο μᾶλλον πρὸς πίστιν ἐπισπάσεται τοὺς ἀνθρώπους.]

Vers. 23. Καὶ — ἠγάπησας. Τεκμήριον γὰρ τῆς ἀγάπης αὐτῶν, τὸ μηδὲ τοῦ ἰδίου σου υἱοῦ φείσασθαι ὑπὲρ αὐτῶν. κἀνταῦθα δὲ τὸ καθὼς, οὐκ ἰσότητα, ἀλλ' ὁμοίωσίν τινα δηλοῖ, καθάπερ προλαβόντες παρεσημειωσάμεθα. [τίθησι[9]) δὲ τοῦτο συνεχῶς, παραμυθούμενος αὐτοὺς διὰ τῆς πρὸς ἑαυτὸν ὁμοιώσεως καὶ θαῤῥεῖν παρέχων.

Μέχρι τούτου τὰ περὶ ἀγάπης καὶ ὁμονοίας περατώσας, διαλέγεται λοιπὸν καὶ περὶ τῶν μετὰ τὴν παροῦσαν ζωὴν ἀποκειμένων αὐτοῖς βραβείων καὶ στεφάνων, ἵνα πλέον θαῤῥήσωσι.]

Vers. 24. Πάτερ — ἐμοῦ. Ἐν τῇ βασιλείᾳ σου, δηλονότι, συμβασιλεύοντές μοι.

Vers. 24. Ἵνα — μοι. Τὴν δόξαν τῆς θεότητος, ἣν δέδωκάς μοι, οὐχ ὡς ἐλάττονι, ἢ ὑστερογενεῖ, ἀλλ' ὡς αἴτιος, εἴτουν, ὡς γεννήσας

 με.

9) Inclusa absunt. A.

is, qui me genuit. Quando autem dedit? Quando scilicet genuit. Quando vero genuit? Quaestio quando hoc fuerit, sermonem habet incomprehensibilem: simul enim et erat et genuit: nec fuit tempus, quo pater erat, et non erat pater. Quia autem verbum Dedisti, quum sit sese demittentis, quibusdam pariturum erat offendiculum, quo videretur minoritatem addere filio, huic quoque medetur dicens:

Vers. 24. *Quia — mundum.* Hoc est ante secula. Nam ita significare solet scriptura aeternitatem. Non dixit autem, Vt sint participes gloriae meae, sed Vt videant. Illud namque supra illorum facultatem erat: hoc vero tota illorum fruitio est, quod etiam dicit Paulus, Detecta facie gloriam Dei contemplantes. Siquidem vere maxima est gloria, eius videre gloriam.

Vers. 25. *Pater iuste.* Iustum eum nunc dicit, vtpote volentem non a solis Iudaeis, verum etiam ab omnibus hominibus agnosci, vt omnes salui fierent, et nullus per ignorantiam periret: nam id extremae iustitiae est ac bonitatis.

Vers. 25. *Et — cognouit.* Gentiles quidem nullo modo, quum adorent idola: Iudaei vero non cognouerunt te, quia sponte peccantes, negant te meum esse patrem.

Vers. 25. *Ego — cognoui.* Natura.

Vers. 25. *Et — misisti.* Discipuli mei hoc cognouerunt ex his, quae eos docui, et diuino modo operatus sum.

Vers. 26.

[1]) Inclusa absunt. A.
[2]) δὲ, loco γάρ. A.
[3]) Inclusa absunt. A. Hentenii versio hic etiam dissentit.

με. [πότε [1]) δὲ δέδωκεν; ὅτε δηλονότι γεγέννηκε· πότε δὲ γεγέννηκεν; ὑπὲρ τὸ πότε τὸ ἐρώτημα, καὶ ὁ λόγος ἀνέφικτος. ἅμα γὰρ καὶ ἦν, καὶ γεγέννηκε, καὶ οὐκ ἦν, ὅτε οὐκ ἦν πατὴρ ὁ πατήρ. ἐπεὶ δὲ τὸ δέδωκας, συγκαταβατικὸν ὂν, ἔμελλέ τισι τίκτειν σκάνδαλον, δοκοῦν ἐλάττωσιν περιάπτειν τῷ υἱῷ, θεραπεύει τοῦτο λέγων.]

Vers. 24. Ὅτι — κόσμου. Τουτέστι, πρὸ αἰώνων. οὕτω γὰρ ἡ γραφὴ δηλοῖ τὸ αἰδίως. οὐκ εἶπε δὲ, ἵνα μετέχωσι τῆς δόξης τῆς ἐμῆς, ἀλλ' ἵνα θεωρῶσι. τὸ μὲν γὰρ ὑπὲρ αὐτοὺς ἦν, τὸ δὲ πάσα ἀπόλαυσις αὐτοῖς, ὃ καὶ παῦλός φησιν· ἀνακεκαλυμμένῳ c) προσώπῳ τὴν δόξαν c) 2 Cor. 3, 18. κυρίου κατοπτριζόμενοι. μεγίστη γὰρ ὄντως δόξα, τὸ θεωρεῖν τὴν δόξαν αὐτοῦ.

Vers. 25. Πάτερ δίκαιε. Δίκαιον αὐτὸν λέγει νῦν, ὡς θέλοντα, μὴ μόνοις ἰουδαίοις, ἀλλὰ πᾶσιν ἀνθρώποις ἐπιγνωσθῆναι, ἵνα πάντες σώζωνται, καὶ μηδεὶς δι' ἄγνοιαν ἀπόληται. τοῦτο [2]) γὰρ ἀκροτάτης δικαιοσύνης καὶ ἀγαθότητος.

Vers. 25. Καὶ — ἔγνω. [Ὁ μὲν ἄλλος [3]) κόσμος, οὐδ' ὅλως· [4]) οἱ δὲ ἰουδαῖοι, [5]) πατέρα μου, διὰ τὸ ἐθελοκακεῖν.]

Vers. 25. Ἐγὼ — ἔγνων. Φύσει.

Vers. 25. Καὶ — ἀπέστειλας. Οἱ μαθηταί μου ἔγνωσαν τοῦτο, ἀφ' ὧν εἶπον καὶ ἔπραξα θεοπρεπῶς.

4) Intell. ἔγνω. Forte Hentenius hic additum inuenit, διὰ τὸ ἰδωλολατρεῖν.
5) οὐχ ὡς, interponendum videtur, vt sit οὐχ ὡς πατέρα μου, intell. ἔγνωσαν.

Vers. 26. *Et — tuum.* Nomen paternitatis. Haec autem etiam superius dixit, et nunc iterum repetendo dicit.

Vers. 26. *Et notum faciam.* Amplius per spiritum sanctum. Vides, quod sicut pater loquitur per spiritum sanctum, ita et filius notum facit per ipsum discipulis, quae voluerit? ex quibus rursum honoris aequalitas ac concordia sanctae trinitatis ostenditur.

Vers. 26. *Vt — sit.* Notum faciam, inquit, amplius nomen tuum, vt quum hoc cognouerint ac didicerint, quod naturalis sim filius tuus, et natura dilectus: huiusmodi dilectio, quae ingenua est et per naturam, sit in eis per cognitionem.

Vers. 26. *Et ego in eis.* Et ego in eis magis sim per fidem maiorem, vtpote perfectius eis notus. Iterum ergo in dilectionem terminauit, hanc imponens sermoni consummationem. Nam perfectio virtutum est dilectio.

Cap. XVIII. v. 1. *Haec — eius.*

Quaere sexagesimo quarto capite euangelii iuxta Matthaeum, vbi ponitur, Et dictis laudibus exierunt in montem Oliuarum: nam ibi de his enarratum est. Sed et de iis, quae sequuntur,[7] latius et exactius in illo Euangelista significauimus.

Vers. 2. *Sciebat — locum.* Deinde etiam dicit, vnde hoc sciebat.

Vers. 2. *Quod — suis.* Frequenter versaretur ibi.

Vers. 3.

[7]) γὰρ, loco δέ. A.

Vers. 26. Καὶ — σου. Τὸ τῆς πατρότητος ταῦτα[6]) δὲ καὶ ἀνωτέρω εἴρηκε, καὶ νῦν λέγει πάλιν, ἐπαναλαμβάνων.

Vers. 26. Καὶ γνωρίσω. Ἐπὶ πλέον διὰ τοῦ ἁγίου πνεύματος. ὁρᾷς, ὅτι ὥσπερ ὁ πατὴρ λέγει διὰ τοῦ ἁγίου πνεύματος, οὕτω καὶ ὁ υἱὸς γνωρίζει δι' αὐτοῦ, ἃ βούλεται, τοῖς μαθηταῖς. ἐφ' ὧν αὖθις τὸ ἰσότιμον καὶ σύμφωνον τῆς ἁγίας τριάδος δείκνυται.

Vers. 26. Ἵνα — ᾖ. Γνωρίσω, φησὶν, αὐτοῖς ἐπὶ πλέον τὸ ὄνομά σου, ἵνα τοῦτο σαφῶς γνωρισάντων καὶ διαγνόντων, ὅτι γνήσιος υἱὸς ἐγώ[7]) σου καὶ φύσει ἀγαπητὸς, ἡ τοιαύτη ἀγάπη, ἡ γνησία καὶ φύσει, ἐν αὐτοῖς εἴη γνωριζομένη.

Vers. 26. Κἀγὼ ἐν αὐτοῖς. Κἀγὼ ἐν αὐτοῖς ὦ πλέον, διὰ πίστεως μείζονος, ἅτε γνωριζόμενος αὐτοῖς ἐντελέστερον. πάλιν οὖν εἰς ἀγάπην κατέληξε, ταύτην ἐπιθεὶς τῷ λόγῳ τελείωσιν. τελειωτικὴ γὰρ τῶν ἀρετῶν ἡ ἀγάπη.

Cap. XVIII. v. 1. Ταῦτα — αὐτοῦ.

Ζήτησον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ ματθαῖον τό· καὶ[d]) ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ἐκεῖ γὰρ ἐξηγήθη καὶ περὶ τούτων. ἀλλὰ καὶ περὶ τῶν ἑξῆς πλατύτερόν τε καὶ ἀκριβέστερον ἐν ἐκείνῳ τῷ εὐαγγελιστῇ δεδηλώκαμεν. d) Matt. 26, 30.

Vers. 2. Ἤιδει — τόπον. Εἶτα λέγει, καὶ πόθεν τοῦτον ἐγίνωσκεν.

Vers. 2. Ὅτι — αὐτοῦ. Πολλάκις ηὐλίσθη ἐκεῖ.

Vers. 3.

7) σου ἐγώ. A.

Verſ. 3. *Iudas ergo — armis.* Arma adduxerunt, timentes eos, qui ſequebantur Ieſum: nam et propterea intempeſtiuo noctis tempore aduenerunt.

